PEDANII DIOSCURIDIS

ANAZARBEI

DE MATERIA MEDICA

LIBRI QUINQUE

EDIDIT

MAX WELLMANN

VOLUMEN I

QUO CONTINENTUR LIBRI I ET II

BEROLINI
APUD WEIDMANNOS
MCMVII.

MAXIMILIANO TREU

PIETATIS ERGO

Conspectus codicum.

Codex		
P: Parisinus gr. 2179 s. IX		O
V: Marc. Venetus 273 s. XII (e P)		O
F: Laurent. 74, 23 s. XIV	Q	O
H: Palat. gr. 77 s. XIV	Q	O
E: Scorialensis III R 3 s. XI		
p: Paris gr. 2183 s. XV	Di	
v: Marc. Venetus 271 s. XV	Di	
C: Cpolitanus Vindob. med. gr. 1 s. VI	R	
N: Neapolitanus Vindob. suppl. gr. 28 s. VII	R	
Da: Marc. Venetus 272 s. XV		
Dl: Diosc. lat. cod. Monacensis 337 s. IX		
Orib.: Oribasii libr. XI—XIII cod. Paris. gr. 2189 s. XVI		
Ps. Ap.: Ps. Apuleii cod. Laur. 73, 41 (L), Laur. 73, 16 (L1), Vind. 93 (V)		

Conspectus Siglorum.

Ael. n. a.: Aeliani de natura animalium ed. R. Hercher, Par. 1858.
Aet.: Aetii tetrabiblon Ven. 1534.
Aetii lib. XII ed. Costomoiros, Paris 1892.
Ald.: Aldina, Venet. 1499.
Apollod.: Apollodorus, iologorum dux.
Ps. Ap.: Ps. Apuleii de med. herbarum libr. ed. Ackermann.
Arr. an.: Arriani Anabasis.
[Arr.] per.: Ps. Arriani Periplus maris Erythraei.
Asul.: Asulani ed. Diosc., Venet. 1518.
Ath.: Athenaei Dipnosoph. libri. XV ed. G. Kaibel.
Blaß Gr. de N.: Grammatik des neutestam. Griechisch von Fr. Blaß.
Boiss. an. gr.: Anecdota Graece ed. Boissonade II 394 sq.
Cels.: Celsus de medicina ed. Daremberg.
Crat.: Crateuas.
Diocl.: Dioclis fragmenta ed. M. Wellmann.
D. eup. vel *eup.*: Dioscuridis *περὶ Εὐπορίστων* libr. ed. Sprengel.
Diosc. gl.: Dioscurides glossographus s. II p. Chr.
Ps. D. de h. f.: Ps. Dioscuridis lib. de herbis femininis ed. H. F. Kästner, Herm. XXXI 578 sq.

F. M. G.: M. Wellmann, Fragmentsammlung der Griech. Ärzte, Vol. I.
Gal.: Galeni opera ed. C. G. Kühn.
Garg. M.: Gargilii Martialis medic. ed. V. Rose.
G. G. M.: Geographi graeci minores ed. C. Müller, Par. 1855.
Hes.: Hesychii Lexicon.
Isid.: Isidori Originum libr. XX ed. Lindemann.
Kühner Gr.: Ausführliche Grammatik der Griech. Sprache von Kühner-Blaß.
Lac.: Dioscuridis vers. lat. ed. A. de Laguna, Salam. 1566.
Löw: Löw, Aramaeische Pflanzennamen, Leipzig 1881.
A. Mai: Classici auctores ed. A. Mai, tom. VII 399 sq.
Marc.: Diosc. ed. Marcellus Virgilius, Coloniae 1529.
Math.: P. Andreae Matthioli commentarii in Diosc., Venet. 1554.
M. S. vel. *Matth. Silv.*: Matthaei Silvatici liber Pandectarum medicinae, Venet. 1488.
Meyer bot. Erl.: Botanische Erläuterungen zu Strabons Geographie von Dr. E. Meyer, Königsberg 1852.
Nic Th. vel *Al.*: Nicandri Theriaca et Alexipharmaca ed. O. Schneider.
Nic. M.: Nicolai Myrepsi *Δυναμερόν*.
Orib.: Oribasii editio Darembergiana.
Orib. lat.: Oribasii Sardiani collecta ed. Rasarius, tom. II 479 sq., Basileae 1558.
Ps. Orib.: Ps. Oribasii de Simplicibus libri V, Argent. apud I. Schottum 1533.
Pallad.: Palladins de agricultura ed. Schmitt.
Paul. Aeg.: Pauli Aeginetae libri VII, Bas. 1538.
Pl.: Plinii Nat. hist. ed. Detlefsen.
Prosop. J. R.: Prosopographia imperii Romani ed. Klebs.
Ruf.: Oeuvres de Rufus d' Éphèse, publ. par Daremberg-Ruelle.
Salm. Pl. exerc.: Salmasius, Plinianae exercitationes.
Salm. de hom.: Salmasius, Homonyma hyles iatrices.
Sar. vel *Sarac.*: Diosc. ed. Saracenus, Lugd. 1598.
Scrib. L.: Scribonii Largi compositiones ed. G. Helmreich.
S. N.: Sextius Niger.
Sim. S.: Simeo Sethus ed. Langkavel.
Sol.: Solini Collectanea ed. Th. Mommsen.
Sot. mem.: Sotionis lib. de mirabilibus, Paradoxogr. ed. Westermann 183 sq.
Spr.: Dioscuridis editio Sprengelii, Lips. 1829.
Strab.: Strabonis Geographica rec. G. Kramer.
Theophr. h. pl.: Theophrasti historia plantarum ed. Wimmer.
Tomaschek: Die alten Thraker II. Sitzungsb. d. Wiener Ak. d. W. Bd. 130, 22 sq.
Wellm. I: Crateuas, Abhandlungen der Kgl. Gesellsch. d. W. zu Göttingen II 1 (Berl. 1897).
Wellm. II: Das älteste Kräuterbuch der Griechen, Festschrift für Susemihl.
Zach. m. m.: Zachariae Actuarii de methodo medendi.
Zop.: Zopyri fragmenta (Orib. II 553 sq.).

ΠΕΔΑΝΙΟΥ ΔΙΟΣΚΟΥΡΙΔΟΥ ΑΝΑΖΑΡΒΕΩΣ
ΠΕΡΙ ΥΛΗΣ ΙΑΤΡΙΚΗΣ
ΛΟΓΟΣ ΠΡΩΤΟΣ

Πολλῶν οὐ μόνον ἀρχαίων ἀλλὰ καὶ νέων συνταξαμένων περὶ τῆς τῶν φαρμάκων σκευασίας τε καὶ δυνάμεως καὶ δοκιμασίας, φίλτατε Ἄρειε, πειράσομαι παραστῆσαί σοι μὴ κενὴν μηδὲ ἄλογον ὁρμὴν ἐσχηκέναι με πρὸς τήνδε τὴν πραγματείαν διὰ τὸ τοὺς μὲν αὐτῶν μὴ τετελειωκέναι, τοὺς δὲ ἐξ ἱστορίας τὰ πλεῖστα ἀναγράψαι. Ἰόλλας μὲν γὰρ ὁ Βιθυνὸς καὶ Ἡρακλείδης ὁ Ταραντῖνος ἐπ' ὀλίγον ἥψαντο τῆς αὐτῆς πραγματείας τὴν βοτανικὴν παντελῶς ἐάσαντες παράδοσιν, οὐ μὴν οὐδὲ τῶν μεταλλικῶν ἢ ἀρωμάτων πάντων ἐμνημόνευσαν. Κρατεύας δὲ ὁ ῥιζοτόμος καὶ Ἀνδρέας ὁ ἰατρὸς — οὗτοι γὰρ δοκοῦσιν ἀκριβέστερον τῶν λοιπῶν περὶ τοῦτο τὸ μέρος ἀνεστράφθαι — πολλὰς ῥίζας εὐχρηστοτάτας καί τινας βοτάνας ἀπαρασημειώτους εἴασαν. πλὴν τοῖς μὲν ἀρχαίοις μαρτυρητέον μετὰ τῆς 2 *ὀλιγότητος τῶν παραδοθέντων καὶ τὴν ἀκρίβειαν προσπαραλαβοῦσι, τοῖς μέντοι νέοις οὐ συγκαταθετέον, ὧν ἐστι Βάσσος Ἰουλαῖος καὶ Νικήρατος καὶ Πετρώνιος Νίγερ τε καὶ Διόδοτος, Ἀσκληπιάδειοι πάντες, οἳ τὴν μὲν πᾶσι σύμφυλον*

---

1 *πεδακίου* libri: correxi 2 *ἰατρικῆς* om. F 6 de Areo medico cf. Pauly-Wissowa s. v. *πειράσομαί σοι* HDiDa *περιστῆσαι* Da cf. Act. 24, 13 7 *ἐσχηκέναι με* post *πραγματείαν* transpos. Da 9 *ἰόλλας* Da: *ἰόλας* reliqui: *iolaos* Dl cf. Pl. ind. Gal. XIV 7 *βυθινὸς* F: *βυθηνὸς* Di 10 *τῆσδε τῆς* Da: *αὐτῆς* om. FDi 11 *οὐδὲ μὴν* (om. *οὐδὲ*) Da 12 *πάντες* DiDa: om. H *ἐμνήσθησαν* HDa *κρατίας* Di: *κριτίας* alii de Crateua cf. Wellm. I 13 *δὲ*] *τε* HDa de Andrea cf. Pauly-Wissowa s. v. 16 *πλὴν*] cf. Blaß Gr. d. N. 273 17 *περιδοθέντων* Da 18 *ὧν εἷς ἐστι καὶ* H *βάσος* Di: *βᾶσσα* F 19 *ὁ τυλαῖος* QDi: *ὁ τύλλιος* Da: *Basilius Tullius* Dl: correxi cf. Herm. XXIV 546 ad. 2 de Petronio, Diodoto, Nigro cf. Herm. l. s. *τε* om. HDa 20 *ἀσκληπιάδαι* p (*αι* in ras.): *hi omnes asclepiadii fuerunt* Dl *σύμφυλλον* FDi

καὶ γνώριμον ὕλην ἠξίωσαν ἐπὶ ποσὸν ἀναγραφῆς ἀκριβοῦς, τὰς δὲ τῶν φαρμάκων δυνάμεις καὶ δοκιμασίας ἐξ ἐπιδρομῆς παρέδοσαν, οὐ τῇ πείρᾳ τὴν ἐνέργειαν αὐτῶν κανονίζοντες, τῇ δὲ τῆς αἰτίας κενοφωνίᾳ εἰς ὄγκων διαφορὰς ἕκαστον αὐτῶν
3 ἀναφέροντες μετὰ τοῦ καὶ ἄλλα ἀντ' ἄλλων γράφειν. Ὁ γοῦν διαπρεπὴς δοκῶν εἶναι ἐν αὐτοῖς Νίγερ τὸ Εὐφόρβιόν φησιν ὀπὸν εἶναι χαμελαίας γεννωμένης ἐν Ἰταλίᾳ καὶ τὸ ἀνδρόσαιμον ταὐτὸ ὑπάρχειν ὑπερικῷ, ἀλόην δὲ ὀρυκτὴν ἐν Ἰουδαίᾳ γεννᾶσθαι, καὶ ἄλλα τούτοις ὅμοια πλεῖστα παρὰ τὴν ἐνάργειαν ἐκτίθεται ψευδῶς, ἅπερ ἐστὶ τεκμήρια οὐκ αὐτοψίας ἀλλὰ τῆς ἐκ παρακουσμάτων ἱστορίας. ἥμαρτον δὲ καὶ περὶ τὴν τάξιν, οἱ μὲν ἀσυμφύλους δυνάμεις συγκρούσαντες, οἱ δὲ κατὰ στοιχεῖον καταγράψαντες, διέζευξάν ⟨τε⟩ τῆς ὁμογενείας τά τε γένη καὶ τὰς ἐνεργείας αὐτῶν, ὡς διὰ τοῦτο ἀσυμμνημόνευτα γίνεσθαι.

4 ἡμεῖς δὲ ὡς εἰπεῖν ἐκ πρώτης ἡλικίας ἄληκτόν τινα ἔχοντες ἐπιθυμίαν περὶ τὴν ἐπίγνωσιν τῆς ὕλης καὶ πολλὴν γῆν ἐπελθόντες — οἶσθα γὰρ ἡμῖν στρατιωτικὸν τὸν βίον — συναγηόχαμεν τὴν πραγματείαν ἐν πέντε βιβλίοις σοῦ προτρεψαμένου, ᾧ καὶ τὴν σύνταξιν ἀνατίθεμεν, εὐχάριστον ἐκπληροῦντες πάθος δι' ἣν ἔχεις πρὸς ἡμᾶς διάθεσιν, φύσει μὲν πρὸς πάντας τοὺς ἀπὸ παιδείας ἀναγομένους οἰκειούμενος, μάλιστα δὲ πρὸς τοὺς ὁμοτέχνους, ἰδιαίτερον δὲ πρὸς ἡμᾶς. δεῖγμα δὲ οὐ

---

6 SIM. Pl. XXV 79 (cf. D. III 82). XXVII 26 (D. III 156). XXVII 15 (D. III 22).

---

3 *παρέδωσαν* vulgo post *ἐνέργειαν* add. *δυνάμεις καὶ δοκιμασίας* H ad *κανονίζοντες* schol. cod. Ambr. L 119 sup. *ὁ δὲ γαληνὸς λέγει ἐν β̄ περὶ τῶν καθ' ἱπποκράτην στοιχείων τῇ πείρᾳ βασανίζειν, ὅπερ ὁ διοσκουρίδης τῇ πείρᾳ κανονίζειν εἶπε* 4 ad rem cf. Gal. XI 794 *καὶ γὰρ καὶ τούτῳ* (sc. *Νίγρῳ*) *τἆλλά τε καλῶς εἴρηται χωρὶς τῶν κατὰ τὰς αἰτίας λογισμῶν* *ὄγκον* QDa *διαφορὰς — αὐτῶν* om. QDa (aberr. libr.) 5 *ἀναγράφειν* HDa 6 *ἐν αὐτοῖς δοκῶν* HDa *ἐφόρβιον* F 7 *χαμαιλέας* FDa *γενομένης* Da *ἰταλίᾳ* libri: *italia* Dl: *gallia* Pl. l. s.: fort. *Γαλατίᾳ* 8 *ταὐτὸ* F: *ταὐτὸν* reliqui *ὑπερικῷ ὑπάρχειν* HDa *δὲ*] *τε* HDa 9 *ἄλλα πλεῖστα ὅμοια τούτοις* HDa *ἐνάργειαν*] *ἀλήθειαν* HDa 11 *περὶ*] *παρὰ* HDa 12 *ἀσυμφύλλους* Fv *στοιχεῖα* H 13 *ἀναγράψαντες* HDa *διέζευξαν* HDa: *διαζεύξαντες* reliqui: correxi 14 *ἀσυμμνημόνευτοι* H: *ἀμνημόνευτα* Di: *εὐμνημόνευτα* vulgo 16 *ὧς ἐστιν* HDa *σχόντες* FDi 18 *ἡμῶν* HDa *συναγηώχαμεν* H: *συνηγιόχαμεν* F 19 *πέντε*] ϛ̄ F: *ἓξ* reliqui: *quinque* Dl cf. Gal. XI 794 *βίβλοις* Da, post *βιβλίοις* add. *παραδεδομένην* H, *περιδιδομένην* Da 20 *ἀνατιθέαμεν* Di 21 *ἔσχες* FDi 22 *ᾠκειωμένος* HDa

σμικρὸν τῆς ἐν σοὶ καλοκἀγαθίας καὶ ἡ τοῦ κρατίστου Λαικανίου Βάσσου πρὸς σὲ διάθεσις, ἣν ἔγνωμεν συνδιάγοντες ὑμῖν ἀξιοζήλωτον τὸ παρ' ἀμφοτέρων ὑμῶν πρὸς ἀλλήλους εὔνουν ὁρῶντες. παρακαλοῦμεν δὲ σὲ καὶ τοὺς ἐντευξομένους τοῖς 5
ὑπομνήμασι μὴ τὴν ἐν λόγοις δύναμιν ἡμῶν σκοπεῖν, ἀλλὰ τὴν ἐν τοῖς πράγμασι μετ' ἐμπειρίας ἐπιμέλειαν. μετὰ γὰρ πλείστης ἀκριβείας τὰ μὲν πλεῖστα δι' αὐτοψίας γνόντες, τὰ δὲ ἐξ ἱστορίας τῆς πᾶσι συμφώνου καὶ ἀνακρίσεως τῶν παρ' ἑκάστοις ἐπιχωρίων ἀκριβώσαντες πειρασόμεθα καὶ τῇ τάξει διαφόρῳ χρήσασθαι καὶ τὰ γένη κατὰ τὰς δυνάμεις ἑκάστου αὐτῶν ἀναγράψασθαι. ὅτι γε μὴν ἀναγκαῖος ὑπάρχει ὁ περὶ φαρμάκων λόγος, παντί που δῆλον, συνεζευγμένος ὅλῃ τῇ τέχνῃ καὶ τὴν ἀφ' ἑαυτοῦ συμμαχίαν ἀήττητον παντὶ μέρει παρεχόμενος, καὶ διότι δύναται αὔξεσθαι κατά τε τὰς σκευασίας καὶ τὰς μείξεις καὶ τοὺς ἐπὶ τῶν παθῶν πειρασμοὺς πλεῖστα συμβαλλομένης τῆς περὶ ἕκαστον τῶν φαρμάκων γνώσεως. προσπαραληψόμεθα 6
δὲ καὶ τὴν συνήθη καὶ σύμφυλον ὕλην, ἵνα ἡ γραφὴ γένηται τελεία.

πρὸ πάντων οὖν φροντίζειν τῆς ἀποθέσεως καὶ συλλογῆς ἑκάστου κατὰ τοὺς οἰκείους καιροὺς προσήκει· παρὰ γὰρ δὴ τούτους ἢ ἐνεργῆ ἢ ἐξίτηλα γίνεται τὰ φάρμακα· αἰθρίου γὰρ ὄντος τοῦ καταστήματος συλλέγειν δεῖ. μεγάλη γὰρ κἂν τούτῳ ὑπάρχει διαφορὰ παρὰ τὸ αὐχμῶν ἢ ὄμβρων παραγινομένων τὴν συλλογὴν ποιεῖσθαι, ὡς καὶ παρὰ τὸ ὀρεινοὺς καὶ ὑψηλοὺς καὶ διαπνεομένους καὶ ψυχροὺς καὶ ἀνύδρους εἶναι τοὺς τόπους· ἰσχυρότεραι γάρ εἰσιν αἱ δυνάμεις αὐτῶν. αἱ δὲ ἐν πεδινοῖς

19 SIM. cf. Theophr. de caus. VI 13.

1 *μικρὸν* HDa *λικιννίου* HDa: *λικανίου* FDi: correxi cf. Prosop. I. R. II 259 2 *ἐπέγνωμεν* HDa 3 *ἀμφοτέρους* FDi *ἡμῶν* F 5 *ἡμῶν δύναμιν* Da 6 *πλείστης*] *τῆς λοιπῆς* HDa 7 *μὲν* om. FDi *πλεῖστα*] *λοιπὰ* FDi *τὰ δὲ καὶ* HDa 8 *τῆς*] *τοῖς* Da *καὶ* om. Da *τῶν*] *τῆς* F *ἑκάστης* FDa 10 *καὶ τὰς δυνάμεις* libri: mg. cod. Ambr. L 119 sup. add. m. rec. *ἢ καὶ τὰ γένη κατὰ τὰς δυνάμεις αὐτῶν ὡς ἐγῷμαι*: correxi *ἑκάστου* om. Di 13 *ἀφ' ἑαυτοῦ* H: *ἀπ' αὐτοῦ* FDi: *αὐτοῦ* vel *ἑαυτοῦ* Da 14 *ὅτι* HDa *αὔξασθαι* Da *τὰς* (utrobique) om. Da *τε καὶ* F *τὰς* (alt.) om. H 16 *ἕκαστον φάρμακον* Da *προσπεριληψόμεθα* Da 17 *ἔμφυλον* H: *σύμφυλλον* reliqui 19 *οὖν*] *δὲ* Di *τῆς συλλογῆς* HDa 20 *προσῆκε* Da *περὶ* Da 21 *ἐνεργεῖ* HDi 22 *καὶ τούτων* FDiDa 23 *διαφορὰ ὑπάρχει* HDa *παρὰ* om. HDa *τὸ*] *τοῦ* Da: *τῶν* H *παραγεννομένων* F: *προγεγενημένων* HDa: *γενομένων* Di: correxi 24 *ὥσπερ* HDiDa *παρὰ* om. HDiDa *τὸ* om. F post *ὀρεινοὺς* add. *ποιεῖσθαι* Da 25 *ἀνύδρους τόπους εἶναι* H 26 *αὐτῶν* om. HDa ad rem cf. epist. Pseudohipp. 16 (IX 344 L.), cuius auctor imitatus est D

καὶ καθύγροις ⟨τόποις⟩ καὶ κατασκίοις καὶ μὴ διαπνεομένοις
ἀτονώτεραι κατὰ τὸ πλεῖστον, καὶ μᾶλλον αἱ μὴ καθ' ὥραν
7 εὐκαίρως συλλεγεῖσαι ἢ δι' ἀσθένειαν ἐφθινηκυῖαι. οὐκ ἀγνο-
ητέον μέντοι ὅτι πολλάκις τὰ τοιαῦτα παρὰ τὴν ἰδιότητα τῆς
χώρας καὶ παρὰ τὴν σύγκρασιν τοῦ ἔτους τάχιον ἢ βράδιον
ἀκμάζει, ἔνια δὲ καὶ παρὰ τὴν ἑαυτῶν ἰδιότητα ἐν χειμῶνι ἄνθη
τε καὶ φύλλα φέρει, τινὰ δὲ καὶ δὶς τοῦ ἔτους ἀνθοφορεῖ. τὸν
δὲ βουλόμενον ἐν τούτοις ἐμπειρίαν ἔχειν δεῖ κατά τε τὴν ἀρτι-
φυῆ βλάστησιν ἐκ τῆς γῆς καὶ ἀκμάζουσι καὶ παρηκμακόσι παρα-
τυγχάνειν· οὔτε γὰρ ὁ τῇ βλαστήσει ἐντετυχηκὼς μόνον δύνα-
ται τὸ ἀκμάζον γνωρίσαι οὔτε ὁ ἑωρακὼς τὰ ἀκμάζοντα τὸ
ἀρτιφυὲς ἐπιγνῶναι. παρὰ γὰρ τοὺς μετασχηματισμοὺς τῶν
φύλλων καὶ τὰ μεγέθη τῶν καυλῶν καὶ ἀνθῶν καὶ καρπῶν καί
τινας ἄλλας ἰδιότητας μεγάλη πλάνη γίνεται ἐπ' ἐνίων τοῖς μὴ
8 οὕτω τὴν θέαν ποιησαμένοις. παρὰ ταύτην γοῦν τὴν αἰτίαν
τινὲς τῶν ἀναγραψαμένων ἐπλανήθησαν εἰπόντες τινὰ μήτε
ἄνθη μήτε καυλὸν μήτε καρπὸν φέρειν, καθάπερ ἐπὶ τῆς ἀγρώ-
στεως καὶ βηχίου καὶ πενταφύλλου. ὁ δὲ πολλάκις ἐντετευχὼς
αὐτοῖς καὶ ἐν πολλοῖς τόποις μάλιστα τὴν ἐπίγνωσιν ποιήσεται.
χρὴ μέντοι εἰδέναι ὅτι ἔνια τῶν βοτανικῶν φαρμάκων ἐπὶ
πολλὰ ἔτη διαμένει, οἷον ἐλλέβορος λευκὸς καὶ μέλας, τὰ δὲ
λοιπὰ μέχρι τριετίας ἐστὶν εὔχρηστα. τὰ μὲν οὖν ἐρνώδη, ὧν
ἐστι στοιχάς, χαμαίδρυς, πόλιον, ἀβρότονον, σέριφον, ἀψίνθιον,
ὕσσωπον καὶ τὰ ὅμοια τούτοις, συλλέγειν δεῖ ἐγκύμονα τῶν
σπερμάτων, ἄνθη δὲ πρὸ τῆς ἀποπτώσεως αὐτῶν, τοὺς δὲ καρ-
ποὺς πεπείρους ὄντας, καὶ τὰ σπέρματα δὲ ἀρχόμενα ξηραί-
9 νεσθαι πρὸ τοῦ ἀπορρεῖν· χυλίζειν δὲ τὰς βοτάνας ἀρτιβλάστων
ὄντων τῶν καυλῶν, ὁμοίως καὶ τὰ φύλλα, ὀπούς δὲ καὶ δάκρυα

20 SIM. [Theophr.] h. pl. IX 14; Pl. XXVII 143 sq.

1 *τόποις* addidi ex H 2 *μὴ* om. Spr. 3 *ἐφθινικνῖαι* F: *ἐφθικνῖαι* HDa 4 *πολλάκις* post *τοιαῦτα* colloc. HDa *τὰ τοιαῦτα*] *ταῦτα* FDi *περὶ* Da 6 *αὐτῶν* HDa 8 *τὴν ἐν τούτοις* HDa *κατά γε* Ald.: *κατά τε* QDi: *κτᾶσθαι* Da 9 *ἀκμάζει* vel *ἀκμάζειν* Da *παρακμάζουσι* H: *παρακμάζει* vel *παρακμάζειν* Da 10 *τὴν βλάστης* F: *τῇ βλάστῃ* Di: *ἐν τῇ βλαστήσει* Da *ἐντετευχὼς* Da *μόνον* post *δύναται* colloc. HDa 11 *ὁ* om. Da *τὸ ἀκμάζον* HDa: *τι ἀκμάζον* vulgo 14 *ἐνίοις* Di 16 *ἀναγραψάντων* H 18 *ἐντετυχηκὼς* H 20 *ἔνια*] *μόνα* libri: *τινὰ* coni. Bauhinus: correxi 21 *οἷον* om. H *ὁ λευκὸς* vulgo cf. D. IV 148. 162 22 *ἄχρι* H post *τριετίας* add. *ὡς ἐπὶ τὸ πλεῖστον* vulgo *εἰσὶν* F *ἄχρηστα* DiDa *ὧν* om. FDiDa 23 *ἀψίνθιον σέριφον* H 24 *τούτων* Da 26 *ὄντας* om. FDiDa 27 *ἄρτι βλαστανόντων* H: *ἀρτιβλάστων* reliqui: cf. D. III 48. Theophr. c. pl. II, 1, 7 28 *ὁμοίως δὲ* H *τὰ δάκρυα* H

λαμβάνειν τέμνοντας ἐν ἀκμῇ ἔτι τοὺς καυλούς, τὰς δὲ εἰς ἀπόθεσιν ῥίζας καὶ χυλίσματα καὶ φλοιοὺς ἀφαιρεῖν ἀρχομένων φυλλορροεῖν τῶν βοτανῶν· καὶ τὰς μὲν καθαρὰς αὐτόθεν ξηραίνειν ἐν τόποις ἀνοτίστοις, τὰς δὲ μετεχούσας γῆς ἢ πηλοῦ πλύνειν ὕδατι. ἀποτίθεσθαι δὲ καὶ ἄνθη καὶ ὅσα εὐώδη τυγχάνει ἐν κιβωτίοις φιλυρίνοις ἀνοτίστοις, ἔστι δ' ὅτε καὶ ἐν χάρταις ἢ φύλλοις χρησίμως περιδεῖται πρὸς συμμονὴν τῶν σπερμάτων. πρὸς δὲ τὰ ὑγρὰ φάρμακα ἁρμόσει ὕλη πᾶσα ἐξ ἀργύρου ἢ ὑάλου ἢ κεράτων γεγενημένη, καὶ ὀστρακίνη δὲ ἡ μὴ ἀραιὰ εὔθετος, ξυλίνων δὲ ὅσα ἐκ πύξου κατασκευάζεται. τὰ δὲ χαλκᾶ ἀγγεῖα ἁρμόσει πρὸς τὰ ὀφθαλμικὰ ὑγρὰ καὶ ὅσα δι' ὄξους ἢ πίσσης ὑγρᾶς ἢ κεδρίας σκευάζεται· στέατα δὲ καὶ μυελοὺς ἐν κασσιτερίνοις ἀποτίθεσθαι.

1 ἶρις Ἰλλυρικὴ φύλλα φέρει ὅμοια ξιφίῳ, μείζονα δὲ καὶ πλατύτερα καὶ λιπαρώτερα, ἄνθη ἐπὶ καυλῶν παράλληλα, ἐπικαμπῆ, ποικίλα· ἢ γὰρ λευκὰ [ἢ ὠχρὰ] ἢ μήλινα ἢ πορφυρᾶ ἢ κυανίζοντα ὁρᾶται, ὅθεν διὰ τὴν ποικιλίαν ἀπεικάσθη Ἴριδι

---

1 RV: ἶρις· οἱ δὲ ἶρις Ἰλλυρική, οἱ δὲ θαλπεινή, οἱ δὲ οὐρανία, οἱ δὲ καθαίρων, οἱ δὲ Θαυμαστίς, Ῥωμαῖοι ῥάδιξ μου-

---

14 SIM. Theophr. h. pl. IV 5, 2; IX 7, 3; de caus. VI 18, 12; de od. 21. 32; Pl. XXI 40sq. 140 (e S. N.) cf. Ath. XV 681f.

14 EXC. Orib. XI s. v. (ἶρις — γίνονται); Paul. Aeg. VII 3 s. v.; Ps. Orib. de simpl. III 43 (e Dl ∾ A. Mai VII 431); Isid. XVII 9, 9.

---

1 τέμνονας F: τέμνοντα H ἔτι H: om. reliqui: ὄντας coni. Sar. cf. D. III 70 2 φλοιῶν ἀφαιρέσεις HSar. 3 αὐτόθι FDiDa: αὐτόθεν post ξηρ. colloc. H 5 ἰνώδη H: ἐρυώδη F 6 φιλλυρίνοις HDa ἔστι δὲ ἃ H ἐν ante χάρταις om. H χάρτῃ DiDa: χάρταις χρησίμως H 7 διαμονὴν H 8 πᾶσα ἡ (om. p) πυκνὴ HDi 9 ὑέλου HDi: ὑάλων Da γινομένη H 10 καὶ post εὔθετος add. H ξυλίνη DiDa 11 ὀφθαλμικὰ φάρμακα καὶ ὑγρὰ H: ὀφθαλμικὰ καὶ (add. sec.) ὑγρὰ φάρμακα Di 12 κατασκευάζεται Di: ἀποσκευάζεται H 13 κασσιτηρίνοις F: κασιτηρίνοις Di: κασιτερίνοις Da ἀγγείοις add. HDi δεῖ post ἀποτίθεσθαι add. HDi cf. Kühner Gr.[3] II 2, 22

14 num. cap. $\overline{\alpha}$ QDiDl post ἶρις e R add. οἱ δὲ — ὠνόμασται Di φύλλα δὲ RDi 15 καὶ λιπαρώτερα om. H, post ἄνθη add. δὲ λιπαρώτερα λιπαρώτερα] μελανότερα Da καυλῷ QDiDa: κλωνίων R: *in summis caulibus* Orib.lat.: ἐπίκαυλα coni. Marc.: correxi παρ' ἄλληλα F 16 ἢ] partim cf. Pl. XXI 41 post λευκὰ add. ἢ ὠχρὰ HDiDaOrib. lat.: ὠχρὰ super μήλινα scr. F: om. Dl: seclusi μήλινα] μέλανα HOrib.lat. quod probat Sar.

18 C fol. 148ʳ: N 42 post ἰλλυρική add. ὁμοίως N θαλπεινή scripsi propter effectum: θελπηδη C: θελπελη N: θελπίδη HDi: θαλπίδη coni. Marc. 19 θαυμαστις C: θαυμαστός NDi: θαυμαστή H: correxi cf. Plat. Theaet. 155 d μουρίκα libri: correxi coll. Pl. XX 262 *muricatis cacuminibus* (de carduo)

τῇ οὐρανίᾳ. ῥίζαι δὲ ὕπεισι γονατώδεις, στερεαί, εὐώδεις, ἃς δεῖ μετὰ τὴν τομὴν ξηράναντας ἐν σκιᾷ καὶ διείραντας λίνῳ ἀποτίθεσθαι. ἔστι δὲ βελτίων ἡ Ἰλλυρικὴ καὶ Μακεδονική, καὶ ταύτης ἀρίστη ἡ πυκνόρριζος καὶ ὑποκόλοβος καὶ δύσθραυστος καὶ τῇ χρόᾳ ὑπόκιρρος καὶ σφόδρα εὐώδης καὶ τῇ γεύσει πυρω⟨δεσ⟩τέρα τήν τε ὀσμὴν εἰλικρινὴς καὶ μὴ νοτίζουσα πταρμούς τε ἐν τῷ κόπτεσθαι κινοῦσα. ἡ δὲ Λιβυκὴ λευκή τέ ἐστι τὴν χρόαν τῇ τε γεύσει πικρά, δευτερεύουσα ⟨δὲ⟩ τῇ δυνάμει. παλαιούμεναι δὲ τερηδονίζονται, εὐωδέστεραι μέντοι τότε γίνονται.

2 δύναμιν δὲ ἔχουσι πᾶσαι θερμαντικήν, λεπτυντικήν, ἁρμόζουσαι πρὸς βῆχας καὶ τὰ δυσανάγωγα ὑγρὰ λεπτοποιοῦσαι. καθαίρουσι δὲ πάχη καὶ χολὰς ποτιζόμεναι μεθ' ὑδρομέλιτος

ρικά⟨τα⟩, οἱ δὲ γλαδιο⟨λου⟩μ, οἱ δὲ ὠπερτρίτις, οἱ δὲ κονσακράτριξ, Αἰγύπτιοι ναρί. ἀπὸ μὲν τῆς κατ' οὐρανὸν ἐμφερείας ὠνόμασται, φύλλα δὲ ἔχει ὡς ξιφίον, μείζονα δὲ καὶ πλατύτερα καὶ λιπαρώτερα, ἄνθη παράλληλα ἐπὶ κλωνίων λευκὰ καὶ μήλινα καὶ πορφυρᾶ καὶ κυανίζοντα, ῥίζας γονατώδεις, στερεάς, εὐώδεις. τμηθεῖσαι δ' αὗται ξηραίνονται ἐν σκιᾷ καὶ λίνῳ διαπαρεῖσαι ἀποτίθενται. βελτίων δὲ ἡ Ἰλλυρικὴ καὶ Μακεδονικὴ καὶ ἐν ταύταις ἡ πυκνόρριζος, ὑποκόλοβος, δύσθραυστος, ὑπόκιρρος, εὐώδης ἄγαν καὶ πυροῦσα τὴν γλῶσσαν, πταρμοὺς ἐν τῷ κόπτεσθαι κινοῦσα. δευτέρα ἡ Λιβυκή, λευκὴ κατὰ χρόαν, πικρὰ πρὸς γεῦσιν. παλαιούμεναι δὲ πᾶσαι τερηδονίζονται μέν, εὐωδέστεραι δὲ γίνονται καὶ θερμαντικὴν ἔχουσι δύναμιν, ἐφή-

---

10 SIM. Theophr. de od. 21 Pl. XXI 141 — Ruf. (Orib. II 113) Pl. XXI 140 — Ruf. (Orib. II 113) Theophr. de od. 60 Pl. XXI 140 — Pl. l. s. 142 — Pl. l. s 141 D. cup. II 40 (254) — Nic. Th. 607. 937 (ex Apollod.) Pl. l. s. 142 eup. II 115 (316) — Ruf. (Orib. l. s.) Pl. l. s. 141 — cup. II 34 (247) — Ruf. l. s. Pl. 141 eup. II 22 (235) — cup. II 98 (301).

---

1 post *οὐρανίᾳ* syn. e R add. H *δὲ*] om. Di: *γὰρ* Da 2 *ξηράναντα* HDi: *ξηράναι* Da *καὶ ἐν σκιᾷ διάραι* Da *διείραντα* HDi 4 *ταύτης* QDa: *ἐν ταύταις* RDi: *inter has* Orib. 5 *πυρωτέρα* libri: correxi 6 *μὴ νοτίζουσα*] *nullum situm redolente* Orib. 7 *δευτέρα δὲ ἡ λιβυκὴ λευκὴ κατὰ χρόαν, πικρὰ πρὸς γεῦσιν* Di (e R) 8 *τε* om. H *δευτέρα οὖσα* H *δὲ* add. Krause *τῇ* (alt.) om. H 9 *εὐωδέστεροι* H 10 *ἁρμόζον*(*σ* superscr.) F: *ἁρμόζουσαν* DiDa 12 *πάθη* H (atr. rufo) Di cf. D. IV 152, 1

13 *γλαδιολα* R: *γαλδιόλα* reliqui: correxi (ΓΛΑΔΙΟΛΟΜ scr. arch.) cf. D IV 20. 22 *ὠπερτριτις* R: *ὀπερτρίτης* Di: *ὀπερτρίτις* H: *σουπερστιτιώσα* coni. Krause 14 *νάρ* HDi 18 *δαυται* C: *ταυται* N 20 *πυκνόριζος* R 23 *δὲ*] *τε* N 24 *ἔχουσαι* R

ὁλκὴ δραχμῶν ἑπτά. εἰσὶ δὲ καὶ ὑπνοποιοὶ καὶ δακρυοποιοὶ καὶ στρόφους ἰῶνται. μετ' ὄξους δὲ πινόμεναι θηριοδήκτοις ἀρήγουσι καὶ σπληνικοῖς καὶ σπωμένοις καὶ περιψυχομένοις ἢ ῥιγοῦσι καὶ τοῖς γόνον προιεμένοις, σὺν οἴνῳ δὲ ποθεῖσαι ἄγουσιν ἔμμηνα. καὶ τὸ ἀπόζεμα δὲ αὐτῶν πρὸς γυναικείας πυρίας εὔθετον, μαλάσσον τοὺς τόπους καὶ ἀναστομοῦν, ἰσχιάδος τε ἔγκλυσμα, καὶ συρίγγων καὶ κόλπων σαρκωτικόν. προστε- 3
θεῖσαι δὲ ὡς κολλύριον μετὰ μέλιτος ἔμβρυα κατασπῶσι, ⟨καὶ⟩ μαλάσσουσι δὲ χοιράδας καὶ σκιρρώματα παλαιὰ ἑφθαὶ καταπλασθεῖσαι. ξηραὶ δὲ πληροῦσιν ἕλκη καὶ ἀνακαθαίρουσι μετὰ μέλιτος καὶ τὰ ἐψιλωμένα τῶν ὀστέων σαρκοῦσιν. ὠφελοῦσι δὲ καὶ κεφαλαλγίας σὺν ὄξει καὶ ῥοδίνῳ καταπλασθεῖσαι, φακούς τε καὶ ἐφήλεις ἀποκαθαίρουσι σὺν ἐλλεβόρῳ λευκῷ διπλασίονι καὶ μέλιτι καταχρισθεῖσαι. μείγνυνται δὲ καὶ πεσσοῖς καὶ μαλάγμασι καὶ ἀκόποις, καὶ καθόλου εἰσὶ πολύχρηστοι.

2 ἄκορον τὰ μὲν φύλλα ἔχει ἐμφερῆ ἴριδι, στενότερα δέ, καὶ τὰς ῥίζας ⟨δὲ⟩ οὐκ ἀνομοίους, διαπεπλεγμένας δὲ καὶ οὐκ

λεις καθαίρουσαι καὶ φακοὺς καταπλαττόμεναι μετ' ἐλλεβόρου λευκοῦ διπλασίονος· ἕλκη σαρκοῦσιν καὶ τὰ δυσανάγωγα τῶν ὑγρῶν λεπτύνουσιν καὶ φθοροποιὸν δύναμιν ἀναλαμβάνουσιν ποτιζόμεναι μεθ' ὑδρομέλιτος.

2 RV: ἄκορον· οἱ δὲ χορὸς Ἀφροδίσιος, Ῥωμαῖοι Βενέριαμ, οἱ δὲ ναύτικα ῥάδιξ, Γάλλοι πίπερ ἄπιουμ.

3 TEST. Ruf. 462 (ed. Ruelle): Ruffus et *Diascorides*. yreos curat spasmum nervorum.

4 SIM. D. eup. II 76 (288) — eup. II 70 (284) — eup. I 238 (219) Pl. XXI 141 — eup. I 207 (201) — eup. II 78 (292) — Pl. XXI 143 eup. I 154 (173) — Pl. 142 — Pl. XXI 141. XXVI 142 — Pl. XXI 142 eup. I 2, 95 Archig. (Gal. XII 552) — Cels. V 18, 3. 27.

16 SIM. Pl. XXV 157 (e S. N.); Ps. Ap. 7

16 EXC. Orib. XI s. v. (*ἄκορον — λεγόμενον*); Gal. XI 819 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.); Isid. XVII 9, 10 (e D. lat.); Ps. Orib. de simpl. V 31; Hes. s. v.

1 *ὁλκῇ* F: *ὁλκῆς* Di 5 *γυναικείους* Di 7 *τε* om. Da *εἰς ἔγκλυσμα* H *σαρκωτικαί* H 8 *κολλούριον* F *καὶ* addidi 13 *ἐφήλας* H: *ἐφί* (*λ* superscr.) F *καὶ διπλασίονι μέλιτι* Di 14 *καὶ* (pr.) om. Da *καταχρισθεῖσαι* F: *καταπλασθεῖσαι* reliqui

16 num. cap. $\overline{\beta}$ QDiDl post *ἄκορον* syn. e R add. Di, post *λεγόμενον* H, in calce Da 17 *τὰς* om. H *δὲ* addidi *ἀνομοίας* C *δὲ* om. Di

19 *λευκοῦ καὶ* N 20 *ἀναλαμβάνουσιν* C: *ἀμβλύνουσιν* N

22 C fol. 59r: om. N ad *χορὸς* cf. Sot. mem. 43. Strab. 626 *ἀφροδισίας* libri: correxi coll. Ps. Ap. *alii dicunt afrodisius*. Ps. Orib. IV 11 *itali veneriam* Ps. Ap. 23 *radix nutica* Ps. Ap. *πεπερακιούμ* libri: corr. Marc. coll. Ps. Ap. *galli piper apium*

εἰς εὐθὺ πεφυκυίας, ἀλλὰ πλαγίας καὶ ἐξ ἐπιπολῆς, γόνασι διειλημμένας, ὑπολεύκους, δριμείας δὲ τῇ γεύσει καὶ τῇ ὀσμῇ οὐκ ἀηδεῖς. διαφέρει δὲ τὸ πυκνὸν καὶ λευκὸν ἄβρωτόν τε καὶ πλῆρες εὐωδίας. τοιοῦτο δέ ἐστι τὸ ἐν Κολχίδι καὶ τὸ ἐκ τῆς Γαλατίας δὲ ἄσπληνον λεγόμενον.

2 δύναμιν δὲ ἔχει ἡ ῥίζα θερμαντικήν. πινόμενον δὲ τὸ ἀπόζεμα οὖρα κινεῖ, ἁρμόζον πρὸς πλευρᾶς πόνους καὶ θώρακος καὶ ἥπατος, στρόφους, ῥήγματα, σπάσματα, σπλῆνάς ⟨τε⟩ τήκει· ὠφελεῖ καὶ στραγγουριῶντας, θηριοδήκτους, καὶ εἰς ἐγκάθισμα ὡς ἶρις πρὸς τὰ γυναικεῖα. ὁ δὲ χυλὸς τῆς ῥίζης ἀποκαθαίρει τὰ ἐπισκοτοῦντα ταῖς κόραις· μείγνυται δὲ καὶ ταῖς ἀντιδότοις ἡ ῥίζα χρησίμως.

3 μῆον τὸ καλούμενον Ἀθαμαντικὸν γεννᾶται πλεῖστον ἐν Μακεδονίᾳ καὶ Σπανίᾳ, ὅμοιον ⟨τῷ⟩ καυλῷ καὶ τοῖς φύλλοις ἀνήθῳ, παχύτερον δὲ τοῦ ἀνήθου, δίπηχύ που ἀναβαῖνον, ταῖς ῥίζαις ὑπεσπαρμένον λεπταῖς, πλαγίαις καὶ εὐθείαις, μακραῖς, εὐώδεσι,

---

6 SIM. Pl. XXV 158 — Cels. III 21 (107, 15) Ruf. ed. Ruell. 8. Pl. XXVI 80 D. eup. II 112 (310) — eup. II 35 (247) — Pl. XXVI 28 — Pl. XXVI 35 eup. II 58 (270) — Pl. XXVI 74 — Pl. XXVI 137 eup. II 34 (246) — Pl. XXVI 77 eup. II 60 (272) — Pl. XXV 158 eup II 115 (315) — Pl. XXVI 160 eup. II 72 (286) — Pl. XXV 158 eup. I 41 (111) — Scrib. L. 170. Cels. V 23, 3. Pl. XXVI 28. Gal. XIV 107. 166 saepius.

13 SIM. Pl. XX 253 (e S. N.).

13 EXC. Orib. XI s. v. (*μῆον — γλῶτταν*); Gal. XII 78 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

---

1 *εὐθεῖς* C *ἀλλὰ καὶ* C *ἐπιπλοκῆς* C 2 *ἀπολεύκους* (*α* in ras.) F: *nigras* Pl. cf. Ps. Orib. l. s. *δριμεῖς* Q *δὲ* om. HDi: post *τῇ* pos. Orib. *καὶ τῇ* om. QDa *ὀσμὴ* HDa 3 *ἀηδὴς* HDa: *ἀηδ* (*ς* superscr.) F *λευκόν τε καὶ πυκνὸν* Orib. *πυκνὸν*] *πικρὸν* H, probat Marc. coll. Gal. l. s.: *ὑπόπυκνον* Da: *duru* Dl *τὸ λευκὸν* C *καὶ ἄβρωτον* Orib. *τε καὶ* om. COrib. 4 *πλῆρες καὶ* Orib. *εὐωδίας* C: *εὐῶδες* reliqui *τοῦτο* QDiDa *ἐστι καὶ* Orib. *ἐν τῇ* C *χαλκίδι* QDiDaDl, at cf. Pl. l. s. *τὸ* (alt.) om. CDi *ἐν τῇ γαλατίᾳ* C: *τῇ γαλατίᾳ* Di 5 *δὲ* om. Orib.CDiDa *ἀσπλήτιον* QDiDa: *aspejon* Dl: *σπλήνιον* C: *δασπλήτιον* (= *δ' ἀσπλ.*) Orib. (*δάσπληνον* in mg. corr. O[2]): *daspetiacae* Pl.: correxi cf. D. III 134 6 *τὸ* om. H *ἀψέψημα* C: *ἀφέψημα αὐτοῦ* Di: fort. *αὐτῆς* addendum 7 *πόνον* CH 8 *καὶ* om. QDa *καὶ στρόφους καὶ ῥήγματα* C *τε* addidi 9 *καὶ θηριοδήκτους* CH 10 *ὥσπερ ἡ ἶρις* C: *ὡς ἶρις* reliqui post *γυναικεῖα* add. *ἁρμόζει* CDi 11 *καὶ τὰ ἐπισκ.* C *ταῖς* (alt.)] *τοῖς* Da

13 num. cap. $\overline{\gamma}$ QDiDl *μεῖον* QDiDa: *μῆον* Orib. Gal. Pl. Dl. *τὸ καλούμενον* om. Orib. 14 *καὶ Σπανίᾳ* om. Orib. *τῷ* addidi e Da *ἀνίθῳ* F 15 *παχύτερον — ἀνήθου* om. Orib. *που*] *ὡς τὸ πολὺ* Orib. 16 *συνεσπαρμένον* Orib. *πλαγίως* DaDi

θερμαινούσαις τὴν γλῶτταν, αἵτινες ἀποζεσθεῖσαι μεθ' ὕδατος ἢ καὶ λεῖαι δίχα ἑψήσεως ποθεῖσαι τὰ στεγνὰ περὶ κύστιν καὶ νεφροὺς πάθη παρηγοροῦσι καὶ δυσουρίαις ἁρμόζουσι, στομάχου τε ἐμπνευματώσεσι καὶ στρόφοις, ὑστερικαῖς τε διαθέσεσι καὶ ἄρθρων πόνοις, θώρακί ⟨τε⟩ ῥευματιζομένῳ σὺν μέλιτι λεῖαι ἀντὶ ἐκλεικτοῦ βοηθοῦσιν, αἷμά τε ἄγουσι δι' ἐμμήνων ἀποζεσθεῖσαι εἰς ἐγκάθισμα, παιδίων δὲ καταπλασθέντος ⟨τοῦ⟩ ἐφηβαίου οὖρα ἄγουσιν. ἔστι δὲ καὶ κεφαλαλγὲς πλεῖον ἢ δεῖ πινόμενον.

4 κύπερος· οἱ δὲ ἐρυσίσκηπτρον ὡς τὴν ἀσπάλαθον καλοῦσιν. ἔχει φύλλα ὅμοια πράσῳ, μακρότερα δὲ καὶ ἰσχνότερα, καυλὸν δὲ πηχυαῖον ἢ καὶ μείζονα, γωνιώδη, ὅμοιον σχοίνῳ, οὗ κατὰ κορυφὴν φυλλαρίων ἐστὶν ἔκφυσις μικρῶν καὶ σπέρματος. ῥίζαι δ' ὕπεισιν, ὧν καὶ ἡ χρῆσις, ὥσπερ ἐπιμήκεις ἐλαῖαι συναφθεῖσαι ἑαυταῖς ἢ καὶ στρογγύλαι, μέλαιναι, εὐώδεις, ἔμπικροι. φύεται δὲ ἐν τόποις ἐργασίμοις καὶ τελματώδεσιν.

---

4 RV: κύπερον· οἱ δὲ καὶ ταύτην ἐρυσίσκηπτρον ὡς τὴν ἀσπάλαθον καλοῦσιν, Ῥωμαῖοι ἰούγκι ῥαδίκεμ, οἱ δὲ ἰούγκουμ.

---

1 SIM. Pl. l. s. D. eup. II 102 (304) II 14 (232) II 40 (255) I 234 (214) II 80 (293) II 109 (308).

10 SIM. Pl. XXI 117 (e S. N.); schol. Nic. Al. 590; Geop. II 6, 32 cf. [Arr.] peripl. m. E. 24.

11 EXC. Orib. XI s. v. (κύπερος — νήσων); Orib. t. V 74 D. ∾ Aet. II 196 (ἀρίστη — δριμύτητος); Gal. XII 54 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.); Isid. XVII 9, 8 (e D. lat.); Ps. Orib. de simpl. V 61; Hes. s. v. κύπειρος (e D. gloss.).

---

5 καὶ om. QDiDa (at διαθέσεσιν F) τε addidi 7 καταπλασθέντες F: καταπλασθέντα Da: καταπλασθεῖσαι HDi: correxi 8 τοῦ addidi ἐφ' ἠβαίου FDi: ἐφηβαίοις H cf. D. eup. II 109 (308) ὁμοίως δὲ οὖρα ἄγει μῆον λεῖον καταπλασθὲν κατὰ τοῦ ἐφηβαίου

10 num. cap. δ̄ QDiDl κύπερος QPlin.Gal.Orib.: κύπειρος DiDa: κύπερον C: κύπαιρος ἢ κύπηρον N: κύπειρον Theophr. ἐρυσίσκηπτον F: ἐρυσισκρηπτον Di: erisceptron Dl: ἐρίσκηπτον Hes. l. s.: ἰρίσκηπτον coni. Salm. Pl. exerc. 397: at cf. D. I 20 post καλοῦσιν syn. e R add. Di 11 ἔχει δὲ NHDa: φύλλα ἔχει CDi πράσσῳ F post ἰσχνότερα add. καὶ σκληρότερα R 12 διπηχιαῖον (om. δὲ) N σχίνῳ Di: σχοινίῳ R 13 φύλλων ἔκφυσις (ἔκκρισις N) ἐστιν R μακρῶν FDa 14 ἐλαῖαι ἐπιμήκεις R: ἐπιμήκης ἐλαία F: ἐπιμήκεις ἐλαία Da: ἐπιμήκεις ἐλαίας Di: ἐπιμήκεις ὡς ἐλαῖαι H συναφεῖς RDi: συνάπτουσαι H: συναφθεῖσα FDa 15 ἑαυταῖς NDi: αὐταῖς reliqui ἢ καὶ στρογγύλαι om. R εὐώδεις om. Da ἔμπικροι κυπαίρῳ ὅμοιαι C: ὡς κυπέρου ἔμπικροι N 16 δὲ om. R

17 C fol. 200r: N 107 κύπερον C: κύπαιρος ἢ κύπηρον N 18 ἰουνκιραδικευ, οἱ δὲ ἰουνκουμ R

ἀρίστη δέ ἐστιν ἡ βαρυτάτη καὶ πυκνή, ἁδρὰ καὶ δύσθραυστος, τραχεῖα, εὐώδης μετά τινος δριμύτητος. τοιαύτη δέ ἐστιν ἡ Κιλίκιος καὶ ἡ Συριακὴ καὶ ἡ ἀπὸ τῶν Κυκλάδων νήσων.

2 δύναμις δέ ἐστιν αὐτῆς θερμαντική, ἀναστομωτική, διουρητικὴ ⟨ἐπὶ⟩ λιθιώντων καὶ ὑδρωπος πινομένη. βοηθεῖ δὲ καὶ σκορπιοπλήκτοις, καὶ πρὸς τὰς περὶ μήτραν καταψύξεις καὶ μύσεις πυριωμένη ἁρμόζει, ἄγουσα ἔμμηνα. ποιεῖ δὲ καὶ τοῖς ἐνστομίοις ἕλκεσι καὶ νεμομένοις ξηρὰ λεῖα· μείγνυται καὶ μαλάγμασι θερμαντικοῖς καὶ εἰς τὰ στύμματα τῶν μύρων εὐχρηστεῖ.

5 ἱστορεῖται δὲ καὶ ἕτερον εἶδος κυπέρου ἐν Ἰνδίᾳ γεννώμενον, προσεοικὸς ζιγγιβέρει, ὃ διαμασηθὲν κροκῶδες, πικρὸν εὑρίσκεται, καταχρισθὲν δὲ παραχρῆμα ψιλοῖ τὰς τρίχας.

6 καρδάμωμον ἄριστον τὸ ἐκ τῆς Κομμαγηνῆς καὶ Ἀρμενίας καὶ Βοσπόρου κομιζόμενον· γεννᾶται δὲ καὶ ἐν Ἰνδίᾳ καὶ Ἀραβίᾳ. ἐκλέγου δὲ τὸ δύσθραυστον, πλῆρες, μεμυκός — τὸ γὰρ μὴ τοιοῦτον ἔξωρόν ἐστι — καὶ τὸ τῇ ὀσμῇ δὲ πληκτικόν, γεύσει δὲ δριμὺ καὶ ὑπόπικρον.

δύναμιν δὲ ἔχει θερμαντικήν· ποιεῖ δὲ πινόμενον μεθ᾽

---

4 SIM. Pl. XXI 118 D. eup. II 111 (309) — Pl. 118 — Nic. Al. 590. Pl. 118 — Pl. l. s. eup. II 70 (284) — eup. II 77 (289) — Pl. l. s. — Theophr. de od. 28.
11 SIM. Pl. XXI 117. D. eup. I 103 (145).
11 EXC. Isid. XVII 9, 8 (e D. lat.).
14 SIM. Theophr. h. pl. IX 7, 2. 3; Pl. XII 50 (ex Iuba).
14 EXC. Orib. XI s. v. (καρδάμωμον — ὑπόπικρον); Orib. t. V 71 D. (∾ Aet. II 196 s. v.); Isid. XVII 9, 10; Ps. Orib. de simpl. V 71; Gal. XII 12.

---

1 δὲ om. Orib. πυκνή] πικρά N καὶ ἁδρὰ δύσθραυστος RDi 3 καὶ ἡ Συριακὴ om. R ἡ (utrobique) om. Orib. 4 αὐτῇ HDi ἀναστομωτικὴ om. H 5 ἐπὶ addidi λιθιῶσι καὶ ὑδρωπικοῖς RDi ὕδρωπος FDa: ὑδρωπιώντων H πινόμενον R βοηθεῖ om. Di δὲ om. R 6 σκορπιοδήκτοις libri: correxi ταῖς περὶ μ. περιψύξεσι καὶ μύσεσι R: ταῖς περὶ μ. δὲ καταψύξεσι καὶ μύσεσι Di 7 ἁρμόζει] βοηθεῖ RDi 8 ἐνστομίοις FN: ἐν στόμασιν CDi: ἐν στόματι reliqui καὶ om. R 10 εὐθετεῖ CDi: εὔθετος N
11 num. cap. ε̄ QDi: om. Dl δὲ ὅτι C: δ᾽ ὅτι N κυπείρου Di 12 γεννᾶται N ζιγγιβέρι CF: ζιγγιβερίῳ N ὃ om. R διαμασηθὲν δὲ N 13 πικρὸν om. RDi καὶ καταχρισθὲν δὲ N τὰς om. R post τρίχας syn. e R add. Da
14 num. cap. ϛ̄ Q: ϛ (superscr. ε̄) Di: ε′ Dl κομμαγινῆς H: κομαγινῆς FDiDa ἀρμενείας F 15 καὶ (alt.) om. Da 16 τὸ γὰρ — ἐστι non recte del. Spr. 17 δὲ om. H

ὕδατος πρὸς ἐπιληπτικούς, βήττοντας, ἰσχιαδικοὺς καὶ ⟨πρὸς⟩ παράλυσιν, ῥήγματα, σπάσματα, στρόφους καὶ ἕλμινθα πλατεῖαν ἐκβάλλει. μετ᾿ οἴνου δὲ πινόμενον νεφριτικοῖς, δυσουροῦσι, σκορπιοπλήκτοις καὶ πᾶσι τοῖς ἰοβόλοις ἁρμόζει. μετὰ δὲ δάφνης ῥίζης φλοιοῦ ποθεῖσα δραχμὴ ⟨μία⟩ λίθους θρύπτει· φθείρει καὶ ἔμβρυα ὑποθυμιώμενον καὶ ψώρας ἐξαίρει σὺν ὄξει καταχριόμενον. μείγνυται δὲ καὶ εἰς τὰς τῶν μύρων στύψεις.

7 νάρδου ἐστὶ γένη δύο· ἡ μὲν γάρ τις καλεῖται Ἰνδικὴ ἡ δὲ Συριακή, οὐχ ὅτι ἐν Συρίᾳ εὑρίσκεται, ἀλλ᾿ ὅτι τοῦ ὄρους ἐν ᾧ γεννᾶται τὸ μὲν πρὸς Συρίαν τέτραπται τὸ δὲ πρὸς Ἰνδούς. καὶ τῆς λεγομένης Συριακῆς ἐστι βελτίων ἡ πρόσφατος καὶ κούφη, πολύκομος, ξανθὴ τὴν χρόαν, εὐώδης ἄγαν καὶ μετὰ τοῦ κυπερίζειν ἐν τῇ ὀσμῇ μικρὸν ἔχουσα τὸν στάχυν, πικρὰ τὴν γεῦσιν καὶ τῆς γλώττης ἀναξηραντικὴ ἐπιμένουσά τε τῇ εὐωδίᾳ ἐφ᾿ ἱκανόν. τῆς δὲ Ἰνδικῆς ἡ μέν τις λέγεται Γαγγῖ- 2
τις ἀπό τινος ποταμοῦ παραρρέοντος τοῦ ὄρους, Γάγγου καλουμένου, παρ᾿ ᾧ φύεται, ἀσθενεστέρα κατὰ δύναμιν οὖσα διὰ τὸ ἐφ᾿ ὑδατωδῶν τόπων εἶναι καὶ ἐπιμηκεστέρα, πλείους τε ἔχουσα τοὺς στάχυας ἀπὸ τῆς αὐτῆς ῥίζης καὶ πολυκόμους καὶ περιπεπλεγμένους, βρωμώδεις κατὰ τὴν ὀσμήν. ἡ δὲ ὀρεινοτέρα εὐωδεστέρα, κολοβόσταχυς, κυπερίζουσα κατὰ τὴν εὐωδίαν ἔχουσά τε καὶ τὰ ἄλλα ἐν αὐτῇ, ὅσαπερ καὶ ἡ Συριακὴ

---

1 SIM. D. eup. I 18 (103) — I 237 (218 ubi corrige) — II 66 (281) — II 102 (303) 109 (306) cf. Cels. III 21 — II 121 (320) — II 115 (316) II 111 (309) — II 79 (292) — I 128 (158) — Theophr. de od. 32 Pl. XIII 8. 11. 18.

8 SIM. Pl. XII 42 sq. (ex Iuba) cf. Aristob. (Arr. Anab. VI 22, 5); Strab. XV 721 (e Nearcho). [Arr.] l. s 63.

8 EXC. Orib. XII s. v. (*νάρδον — χειρόνιπτρον*, *ἀποτίθενται — ἀναπλασθεῖσαι*); Orib. t. V 76 D.; Gal. XII 84 (= Aet. I s. v. Paul. Aeg. VII 3 s. v. Sim. Seth. s. v. *στάχος* aliis aliunde additis); Isid. XVII 9, 3 (e D. lat.); cf. Gal. XIV 73 sq.

---

1 *πρὸς* addidi 3 *νεφριτικοῖς* F: *νεφρικοῖς* reliqui 5 *ποθὲν ὅσον* H *μία* addidi *ῥίπτει* Da 7 in calce *καὶ ἑτέρας ἀντιδότους* add. Sar.

8 num. cap. $\overline{\xi}$ QDi: ϛʹ Dl *δύο γένη* Orib.Di 12 *καὶ* (pr.) om. Orib. *κούφη — ἄγαν* om. mg. add. Orib. (pr. m.) *τῇ χρόᾳ* Orib. 13 *μικρὸν*] *πυκνὸν* Spr. e cod. nescio quo, at cf. Isid. l. s. *spica parvum* *στάχυν*] nardi radicis nucleum cf. Gal. XIV 73 14 *τῇ γεύσει* HOrib. *γλώσσης* Orib. 15 *ἱκανὸν χρόνον* Orib. 16 *γαγκῖτις* H: *γαγγίτης* Da: *γαγνῖτις* Orib. *τοῦ* om. Orib. 17 *κατὰ*] *τὴν* Spr. 18 *ἐφ᾿ ὑδάτων* F: *ἀφ᾿ ὑδατωδῶν* Da: *ἔφυδρον* (*ο* in *ω* corr. pr. m.) *τῶν* Orib. *εἶναι* om. FOrib. *καὶ* om. H *πλείονας* H 19 *στάχυς* FDaDi: *στάχυας* Orib.: *στάχεις* vulgo 20 *βρομώδης* Orib. *ὀρεινὴ μελαντέρα* vix recte Spr. coll. Gal. XII 84 22 *αὐτῇ* vulgo *ὅσα* Orib.

λεγομένη. καλεῖται δέ τις καὶ Σαμφαριτικὴ ἀπὸ χωρίων ὠνομασμένη, μεγαλόσταχυς, λευκοτέρα, καυλὸν ἔσθ' ὅτε μέσον
3 ἔχουσα, ὑπερτραγίζοντα τῇ ὀσμῇ, ἣν δεῖ ἀπεκλέγεσθαι. πιπράσκεται δὲ καὶ ἀποβεβρεγμένη, ὅπερ γινώσκεται ἐκ τοῦ λευκὸν εἶναι τὸν στάχυν καὶ αὐχμηρὸν καὶ μὴ ἔχειν τὸν χνοῦν. δολίζουσι δὲ αὐτὴν ἐμφυσῶντες στίβι μεθ' ὕδατος ἢ οἴνου φοινικίτου πρὸς τὸ συμπιλοῦσθαι αὐτὴν καὶ βαρυτέραν γίνεσθαι. ἐπὶ δὲ τῆς χρείας ἀφαιρεῖν δεῖ, εἰ προσείη ταῖς ῥίζαις πηλός, καὶ σήθειν χωρίζοντας τὸν κονιορτὸν εὐχρηστοῦντα εἰς χειρόνιπτρον.

δύναμιν δὲ ἔχουσι θερμαντικήν, ξηραντικήν, οὐρητικήν, ὅθεν κοιλίαν τε ἱστᾶσι πινόμεναι καὶ τὰς ἐκ μήτρας ῥύσεις προστι-
4 θέμεναι καὶ ἰχῶρας στέλλουσι. βοηθοῦσι δὲ καὶ ναυτίαις σὺν ψυχρῷ ὕδατι πινόμεναι καὶ καρδιωγμοῖς καὶ ἐμπνευματικοῖς ἡπατικοῖς τε καὶ ἰκτερικοῖς καὶ νεφριτικοῖς. ἐναφεψηθεῖσαι δὲ ὕδατι καὶ πυριαθεῖσαι εἰς ἐγκάθισμα φλεγμονὰς μήτρας ἰῶνται· ποιοῦσι καὶ πρὸς τὰς ἐν ὀφθαλμοῖς μυδήσεις τῶν βλεφάρων, στύφουσαι καὶ δασύνουσαι τὰς βλεφαρίδας, καθύγροις τε σώμασι διάπασμα· μείγνυνται δὲ καὶ ἀντιδότοις. ἀποτίθενται δὲ εἰς τὰ ὀφθαλμικὰ ἐν ἀγγείῳ καινῷ ἀκωνήτῳ λειοτριβηθεῖσαι σὺν οἴνῳ καὶ ἀναπλασθεῖσαι.

8 ἡ δὲ Κελτικὴ νάρδος γεννᾶται μὲν ἐν ταῖς κατὰ Λιγυρίαν Ἄλπεσιν, ἐπιχωρίως ὠνομασμένη σαλιούγκα· γεννᾶται

11 SIM. Cels. III 21 (107, 11) D. eup. II 112 (311) — Alex. Tr. I 214 — eup. II 58 (270) — II 56 (267) — eup. II 115 (315) Cels. V 23, 1. 2. Nic. Th. 937 Al. 307. 402.

22 SIM. Pl. XII 45; XXI 43; XXI 135 (e S. N).

22 EXC. Orib. XII s. v. (*ἡ δὲ — πλήρης*); Gal. XII 85; Isid. XVII 9, 3 (e D. lat.).

1 *σαπφαρητικὴ* Orib. post *Σαμφ.* add. *σφόδρα κολοβή* Di *χωρίου* Di 2 *μεγαλόσταχυς* om. H *λευκοτέρα* DlOrib.: *λευκότερον* reliqui *μέσον* suspectum: fort. *μεσόκοιλον* cf. D I 11 3 *ὑπεντραγίζοντα* Orib. 4 *ἀποβεβρεγμένη*] *ἡ ἔκπλυτος ὀνομαζομένη* Gal. XI V74 5 *τὸν νοῦν* Da: *τονοῦν* H 6 *δολοῦσι* HOrib. *στίμμι* vel *στίμι* libri 7 *φοινικίνου* FOrib.Di: *φοινικίου* HDa: corr. Spr. coll. D. V 40 8 *πηλὸς ταῖς ῥίζαις* Orib. 9 *χωρίζοντα* libri: correxi 12 *ἱστῶσι* H 14 *ἐμπνευματουμένοις* Di 16 *φλεγμονὰς τὰς ἐν μήτρᾳ* Da: *τὰς ἐν μήτρᾳ φλεγμονὰς* Spr. 19 *διάσπασμα* F cf. Pl. XIII 19. XXI 77 Theophr. de od. 57 Orib. II 456 *ἀποτίθεται* Orib.DiDa 20 *ἀκωνήτῳ* scripsi: *ἀκονίτῳ* libri: *ἀκώνιτον* vel *ἀκώνητον* Orib. *λειοτριβηθεῖσα — ἀναπλασθεῖσα* Orib.

22 num. cap. $\overline{\eta}$ QDi: ζ' Dl *μὲν καὶ* Orib. 23 *ἄλσεσιν* H *ὀνομαζομένη* Orib. *ἀλιούγγια* HDa: *ἀλιούγκα* FDi: *γαλλον* Orib. (*ἀλιούγγα* in mg. corr. O[2]): *saliunca* Pl. XXI 43 cf. Scrib. L. 258: *γάλλικα* haud recte coni. Marc.

δὲ καὶ ἐν τῇ Ἰστρίᾳ. ἔστι δὲ θαμνίσκος μικρὸς σὺν ταῖς ῥίζαις εἰς δέσμας ἀναλαμβανόμενος χειροπληθεῖς, ἔχει δὲ φύλλα ἐπιμήκη, ὑπόξανθα, ἄνθος μήλινον. μόνων δὲ τῶν καυλῶν ἐστι καὶ τῶν ῥιζῶν ἡ χρῆσις καὶ ἡ εὐωδία, ὅθεν δεῖ πρὸ μιᾶς ἡμέρας καταρράναντας ὕδατι τὰς δέσμας καὶ χωρίζοντας τὸ γεῶδες τιθέναι ἐπ' ἐδάφους νοτεροῦ προυποκειμένου χαρτίου, τῇ δὲ ὑστεραίᾳ καθαίρειν· οὐ γὰρ συναποκαθαίρεται τῷ ἀχυρώδει καὶ ἀλλοτρίῳ τὸ εὔχρηστον διὰ τὴν ἐκ τῆς ἰκμάδος εὐτονίαν. δολίζεται δὲ συναποτιλλομένης αὐτῇ πόας ἐμφεροῦς, ἣν διὰ τὸ 2
περὶ τὴν ὀσμὴν βρωμῶδες τράγον καλοῦσιν. εὐχερὴς δὲ ἡ ἐπίγνωσις· ἄκαυλός ⟨τε⟩ γάρ ἐστιν ἡ πόα καὶ λευκοτέρα καὶ ἧττον ἐπιμήκη τὰ φύλλα ἔχει οὐδὲ τὴν ῥίζαν πικρὰν ἢ ἀρωματίζουσαν ὥσπερ ἐπὶ τῆς ἀληθινῆς ἔχει. ἀποκρίνας οὖν τὰ καυλία καὶ τὰς ῥίζας, τὰ δὲ φύλλα ῥίψας, εἰ βούλοιο ἀποτίθεσθαι, ἀναλαμβάνων οἴνῳ λεῖα καὶ τροχίσκους ἀναπλάσας φύλασσε ἐν ὀστρακίνῳ ἀγγείῳ καινῷ, πωμάζων ἐπιμελῶς. ἀρίστη δέ ἐστιν ἡ πρόσφατος καὶ ἡ εὐώδης, πολύρριζος, οὐκ εὔθρυπτος, πλήρης.

δύναται δὲ ὅσα καὶ ἡ Συριακή, διουρητικωτέρα καὶ εὐστο- 3
μαχωτέρα ⟨οὖσα⟩. ὠφελεῖ δὲ καὶ τὰς περὶ ἧπαρ φλεγμονὰς καὶ ἰκτερικοὺς καὶ πνευματώσεις στομάχου μετὰ ἀφεψήματος ἀψινθίου πινομένη, ὁμοίως καὶ σπλῆνα καὶ τὰ περὶ τὴν κύστιν καὶ νεφρούς, καὶ πρὸς ἰοβόλων δήγματα σὺν οἴνῳ, καὶ εἰς τὰ μαλάγματα μείγνυται καὶ ποτίσματα καὶ χρίσματα θερμαντικά.

9 ἡ δὲ ὀρεινὴ νάρδος, καλουμένη δὲ ὑπό τινων καὶ θυλακῖτις καὶ πυρῖτις, γεννᾶται ἐν Κιλικίᾳ καὶ Συρίᾳ, καὶ φύλλα

---

9 SIM. Pl. XII 46.
18 SIM. Scrib. L. 258 Pl. XXI 135 — Pl. l. s. D. eup. II 56 (267) — Pl. l. s. eup. II 59 (271) — Pl. l. s. D. eup. II 61 (273) — eup. II 109 (307) — Pl. l. s. Nic. Th. 604 (Apollod.)
24 EXC. Orib. XII s. v. (*ἡ δὲ — νάρδος*); Gal. XII 85.

---

1 *καὶ* om. QDiDa *τῇ* om. H *συρίᾳ* FDlIsid. l. s. 2 *δὲ καὶ* Orib. 3 *ἐπιμήκη* Orib.: *ὑπομήκη* reliqui 6 *χάρτου* Orib. 7 *συναποτίλλεται* Orib. 9 *συναποτιθεμένης* (*λλο* superscr.) Di: *συναποδεομένης* Orib. *συμφεροῦς* F 11 *τε* addidi ex Orib. *ἡ πόα ἐστὶ* Orib. 12 *ῥίζαν δὲ* Orib. *ἢ*] *καὶ* Orib. 13 *ἐπὶ* om. Orib. 14 *καὶ τὰ φύλλα* H *τρίψας* Orib. *βούλει δ'* HDi *ἀποθέσθαι* H 15 *ἀναπλάττων* Di: *ἀναπλάσσ'* F *φύλαττε* HDi 17 *ἡ* om. Orib.Di 18 *καὶ* (alt.)] *τε* (*δὲ v*) *καὶ* Di: *καὶ* om. HDa 21 *τὴν* fort. delendum
24 cap. num. $\overline{\vartheta}$ QDi: om. Dl *καλουμένη — πυρῖτις* om. Orib. ad *θυλακῖτις* cf. schol. Nic. Al. 403 25 *πυρῖτις*] *νίρις* (vel *νῖρις*) QDi: *νέρις* Da: *peritis abiritis* (sic) Dl: correxi coll. Gal. l. s. *καὶ Συρίᾳ* om. Dl Gal. Orib.: fort. delenda *καὶ* (tert.) om. Orib. Di

καὶ καυλοὺς ὅμοια ἠρυγγίῳ ἔχουσα, μικρότερα μέν, οὐ μὴν τραχέα καὶ ἀκανθώδη. ῥίζαι δὲ ὕπεισι μέλαιναι, εὐώδεις, δύο ἢ καὶ πλείους ὥσπερ ἀσφοδέλου, ἰσχνότεραι ⟨δὲ⟩ καὶ μικρότεραι πολλῷ· οὔτε δὲ [καυλὸν οὔτε] καρπὸν οὔτε ἄνθος φέρει. ποιεῖ δὲ ἡ ῥίζα πρὸς ὅσα καὶ ἡ Κελτικὴ νάρδος.

10 ἄσαρον, οἱ δὲ νάρδον ἀγρίαν καλοῦσι· φύλλα ἔχει κισσῷ ὅμοια, μαλακώτερα δὲ πολλῷ καὶ στρογγυλώτερα, ἄνθος

---

10 RV: ἄσαρον· οἱ δὲ νάρδος ἀγρία, προφῆται αἷμα Ἄρεως, Ὀσθάνης θέσαν, Αἰγύπτιοι κερέερα, Ῥωμαῖοι περπρέσσαμ, οἱ δὲ βάκχαρ, Θοῦσκοι σούκινουμ, οἱ δὲ νάρδον⟨μ⟩, ῥούστικον⟨μ⟩, Γάλλοι βάκαρ. βοτάνη εὐώδης, στεφανωματική, ἧς τὰ φύλλα ⟨τραχέα⟩, μέγεθος ἔχοντα μεταξὺ ἴου καὶ φλόμου, καυλία γωνιοειδῆ, ὑποτραχέα, ἀραιά, ἔχοντα παραφυάδας, ἄνθη δὲ πορφυρᾶ, λευκά, εὐώδη, ῥίζαι ὅμοιαι ταῖς τοῦ μέλανος ἐλλεβόρου, ἐοικυῖαι τῇ ὀσμῇ κινναμώμῳ. φιλεῖ δὲ τραχέα χωρία καὶ ἄνικμα. ταύτης ἡ ῥίζα ἑψηθεῖσα ἐν ὕδατι βοηθεῖ ῥήγμασι, σπάσμασι, δυσπνοίᾳ, βηχὶ χρονίᾳ, δυσουρίᾳ· ἄγει δὲ καὶ ἔμμηνα καὶ θηριοδήκτοις χρησίμως σὺν οἴνῳ δίδοται. τὰ δὲ φύλλα στυπτικὰ ὄντα κατα-

---

6 SIM. Pl. XII 47 (e S. N.); XXI 30; XXI 134.
6 EXC. Orib. XI s. v. (ἄσαρον — γλῶσσαν, φύεται — Ἰταλίας); cf. Gal. XI 840; Isid. XVII 9, 7 (e D. lat.); Ps. Orib. de simpl. V 30.

---

1 ἰρίγγι FDa cf. D. III 21 μικρότερα] μαλακώτερα Spr.: *haec spicas breviores habet* Dl οὐ — ἀκανθώδη om. Dl: non recte del. Spr. 2 καὶ (alt.) om. Orib. 3 δὲ addidi duce Spr. καὶ λευκότεραι καὶ μικρότεραι Orib. 4 καυλὸν δὲ οὐδὲ καρπὸν οὐδὲ ἄνθος φέρει Orib.: καυλὸν οὔτε delevi coll. Dl *nec florem nec semen habet* οὔτε (alt.)] οὐδὲ QOrib. 5 ὅσα] ἃ Orib.
6 num. cap. ῑ QDi: η̄ Dl οἱ δὲ — καλοῦσι om. Orib. post καλοῦσι syn. e R add Di, deinde sic pergit ἄσαρον πόα εὐώδης, στεφανωματική (e R) 7 μικρότερα FDiDaOrib.: πυκνότερα H: *tenuiora* Dl: *molliora* Pl. XII 47: correxi cf. Hallier Flora XXI 298 ἄνθη RDi
9 C fol. 31r: N 4 ἄραιως R: ἄρεος H 10 κερέσερα H: κερεερα vel κερθερα N περιτρεσσαμ R: περιτρεσάμ Di: correxi coll. Pl. XXI 132. XXVI 87 cf. Herm. XXXIII 408 11 κακχαρ R: βάκγχαρ H cf. Verg. ecl. VII 27 Pl. XXI 132 (*baccar*) ναρδον ρουστικον libri: correxi cf. Pl. XXI 29 βάκαρ] an βάκκαρ? 12 quae sequuntur e D. III 44 (de bacchari) huc translata sunt. Pl. XXI 30 eorum sententiam impugnat qui nardum rusticum et baccharim eandem plantam esse putavere 12 τραχέα addidi e D. III 44 13 καὶ φλόμου om. C: ἢ φλ . . . υ N post ὑποτραχέα habet ἔχων κερεαψυλλαδασαια (αια add. alt. m.) C: ἀρε . φύλλα δασέα ἐφ᾽ ὧν N: ἔχον καυλία γωνιοειδῆ, ὑποτραχέα, ἀραιά Di 14 λευκά om. C: λεπτά N 15 ῥίζαι N: ἡ ῥίζα C ὁμοία C 16 γενᾶτε δὲ ἐν τραχέοι χωρίοις καὶ ἀνίγμοις superscr. C (m. rec.) cf. Well. I 7 18 χρήσιμος DiDa 19 διδόμενον R: πινομένη DiDa: correxi e D. III 44 καὶ καταπλ. C

μεταξὺ τῶν φύλλων πρὸς τῇ ῥίζῃ πορφυροῦν, ὑοσκυάμου κυτίνῳ ἐμφερές, ἐφ' ᾧ τὸ σπέρμα ἐοικὸς γιγάρτῳ. ῥίζαι δὲ ὕπεισι πολλαί, γονατώδεις, λεπταί, πλάγιαι, ὅμοιαι ἀγρώστει, ἰσχνότεραι μέντοι πολλῷ καὶ εὐώδεις, θερμαίνουσαι καὶ δάκνουσαι λίαν τὴν γλῶσσαν.

δύναμις δὲ αὐτῶν οὐρητική, θερμαντική, ἁρμόζουσα ὑδρω- 2
πικοῖς, ἰσχιάδι χρονίᾳ· ἄγουσι δὲ καὶ ἔμμηνα. μετὰ μελικράτου δὲ ποθεῖσαι, πλῆθος ὁλκῆς οὐγγιῶν ἑπτά, ὡς ἐλλέβορος λευκὸς καθαίρουσι· μείγνυνται δὲ καὶ μύροις. φύεται δὲ ἐν ὑποσκίοις ὄρεσι, πλεῖστα δὲ ἐν Πόντῳ καὶ ἐν Φρυγίᾳ καὶ Ἰλλυρίδι καὶ ἐν Οὐεστίνοις τῆς Ἰταλίας.

11 φοῦ, οἱ δὲ καὶ τοῦτο ἀγρίαν νάρδον καλοῦσι· γεννᾶται μὲν ἐν Πόντῳ, φύλλα δὲ ἐλαφοβόσκῳ ἢ ἱπποσελίνῳ παραπλήσια ἔχει, καυλὸν πηχυαῖον ἢ μείζω, λεῖον, τρυφερόν, ἐμπόρφυρον, μεσόκοιλον, διειλημμένον γόνασιν, ἄνθη πρὸς τὰ τοῦ ναρκίσσου,

---

πλασσόμενα ὠφελεῖ κεφαλαλγίας καὶ ὀφθαλμῶν φλεγμονὰς καὶ αἰγίλωπας ἀρχομένους καὶ μαστοὺς ἐκ τόκων φλεγμαίνοντας καὶ ἐρυσιπέλατα· ἔστι δὲ καὶ ὑπνοποιὸς ἡ ὀσμή.

---

6 SIM. Scrib. L. 110 Pl. XXI 134 D. eup. II 112 (312) — Pl. l. s. eup. II 63 (278) — Pl. l. s. eup. II 76 (287) — Pl. XXI 134.

12 SIM. Pl. XII 45. XXI 136 (e S. N.).

12 EXC. Orib. XII s. v. (*φοῦ — βρωμώδους*); Isid. XVII 9, 7 (ubi olusatro corrige); Gal. XII 152 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

---

1 *πορφυροῦν*] *κυανοῦν* QDa: *πορφυρᾶ* Di: *πορφυροῦν* Orib.Dl Pl. l. s. Isid. l. s. *ὑοσκυάμου* F: *ὑοσκυάμω* HDiDa: *ὑοσκυάμῳ ἢ* Orib. 2 *ἐμφερῆ* Di post *ἐμφερές* syn. e R add. H *ᾧ*] *οὗ* Orib.: *οἷς* Di post *γιγάρτῳ* e R interpol. *ἔχον καυλία — ἀραιά* Di *δὲ* om. FDiDa 3 *πλατεῖαι* Orib. (*γ* superscr. O²) 4 post *εὐώδεις* e R interpol. *ἐοικυῖαι — ὀσμή*, deinde Crateuae frg. e C (cf. Well. I 6) add. his verbis *καὶ κρατεύας ῥιζοτομικὸς εἰς τὸ αὐτό κτλ.* Di 6 quae de virtute medica profert D. e Crateua fluxerunt *ἁρμόζουσαι* H 7 post *χρονίᾳ* e R add. *καὶ βηχί* HDa *δὲ* om. H *μετὰ δὲ* HDa 8 < ο̄ ζ F *ἑπτά*] *ἕξ* Crat.: *ϛ'* Di 9 *μίγνυται* F post *μύροις* add. *καὶ ἀντιδότοις* Crat. *δὲ* (alt.) om. Di 10 *πλεῖστον* Orib. *ἐν* (alt.) om. Di 11 *ἐν* om. QDiDa: del. O² *οὐεστίνοις* Orib. (*ἰουστίνοις* corr. O²): *ἰουστίνοις* FDa: *ἰουστίνῃ* HDi post *ἰταλίας* interpol. e R *ἡ δὲ ῥίζα τοῦ τοιούτου* (*αὐτοῦ* Da) *βοηθεῖ ῥήγμασι — ὀσμή* HDa

12 num. cap. *ῑᾱ* QDi: *θ'* Dl *τὸ λεγόμενον παρ' ἰταλοῖς βαλεριάνα* add. H *καὶ τοῦτο* om. Orib. 13 *μὲν* Orib.HDiDa: *δὲ* F *folia hellebori similia vel ypposelinu* Dl 14 *πορφυροῦν* Orib. 15 *ἄνθη δὲ φέρει* Orib. *τοῦ ναρκίσσου* libri Orib.Dl: *τοῦ κισσοῦ* coni. nescio quis: *τῆς νάρδου* Spr.: suspectum

16 *κεφαλαλγίαν* C *καὶ* (pr.) om. CDiDa 18 *ὀσμή* R: *κόμη* reliqui

μείζονα δὲ καὶ ἐν τῷ ὑπολεύκῳ διαπόρφυρα· ῥίζα δὲ ἡ μὲν ἀνωτέρω περὶ δακτύλου μικροῦ τὸ πάχος, πλάγια δὲ ὑπόρριζα ἔχει καθάπερ σχοῖνος ἢ μέλας ἐλλέβορος, ἀλλήλοις ἐπιπεπλεγμένα, ὑπόξανθα, εὐώδη, ναρδίζοντα τῇ ὀσμῇ μετά τινος βάρους βρωμώδους.

2 *δύναται δὲ θερμαίνειν, οὖρα κινεῖν ξηρὰ ποτιζομένη. καὶ τὸ ἀπόζεμα δὲ αὐτῆς τὸ αὐτὸ δύναται ποιεῖν καὶ πρὸς πλευρᾶς πόνον, ἔμμηνά τε ἄγει καὶ ἀντιδότοις μείγνυται.*

δολοῦται δὲ ὀξυμυρσίνης ῥίζης παραμειγνυμένης. εὐχερὴς δὲ ἡ ἐπίγνωσις αὐτῆς ἐστι· σκληραὶ γάρ εἰσιν αὗται καὶ δύσθραυστοι, δίχα εὐωδίας.

12 *μαλάβαθρον ἔνιοι ὑπολαμβάνουσιν εἶναι τῆς Ἰνδικῆς νάρδου φύλλον πλανώμενοι ὑπὸ τῆς κατὰ τὴν ὀσμὴν ἐμφερείας· πολλὰ γάρ ἐστιν ὅμοια τῇ ὀσμῇ νάρδῳ ὡς τὸ φοῦ, ἄσαρον, ἶρις. οὐκ ἔχει δὲ οὕτως· ἴδιον γάρ ἐστι γένος φυόμενον ἐν τοῖς Ἰνδικοῖς τέλμασι, φύλλον ὂν ἐπινηχόμενον τῷ ὕδατι καθάπερ οἱ ἐπὶ τῶν τελμάτων φακοί, ῥίζαν οὐκ ἔχον, ὅπερ συλλέγοντες εὐθέως διαπείρουσι λίνῳ καὶ ξηράναντες ἀποτίθενται. φασὶ δὲ καὶ τῆς θερείας ἀναξηρανθέντος τοῦ ὕδατος καίεσθαι φρυγάνοις τὴν γῆν· μὴ γενομένου γὰρ τούτου φύλλον μηκέτι φύεσθαι.*
2 *ἔστι δὲ καλὸν τὸ πρόσφατον καὶ ὑπόλευκον ἐν τῷ μελανίζοντι, ἄθραυστον καὶ ὁλόκληρον, πληκτικὸν τῇ ὀσμῇ καὶ ἐπιδιαμένον τῇ εὐωδίᾳ, ναρδίζον δὲ τῇ γεύσει ⟨καὶ⟩ μὴ ἁλμυρίζον. τὸ δὲ ἀδρανὲς καὶ λελεπτοκοπημένον εὐρωτιῶσαν ἔχον τὴν ἀποφορὰν φαῦλον.*

---

6 SIM. Pl. XXI 136 D. eup. II 109 (306) Scrib. L. 170. 176.
12 SIM. Pl. XII 129 (ex Iuba?) XXIII 93 (e S. N.) [Arr.] per. 56. 65.
12 EXC. Orib. XI s. v. (*ἔστι δὲ καλὸν — μαλαβάθρου δύναμις*); Orib. t. V 74 D., unde Aet. II 196; Isid. XVII 9, 2 (e D. lat.), cf. Gal. XII 66.

---

1 *μείζω* Orib.Di post *καὶ* add. *τρυφερώτερα καὶ* Di 2 *δακτύλου πάχος τοῦ μικροῦ* Da *ἡ δὲ πλάγια* H *ὑπόριζα* Q: *ὑποριζία* Orib.: *ἐπιρριζία* Di 3 *σχῖνος* Di (vitio sollemni) 6 *θερμαίνειν* post *κινεῖν* transpos. H: bis habet Di 9 *ὀξυμερσίνης* F: *ὀξυμυρσίνη* H *ῥίζη* H: *ῥίζαις* Di *παραμιγνύμενος* H v: *παραμιγνυμένη* p cf. Dl *qui adulteratur radicibus oximyrsinis*
12 num. cap. *ιβ* QDi: *ι* Dl 13 *φύλλα* H 14 *πολλοῖς γάρ ἐστιν ὀσμὴ νάρδου* H 15 *ἶρις* F: *νῆρις* reliqui cf. D. I 9 *ἔχει*] *ἔνι* H *γάρ*] *δέ* Di 17 ad rem cf. D. IV 87 19 *θερίας* HDa *ἀναξηράναντες* H 20 *φύλλον* om. HDiDa 21 *μελανίζοντι* Orib. (*μελανίζειν* Orib. V 74): *μέλανι καί τι* F: *μελανίζειν τε* HDiDa: *μαλακίζειν* Spr.: *nigricans* Pl.: *coloris subalbido nigello mixtum* Dl 22 *καὶ* (pr.) om. Orib. 23 *νάρδου τῇ γεύσει* H *δὲ* om. Orib.: post *τῇ* colloc. FDa: *gustu nardino* Dl cf. Pl. XII 129 *καὶ* addidi: post *δὲ* inser. Lac.: *μηδὲ* Orib. V 74 24 *δὲ* om. Orib. *καὶ τὸ* HDiDa *λεπτοκοπημένον* QDiDa

δύναμιν δὲ ἔχει τὴν αὐτὴν τῇ νάρδῳ, ἐνεργέστερον δὲ ἐκείνη πάντα ποιεῖ. διουρητικωτέρα μέντοι καὶ εὐστομαχωτέρα ἐστὶν ἡ τοῦ μαλαβάθρου δύναμις, καὶ πρὸς τὰς ὀφθαλμικὰς φλεγμονὰς ἁρμόζει ἀναζεσθὲν ἐν οἴνῳ καὶ λεῖον ἐπιχριόμενον· ὑποτίθεται καὶ ⟨τῇ⟩ γλώσσῃ πρὸς εὐωδίαν στόματος καὶ σὺν ἱματίοις τίθεται· ἄβρωτα γὰρ καὶ εὐώδη τηρεῖ ταῦτα.

13 κασσίας δέ ἐστι πλείονα εἴδη περὶ τὴν ἀρωματοφόρον Ἀραβίαν γεννώμενα· ἔχει δὲ ῥάβδον παχύφλοιον, φύλλα δὲ ὡς πεπέρεως. ἐκλέγου δὲ τὴν ἔγκιρρον, εὔχρουν, κοραλλίζουσαν, στενήν, λείαν, μακρὰν καὶ παχεῖαν τοῖς συριγγίοις [πλήρη], δηκτικὴν ἐν τῇ γεύσει καὶ στύφουσαν μετὰ ποσῆς πυρώσεως, ἀρωματίζουσαν, οἰνίζουσαν τῇ ὀσμῇ. ἡ δὲ τοιαύτη ὑπὸ τῶν ἐπιχωρίων ἄχυ καλεῖται, δαφνῖτις δὲ προσαγορεύεται ὑπὸ τῶν ἐν Ἀλεξανδρείᾳ ἐμπόρων. πρὸ δὲ ταύτης ἐστὶν ἡ μέλαινα καὶ ἐμπόρφυρος, παχεῖα, γίζιρ καλουμένη, ῥοδίζουσα τῇ ὀσμῇ, μάλιστα πρὸς τὴν ἰατρικὴν τέχνην εὔθετος, δευτερεύει δὲ ἡ προειρημένη, τρίτη δέ ἐστιν ἡ καλουμένη βάτος Μοσυλῖτις. αἱ δὲ 2 λοιπαὶ εὐτελεῖς, ὡς ἡ καλουμένη ἀσύφη, μέλαινα καὶ ἀηδὴς καὶ λεπτόφλοιος ἢ καὶ φλοιορραγής, ὡς καὶ ἡ κιττὼ καὶ δάρκα καλουμένη.

1 SIM. Pl. XXIII 93 D. eup. II 112 (312) — Pl. l. s. eup. I 30 (108) — Pl. l. s. eup. I 84 (136) — Pl. l. s.

7 SIM. Theophr. h. pl. IX 5, 3. 4, 2 sq. Pl. XII 95 sq. (ex Iuba); Strab. XVI 782; [Arr.] peripl. m. Er. c. 12. Arr. an. VII 20.

7 EXC. Orib. XI s. v. (*κασσίας — εὐτελεῖς*); Orib. t. V 71 D. (*κασίαν ἐκλέγου — εὔθετος*), unde Aet. II 196; Isid. XVII 8, 12; Ps. Orib. de simpl. V 75; Gal. XII 13 (unde Aet. I s. v. Paul. Aeg. VII 3); Gal. XIV 56 sq. 72 sq. 258.

1 *τῇ* om. Orib. *πάντα ἐκείνη* Orib.: *ἐκείνης* Q 2 *ποιεῖ πάντα* Da 5 *δὲ καὶ* Di *τῇ* addidi cf. D. III 5. 20. D. eup. I 84 6 *ταῦτα τηρεῖ* Di: *τηρεῖται τὰ ἱμάτια ὑπ' αὐτῆς* Da

7 num. cap. *ιγ* QDi: *ια'* Dl *κασσίας* libri: *κασία* Theophr. Gal. Orib. 8 *γεννώμενα* om. HDa *ὥσπερ ἴρεως* H: *ὥσπερ ἴρεος* F: *ὥσπερ πεπέρεως* reliqui: correxi cf. Meyer bot. Erl. 146 sq. 9 *purpureis foliis* Isid. l. s. *κουραλλίζουσαν* Fv: *κουραλίζουσαν* Da 10 *λίαν* DiOrib. (cf. Orib. V 71), at cf. Ps. Orib. de simpl. l. s. *καὶ* om. Aet. *πλήρη* om. F: seclusi 11 *πολλῆς* QDa: cf. Pl. XII 97 13 *ἄχυ* libri: *abs* Dl: *ἄδι* cod. Marc.: *λάδα* coni. Marc. coll. Pl. l. s. 14 *πρὸς* F 15 *ζίγιρ* QDi: *γίζιρ* Da: *γίζειρ* [Arr.] per. m. Er. l. s.: *γιζί* Gal. XIV 67. 72: *γιζηρά* Orib. V 71: *γίζειρ κασία* Neoph. (Salm. exerc. Pl. 1304) 16 *τέχνην* F: *arti medicine* Dl: *χρῆσιν* reliqui 17 *βάκτος μοσυλῖτις* Q: *βάκτος μοσιλῖτις* Da: *βλαστὸς μονοσηλητικός* DiOrib. lat.: *blatos* Dl: correxi ad *Μοσυλῖτις* cf. Pl. VI 174. Ptolem. IV 7, 10. Steph. Byz. s. v. *Μόσυλον*; [Arr.] p. m. Er. 10. 18 *ἀσύφη* F [Arr.] l. s.: *ἀσυφήμων* HDiDa 19 *κιττὼ* suspectum, fort. *κιτιβὼ* cf. Theophr. h. p. IX 4, 2 *ἡ δάκαρ* Spr.: *δάρκα* FDi: *δάκαρ* reliqui: *δούακα* [Arr.] l. s. 8

ἔστι δέ τις καὶ ψευδοκασσία ἀφάτως ἐμφερής, ἥτις ἐλέγχεται τῇ γεύσει, οὐκ οὖσα δριμεῖα οὐδὲ ἀρωματώδης, προσεχόμενόν τε τὸν φλοιὸν ἔχει τῇ ἐντεριώνῃ. εὑρίσκεται δὲ καὶ πλατεῖα σύριγξ, ἁπαλή, κούφη, εὐερνής, διαφέρουσα δὲ τῆς ἄλλης. ἀποδοκίμαζε δὲ τὴν ὑπόλευκον καὶ ψωρώδη, πρασίζουσαν ἐν τῇ ὀσμῇ καὶ τὴν μὴ ἔχουσαν δὲ τὴν σύριγγα παχεῖαν, ψωρώδη δὲ καὶ λεπτήν.

3 δύναμιν δὲ ἔχει θερμαντικήν, οὐρητικήν, ξηραντικήν, στύφουσαν πραέως. ἁρμόζει δὲ εἰς τὰ πρὸς ὀξυδερκίαν ὀφθαλμικὰ καὶ μαλάγματα, φακούς τε αἴρει μετὰ μέλιτος καταχριομένη, καὶ ἔμμηνα ἄγει καὶ ἐχιοδήκτοις βοηθεῖ πινομένη καὶ πρὸς τὰς ἐντὸς φλεγμονὰς πάσας ποθεῖσα καὶ πρὸς νεφρούς, εἰς ἐγκαθίσματά τε καὶ ὑποθυμιάματα γυναιξὶ πρὸς ἀνευρυσμὸν μήτρας. διπλάσιον δὲ αὐτῆς μειγνύμενον τοῖς φαρμάκοις, εἰ μὴ παρείη κινάμωμον, τὸ αὐτὸ δρᾷ, ἄγαν τέ ἐστι πολύχρηστος.

14 κιναμώμου ἐστὶ πλείονα εἴδη ὀνομαζόμενα ἐπιχωρίως. διαφέρει δὲ τὸ Μόσυλον διὰ τὸ σῴζειν ποσὴν ἐμφέρειαν πρὸς τὴν Μοσυλῖτιν καλουμένην κασσίαν, καὶ τούτου τὸ πρόσφατον, τῇ χρόᾳ μέλαν, τεφρίζον ἐν τῷ οἰνώδει, λεπτὸν δὲ τοῖς ῥαβδίοις καὶ λεῖον, ὄζοις συνεχέσι κεχρημένον, σφόδρα εὐῶδες — σχεδὸν γὰρ ἡ τοῦ ἀρίστου κρίσις ἐστὶ περὶ τὴν ἐν τῇ εὐωδίᾳ ἰδιότητα· εὑρίσκεται γὰρ μετὰ τοῦ ἡδίστου καὶ ἰδιάζοντος ἡ ὀσμὴ πηγανίζουσα ἢ καρδάμῳ ἐμφερής —, ἔτι καὶ δριμὺ καὶ

---

7 SIM. Theophr. de od. 32. 35 Cels. III 21 (107, 13) D. eup. I 121 (154) II 76 (288) II 115 (316) II 102 (303) II 70 (284).

15 SIM. Theophr. h. pl. IX 5; Pl. XII 85sq. (ex Iuba), unde Sol. 135, 13; Diod. II 49; Strab. XVI 782; Arr. an. VII 20, 2.

15 EXC. Orib. XI s. v. (*κινάμωμον — καρδ. ἐμφερής*); Gal. XII 26; Gal. XIV 63sq. 257. Isid. XVII 8, 10 (e Pl. — Sol. Dl); Ps. Orib. de simpl. V 77; Sim. S. s. v. (55 L).

15 TEST. Gal. XIV 62. 63.

---

1 nov. cap. (ιδ) *περὶ τῆς ψευδοκασσίας* incip. Di   *ἀφάτως*] *lappatio* Dl   3 *ἔχουσα ἐν τῇ* Da   *δέ τις* Di   4 *ταῖς ἄλλαις* Da   *ἀποδοκιμάζουσι* Di   5 *πρασίζουσαν* F: *τραγίζουσαν* reliqui   6 *δὲ* (pr.) om. vulgo   7 *θερμαντικὴν καὶ* (dittogr.) QDiDa: *diuretica* Dl   8 *πράως* H   9 *τε*] *δὲ* H   *μετὰ — πινομένη* om. H   11 *εἰς* om. HDa   13 *μίγνυται* H   14 *τὸ αὐτὸ γὰρ* HDiDa   *τέ*] *δὲ* H

15 num. cap. ιδ QDi: ιβ' Dl   *κινάμωμον* F (ut semper): *κινναμώμου* reliqui   16 *μούσυλον* HDa: *mosylicum* Orib.   *σῴζειν*] *φέρειν* Di: *τηρεῖν* vulgo *ποσῶς* H   17 *λεγομένην* H   18 *τεφρῶδες τῇ χρόᾳ* Gal. XIV 257   20 *τὴν εὐωδίαν* Da   21 *ἡδίστου* QDa: *ἀρίστου* Orib.Di cf. Gal. l. s. *ἔστι γὰρ πάνυ τῇ ὀδμῇ κάλλιστόν τε καὶ ἥδιστον*   22 *πηγανίζουσα ἢ* om. Di at cf. Gal. l. s. *καὶ διαμασώμενον πηγανίζειν δοκεῖ*   *καρδαμώμῳ* libri Dl: corr. Marc.   *ἔτι*] *ἐπὶ* (compendiose script.) F

δηκτικὸν τῇ γεύσει καὶ ὑφαλμυρίζον μετὰ θερμασίας ἔν τε τῇ
παρατρίψει μὴ ταχέως διαλυόμενον καὶ ἐν τῷ θραύεσθαι χνοώ-
δες καὶ λεῖον ἔχον τὸ μεταξὺ τῶν ὄζων. δοκιμάζων δὲ ἀπὸ 2
μιᾶς ῥίζης λάμβανε τὸν θαλλόν· εὐχερὴς γὰρ ἡ τοιαύτη δοκι-
μασία. τὰ γὰρ θραύσματα μείγματα τυγχάνει καὶ κατὰ τὴν
πρώτην δοκιμασίαν τὰ κρείττονα περιπνέοντα καὶ πληροῦντα
τὴν ὄσφρησιν ἐμποδίζει τὴν τοῦ ἥττονος ἐπίκρισιν. ἔστι δὲ
καὶ ὀρεινόν, παχὺ καὶ κολοβόν, σφόδρα ὑπόκιρρον τὴν χρόαν·
καὶ τρίτον παρὰ τὸ Μόσυλον μέλαν καὶ λεῖον, ἰνῶδες δὲ καὶ
οὐ πολυγόνατον· τέταρτον λευκόν, χαῦνον, ὀγκῶδες ἰδέσθαι καὶ
εὐγενές, εὔθραυστόν τε καὶ μεγάλην ἔχον ῥίζαν [κασσίζον]·
πέμπτον ⟨κασσίζον⟩ τῇ ὀσμῇ καὶ πληκτικόν, ὑπόκιρρον δὲ καὶ
προσεμφερὲς τὸν φλοιὸν κασσίᾳ πυρρᾷ, πρὸς τὴν ἁφὴν δὲ
στερεόν, οὐ πάνυ ἰνῶδες, παχύρριζον. τούτων δὲ τὸ πνέον λι-
βανωτοῦ ἢ μυρσίνης ἢ κασσίας ἢ βρωμώδους εὐωδίας ἧττόν
ἐστιν. ἀπεκλέγου δὲ τὸ λευκὸν καὶ τὸ ψωρῶδες καὶ τὸ ῥυσό- 3
καρφον καὶ ⟨μὴ⟩ λεῖον, καὶ τὸ ξυλῶδες κατὰ τὴν ῥίζαν δὲ ὡς
ἀχρεῖον παραιτοῦ. ἔστι δέ τι καὶ ἄλλο ὅμοιον, τὸ καλούμενον
ψευδοκινάμωμον, εὐγενές, οὐκ εὔτονον τῇ ὀσμῇ, ἐκλελυμένον
δὲ καὶ τῇ δυνάμει. καλεῖται δέ τι καὶ ζιγγίβερι, ξυλοκινάμω-
μον ὄν, ἔχον δέ τινα ἐμφέρειαν κιναμώμῳ· τῇ ὄψει ⟨δὲ⟩ διακρίνεται
⟨καὶ⟩ τῷ βρωμώδει τῆς ὀσμῆς. τὸ δὲ ξυλοκινάμωμον λεγό-

---

1 *τῆς γεύσεως* F 2 *δασυνόμενον* libri: correxi coll. Pl. XII 92 *certissima tamen aestimatio, ne sit scabrum, atque ut inter sese tritum tarde frietur* *χοῶδες* coni. Sar. 3 *δοκίμαζε* HDaDi 4 *λαμβάνων* Di: *λαμβάνειν* H: *λάμβανε* FDa 7 *ἐπίκρισιν* suspectum fort. *δέ τι* 8 *παχὺι* (sic) F (fort. subest *τι* alieno loco in textum receptum): *tactu asperior statu brevi et grossior* (i. e. *τραχὺ καὶ παχὺ καὶ κολοβόν*) Dl *καὶ* (alt.) om. HDi *κολοβὸν — μέλαν καὶ* om. Da 9 *παρὰ*] magis quam cf. Blaß Gr. d. N. 139 *λίαν εὐῶδες, ἐνερνῶδες δὲ* HDiDa at cf. Gal. XIV 257 *ἕτερον δέ ἐστι ποσῶς μέλαν καὶ ὥσπερ ἶνας ἔχον τινάς* 11 *εὐγενές* F: *εὐτελές* reliqui *τε*] *δὲ* H *μεγάλην*] *μικρὰν* Gal. l. s., at cf. Dl *radicibus maior* post *ῥίζαν* add. *ὡς ἀχρείαν παραιτοῦ* H (e v. 17) *κασσίζον* QDa: *κασσίζουσαν* Di: delevi et post *πέμπτον* collocavi coll. Dl *est etiam quintum genus odore similis cassie* cf. Gal. l. s. 12 *πέμπτον τῇ ὀσμῇ καὶ* (*καὶ* om. H) *τλ.* QDa: *πέμπτον τὴν ὀσμὴν ὑπόκιρρον* Di: correxi *δὲ* QDa: om. Di: *τε* vulgo 13 *τὸν φλοιὸν* om. H 15 *ἢ μυρσίνης* om. Di *βρωμώδους*] *ἀμώμου* HDiDa at cf. Dl *sed non tantum odore plenum* 16 *ἀπολέγου* libri: correxi coll. Pl. XII 92. D. III 22 I 7: err. Dl 17 *μὴ* add. Lac. *ξυλῶδες δὲ* H *κατὰ*] *καὶ* FDa: om. Di *τὴν ῥίζαν* om. F, sed cf. Dl *cuius radix inutilis est* *ἀχρείαν* DiDa 18 *ἔστι*] nov. cap. (ιε) inc. Di *τι* om. H *qui appellatur lotos. et moto* (sic) Dl 19 *εὐγενές* F: *εὐτελές* reliqui: *εὐερνές* in extr. cap. 20 *τι* om. HDiDa *ζίγγι* F: *ζίγγιβερ* reliqui: correxi 21 *δὲ* (pr.) om. Di *τῇ — κιναμώμῳ* om. HDiDa *δὲ* (alt.) addidi 22 *καὶ* addidi *τὸ βρωμῶδες* F: correxi

μενον καὶ αὐτὸ ῥίζῃ τε καὶ ⟨ῥαβδίῳ⟩ τῷ πολυγονάτῳ ἔοικε κινναμώμῳ· ἔστι δὲ ξυλῶδες κινάμωμον, ἔχον ῥάβδους μακρὰς καὶ ῥωμαλέας καὶ τὴν εὐωδίαν πολὺ καταδεεστέραν. λέγεται δὲ ὑπ' ἐνίων καὶ κατὰ γένος διαφέρειν τοῦ κιναμώμου τὸ ξυλοκινάμωμον, ἑτέρας ὂν φύσεως.

4 δύναμιν δὲ ἔχει πᾶν κινάμωμον θερμαντικήν, οὐρητικήν, μαλακτικήν, πεπτικήν· ἄγει δὲ καὶ ἔμμηνα καὶ ἔμβρυα πινόμενον καὶ προστιθέμενον μετὰ σμύρνης, καὶ ἰοβόλοις θηρίοις καὶ θανασίμοις ἁρμόζει καὶ τὰ ταῖς κόραις ἐπισκοτοῦντα ἀποκαθαίρει, φακούς τε καὶ ἐφήλεις μετὰ μέλιτος ἐπιχρισθὲν αἴρει. ποιεῖ δὲ καὶ πρὸς βῆχας, κατάρρους, ὕδρωπας, νεφρίτιδας, δυσουρίας· μείγνυται δὲ καὶ τοῖς πολυτελέσι μύροις καὶ καθόλου ἐστὶ πολύχρηστον. ἀποτίθεται δὲ εἰς διαμονὴν λεῖον οἴνῳ ἀναλαμβανόμενον καὶ ξηραινόμενον ἐν σκιᾷ.

[ἔστι δέ τι λεγόμενον κινάμωμον, ὅ ἔνιοι ψευδοκινάμωμον καλοῦσιν, εὐερνὲς σφόδρα καὶ παχυραβδότερον, κατὰ πολὺ μέντοι ἐλαττούμενον κιναμώμου κατά τε ὀσμὴν καὶ κατὰ γεῦσιν.]

15 ἄμωμόν ἐστι θαμνίσκος οἱονεὶ βότρυς ἐκ ξύλου ἀντεμπεπλεγμένος ἑαυτῷ. ἔχει δέ τι καὶ ἄνθος μικρὸν ὡς λευκοίου, φύλλα δὲ βρυωνίᾳ ὅμοια. κάλλιστον δέ ἐστι τὸ Ἀρμένιον, χρυσίζον τῇ χρόᾳ, ἔχον δὲ τὸ ξύλον ὑπόκιρρον, εὐῶδες ἱκανῶς. τὸ δὲ Μηδικὸν διὰ τὸ ἐν πεδίοις καὶ ἐν ἐφύδροις τόποις φύεσθαι ἀδυναμώτερον· ἔστι δὲ μέγα καὶ ὑπόχλωρον καὶ πρὸς τὴν ἁφὴν

6 SIM. Theophr. de od. 32 — Cels. V 11 — Cels. III 21 (107, 11) — D. eup. II 77 (289) 78 (291) — II 115 (316) — II 137 (327) — I 41 (112) — I 121 (154) — II 102 (304) — II 109 (307).

18 SIM. Theophr. h. pl. IX 7, 2; de od. 32; Pl. XII 48 (ex Iuba).

18 EXC. Orib. XI s. v. (κάλλιστον — ποικίλον, δολίζουσι — τελείους); Orib. t. V 69 D., unde Aet. II 196; Isid. XVII 8, 11 (e D. lat.) Ps. Orib. simpl. V 29 cf. Strab. XVI 747 (Meyer bot. Erläut. zu Strab. 88).

1 ῥαβδίῳ addidi: *cum astis nodosis* Dl 2 κιννάμωμον ξυλῶδες H μικρὰς H 3 καταδεεστέρας F 4 κατὰ τὸ Da 6 ἔχει post κινάμωμον colloc. H 9 post ἀποκαθαίρει add. θερμαίνει τε καὶ λεπτύνει· καὶ ἔστι διουρητικόν HDiDa (θερμ. — λεπτ. om. Da) 10 ἐφήλεις ἀποκαθαίρει (θερμ. — λεπτ. add. Da) μετὰ κτλ. HDiDa 15—18 hinc aliena esse vidit Sar.; e Crateua fluxisse videntur τι om. HDa 16 μέντοι γε Di 17 ἔλαττόν ἐστι HDa

18 num. cap. ιε QDi: ιγ' Dl θαμνίσκος οἱονεὶ βότρυς κτλ.] D. lignum fruticis amomi ita in se ipsum convolutum esse dicit ut uvae effigiem repraesentet: aliter Isid. l. s. *frutex botruosum semen reddens sibi connexum*: male Dl *frutex est similis botruo, in circuitu cuiuslibet arboris nascitur*, ad rem cf. Ps. Orib. l. s. Flückiger Pharmak.[3] 903. 904. ἀντιπεπλεγμένος H 20 βρυωνία F 21 τὴν χρόαν HOrib. δὲ FOrib.: τε reliqui 22 ἐν (alt.) om. Orib. 23 ἀδυναμώτερον F: ἀδυνατώτερον reliqui ἔστι δὲ om. Orib. χλωρὸν Orib.

ἁπαλὸν καὶ ἰνῶδες τοῖς ξύλοις ὀριγανίζον ⟨τε⟩ τῇ ὀσμῇ. τὸ δὲ Ποντικὸν ὑπόκιρρον, οὐ μακρὸν οὐδὲ δύσθραυστον, βοτρυῶδες, πλῆρες καρποῦ καὶ τῇ ὀσμῇ πληκτικόν. ἐκλέγου δὲ τὸ πρόσφατον καὶ λευκὸν ἢ ὑπέρυθρον, οὐ πεπιασμένον ἢ συμπεπλεγμένον, λελυμένον δὲ καὶ διακεχυμένον, σπέρματος πλῆρες ὁμοίου βοτρυδίοις, βαρύ, σφόδρα εὐῶδες, δίχα εὐρῶτος καὶ δριμύ, δάκνον τὴν γεῦσιν, ἁπλοῦν τὴν χρόαν καὶ μὴ ποικίλον.

δύναμιν δὲ ἔχει θερμαντικήν, στυπτικήν, ξηραντικήν, ὑπνοποιόν, ἀνώδυνον τοῦ μετώπου καταπλασσομένου, φλεγμονάς τε πεπαίνει καὶ διαφορεῖ, σκορπιοπλήκτους τε μετ' ὠκίμου καταπλασθὲν ὠφελεῖ· ⟨παρηγορεῖ⟩ καὶ ὀφθαλμῶν φλεγμονὰς καὶ τὰς ἐν σπλάγχνοις σὺν σταφίδι, πρὸς δὲ τὰ γυναικεῖα καὶ ἐν προσθέτοις καὶ ἐγκαθίσμασι χρήσιμον. ποθὲν δὲ τὸ ἀφέψημα αὐτοῦ ἁρμόζει ἡπατικοῖς, νεφριτικοῖς, ποδαγρικοῖς. μείγνυται δὲ καὶ ἀντιδότοις καὶ τοῖς πολυτελεστάτοις τῶν μύρων. 2

δολίζουσι δέ τινες τὸ ἄμωμον τῇ λεγομένῃ ἀμωμίδι, ἐμφερεῖ οὔσῃ τῷ ἀμώμῳ, ἀνόσμῳ μέντοι καὶ ἀκάρπῳ, γεννωμένῃ δὲ ἐν Ἀρμενίᾳ, ἄνθος δὲ ἐχούσῃ ἐμφερὲς ὀριγάνῳ. ἀεὶ δὲ ἐν ταῖς τῶν τοιούτων δοκιμασίαις τὰ θραύσματα φεῦγε· ἐκλέγου δὲ τὰ ἀπὸ μιᾶς ῥίζης ἔχοντα τοὺς ἰδίους κλάδους τελείους.

16 κόστου διαφέρει ὁ Ἀραβικός, λευκὸς ὢν καὶ κοῦφος,

8 SIM. Cels. III 18 (100, 25) — D. eup. II 122 (320) I 29 (107) II 72 (286) 76 (287) 78 (290) II 58 (270) II 102 (303) — Pl. XXVI 105 eup. I 234 (214) — Scrib. L. 177. Gal. XIV 149 — Pl. XIII 15. 16. 18.

16 SIM. Pl. XII 49 (ex Iuba).

21 SIM. Theophr. h. pl. IX 7, 3. de od. 28. 32. Pl. XII 41 (ex Iuba); Diod. II 49; [Arr.] peripl. m. Er. 39.

21 EXC. Orib. XI s. v. (*κόστου — πυρώδης, μειγνύουσι — παρέχει*); Orib. t. V 72 D., unde Aet. II 196; Isid. XVII 9, 4 (e D. lat.); Ps. Orib. de simpl. V 64; Gal. XII 40 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.) cf. Salm. de hom. 128.

1 *καὶ* om. Di *ὀριγανίζον* Orib.DiDl: *πηγανίζον* QDa *τε* addidi 2 *οὐ — οὐδὲ* om. Orib. 4 *πεπιασμένον* F: *πεπιεσμένον* Orib.: *ἐκπεπιεσμένον* Aet.: *πεπιλημένον* reliqui post *πεπ.* add. *ποῦ* Orib. *ἢ*] *ἤγουν* (comp. scr.) H: *καὶ* Da: *ἢ συμπεπλεγμένον* om. FAet. 5 *δὲ — ὁμοίου* om. mg. add. O² *ὅμοιον* FDiDa: *ὁμοίου* Orib.HAet. 6 *σφόδρα τε* Orib. ad *εὐρῶτος* schol. Paris. Orib. (II 744 Dar.) *ἀντὶ τοῦ νοτίδος· κυρίως δὲ εὐρώς ἐστι τὸ γινόμενον σκοπινὸν* (*τει* superscr.) *καὶ ἰῶδες χρῶμα περὶ τὸν ἄεπλοια τὸν χαλκόν* 7 *μὴ*] *οὐ* Di 9 *τῷ μετώπῳ καταπλασσόμενον* Di *τε*] *δὲ* Da post *τε* add. *καὶ μελικηρίδας* Di: post *διαφορεῖ* HDa: om. FDl 10 *τε*] *δὲ* F 11 post *ὠφελεῖ* add. *ποδαγρικοῖς συμβάλλεται καὶ* HDi *παρηγορεῖ* addidi ex HDi: om. F 13 *ἐν ἐγκαθίσμασι* p *δὲ* om. H 16 *ἀμωμιάδι* Orib. (*ἀμωμίδι* Orib. V 69) *ἐμφερῆ* HDiDa 17 *τῷ*] *τῇ* FDa 18 *ἀρμενείᾳ* F *δὲ* (pr.) om. HDi *ἀεὶ*] *δεῖ* HDi 19 *φεύγειν* H: *ἐκφεύγειν* Di 20 *τοὺς ἰδίους* om. Di

21 num. cap. *ιϛ* QDi: *ιδ'* Dl *κόστος* Orib.

πλείστην ἔχων καὶ ἡδεῖαν τὴν ὀσμήν, δευτερεύει δὲ ὁ Ἰνδικός, ἁδρὸς ὢν καὶ μέλας καὶ κοῦφος ὡς νάρθηξ, τρίτος δέ ἐστιν ὁ Συριακός, βαρύς, τὴν χρόαν πυξώδης, πληκτικὸς τῇ ὀσμῇ. ἄριστος δέ ἐστιν ὁ πρόσφατος, λευκός, πλήρης δι' ὅλου, πυκνός, ξηρός, ἀτερηδόνιστος, ἄβρωμος, γεύσει δηκτικὸς καὶ πυρώδης.

δύναμιν δὲ ἔχει θερμαντικήν, διουρητικήν, ἐμμήνων ἀγωγὸν καὶ τῶν περὶ ὑστέραν παθῶν ἀρωγὸν ἐν προσθέμασι καὶ πυριάσεσι καὶ καταντλήμασι.
2 πινόμενος δὲ ἐχεοδήκτοις βοηθεῖ οὐγγιῶν δυεῖν πλῆθος, καὶ πρὸς θώρακος πόνους καὶ σπάσματα καὶ ἐμπνευματώσεις μετ' οἴνου καὶ ἀψινθίου, καὶ ἀφροδίσια δὲ παρορμᾷ μετ' οἰνομέλιτος. ἄγει δὲ καὶ ἕλμινθα πλατεῖαν μεθ' ὕδατος, σύγχρισμά τε ῥιγοῦσι μετ' ἐλαίου πρὸ τῆς ἐπισημασίας καὶ παραλυτικοῖς. καθαίρει δὲ καὶ ἔφηλιν καταχρισθεὶς μεθ' ὕδατος ἢ μέλιτος· μείγνυται δὲ καὶ μαλάγμασι καὶ ἀντιδότοις.

μειγνύουσι δ' ἔνιοι τὰς ῥωμαλεωτάτας τοῦ Κομμαγηνοῦ Ἑλενίου ῥίζας δολοῦντες αὐτόν. εὐχερὴς δὲ ἡ διάγνωσις· οὔτε γὰρ πυροῖ τὴν γεῦσιν τὸ Ἑλένιον οὔτε τὴν εὐωδίαν εὔτονον καὶ πληκτικὴν παρέχει.

17 σχοῖνος· ἡ μέν τις γίνεται ἐν Λιβύῃ ἡ δὲ ἐν Ἀραβίᾳ, ἑτέρα δὲ ἐν τῇ Ναβαταίᾳ καλουμένῃ, ἥτις ἐστὶ κρατίστη· δευτερεύει δὲ ἡ Ἀραβική, ἣν ἔνιοι Βαβυλώνιον καλοῦσιν, οἱ δὲ τευχῖτιν, ἡ δὲ Λιβυκὴ ἄχρηστος. ἐκλέγου δὲ τὴν πρόσφατον, ἔμπυρρον, πολυανθῆ, σχιζομένην δὲ ἐμπόρφυρον καὶ λεπτήν,

6 SIM. D. eup. II 112 (312) Cels. III 21 (107, 15) — eup. II 78 (291) — eup. II 80 (293) — eup. II 115 (316) — eup. II 34 (247) — eup. II 41 (256) — eup. II 96 (300) — eup. II 24 (236) — eup. I 233 (214) — eup. I 120 (153) — Scrib. L. 173. 176.

19 SIM. Theophr. h. pl. IX 7, 1; de caus. VI 11, 13. de od. 25. 33; Pl. XII 104 (ex Iuba); XXI 120 (e S. N.); Gal. XIV 74.

19 EXC. Isid. XVII 9, 11 (e D. lat.); Gal. XII 136 (s. v. *σχοίνου ἄνθος*), unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.

1 *τὴν* om. Da 2 *ἁδρὸς*] *grossior* Dl *ἐστιν* om. Da 5 post *ξηρός* add. *κοῦφος* (leve) Isid. l. s. *ἀτερηδώνιστος* H: *ἀτεριδδόνιστος* F *τῇ γεύσει* Orib. 7 *καὶ καταντλήμασι καὶ πυριάσεσι* Di 8 *καταντλήσεσι* F *πινόμενον* HDiDa *ἐχεοδήκτοις* F: *ἐχιοδήκτοις* reliqui 9 *μ̄,* F: *β̄* Di: *δύο* H: *πλῆθος β̄* Da fort. *ῥήγματα καὶ σπάσματα* cf. Gal. l. s. 10 *πνευματώσεις* FDiDa 11 *καὶ ἔμμηνα πλατεῖαν τε ἕλμινθα* Da cf. Gal. l. s. 15 *κομαλινοῦ* F 18 *παρίστησιν* Orib. (*παρέχει* Orib. V 72)

19 num. cap. *ιζ* QDi: *ιε'* Dl *σχῖνος* Di 20 *ἀβατέλη* QDa: *ἀβαταία* Di: *inabatea* Dl: *laudatissimus ex Nabataea* Pl.: corr. nescio quis *καλουμένῃ* F: *λεγομένῃ* reliqui 22 *τευχῖτιν*] errav. Pl. XXI 120 *ἡ*] *οἱ δὲ* H 23 *λεπτήν*] *λευκήν* H at cf. Isid. l. s.

ῥοδίζουσαν τῇ εὐωδίᾳ, ἐπειδὰν τρίβηται ταῖς χερσί, καὶ δάκνουσαν τὴν γλῶσσαν μετὰ ποσῆς πυρώσεως. χρῆσις δὲ τοῦ ἄνθους καὶ τῶν καλάμων καὶ τῆς ῥίζης.

δύναμιν δὲ ἔχει θερμαντικήν, [θρυπτικήν,] πεπτικήν, μαλα- 2
κτικήν, ἀναστομωτικήν, διουρητικήν, ἐμμήνων ἀγωγόν, πνευμάτων διαλυτικήν, κεφαλῆς καρηβαρικήν, ὑποστύφουσαν μετρίως. τὸ μὲν οὖν ἄνθος αὐτῆς ⟨ἐν⟩ ποτήμασι χρήσιμον πρὸς αἵματος ἀναγωγὰς καὶ πόνους στομάχου, πνεύμονος, ἥπατος, νεφρῶν· μείγνυται δὲ καὶ εἰς ἀντιδότους. ἡ δὲ ῥίζα στυπτικωτέρα, διὸ καὶ τοῖς ἀσώδεσι στομάχοις δίδοται, ὑδρωπιῶσί τε καὶ σπάσμασι μετὰ ἴσου πεπέρεως δραχμῆς μιᾶς ὁλκὴ πρὸς ἡμέρας τινάς. τὸ δὲ ἀπόζεμα αὐτῆς ταῖς περὶ μήτραν φλεγμοναῖς εἰς ἐγκάθισμα ἁρμόδιον.

18 κάλαμος ἀρωματικὸς φύεται μὲν ἐν Ἰνδίᾳ, ἔστι δὲ αὐτοῦ κάλλιστος ὁ κιρρός, πυκνογόνατος καὶ εἰς πολλοὺς σκινδαλμοὺς θραυόμενος, γέμων ἀραχνίων τὴν σύριγγα ὑπολεύκων, ἔν τε τῇ διαμασήσει γλίσχρος, στυπτικός, ὑπόδριμυς.

δύναται δὲ οὖρα κινεῖν ποθείς, ὅθεν ἁρμόζει μετὰ ἀγρώστεως ἢ σελίνου σπέρματος ἀφεψηθεὶς καὶ ποθεὶς ὑδρωπικοῖς, νεφριτικοῖς, στραγγουριῶσι, ῥήγμασιν. ἄγει δὲ καὶ ἔμμηνα πινόμενος καὶ προστιθέμενος, βῆχάς τε ἰᾶται ὑποθυμιώμενος καθ᾽ ἑαυτὸν καὶ σὺν ῥητίνῃ τερεβινθίνῃ τοῦ καπνοῦ διὰ σύριγγος ἑλκομένου τῷ στόματι. ἀφέψεται δὲ καὶ εἰς ἐγκαθίσ-

4 SIM. D. eup. II 14 (232) — Pl. XXI 120 Cels. III 21 (107, 16) eup. II 111 (310) — Pl. l. s. — eup. II 63 (276. 278) — Pl. l. s. eup. II 70 (284).

13 SIM. Theophr. h. pl. IV 8, 4. IX 7, 1sq.; de od. 33. 34. Pl. XII 104 (ex Iuba) — D. eup. II 63 (278) II 102 (304) II 109 (307) II 34 (246) II 78 (290) II 33 (245).

13 EXC. Orib. XI s. v. (*κάλαμος — ὑπόδριμυς*); Orib. t. V 71 D., unde Aet. II 196; Isid. XVII 8, 13 (e D. lat.); Gal. XII 6 (= Aet. I s. v. Paul. Aeg. VII 3 s. v.); Ps. Orib. de simpl. V 73.

1 *διατριβῇ* Di 2 *πολλῆς* H 4 post *ἔχει* haec habet Di *διουρητικήν, ἐμμήνων ἀγωγόν, πνευμάτων διαλυτικήν, κεφαλῆς καρηβαρικήν, ὑποστύφουσαν μετρίως, ἔτι δὲ θρυπτικήν, πεπτικήν, ἀναστ. καὶ διουρητικήν* *θερμαντικήν* FDl: om. reliqui, at cf. Gal. l. s. *θρυπτικήν* FDa: *θρεπτικήν* H: seclusi *ὑπαλλακτικήν* H 7 *οὖν* om. H *ἐν* addidi cf. Gal. l. s. *ποτίσμασι* libri: correxi 10 *ἀσώδεσι* F: *ἀσσώδεσι* reliqui 11 *δραχμῆς — ὁλκὴ* om. Di: < *ο α̅ ὁλκῆ* F: < *α̅ ὁλκή* HDa: post *σπάσμασι* transpos. Spr., fort. recte *ἀπόβρεγμα* H

13 num. cap. *ι̅η̅* QDi: *ιϛ′* Dl 14 *αὐτὸς* Spr. post *κιρρός* add. Isid. *fragrans spiritus suavitate* 15 *σήραγγα* Orib. V 71 post *σύριγγα* add. Dl *ascendens cubitum unum aut amplius* *ὑπολεύκων* FOrib. l. s.: *ὑπόλευκος* reliqui 16 *τε*] *δὲ* Orib.Di post *ὑπόδριμυς* foedissime interpol. *πικρός* (amarus) Orib. (ed. Ras.) 17 *ἀγρώστεως ῥίζης καὶ* D. eup. II 109 (307) 22 *ἀφέψηται* F: *ἀφεψεῖται* H

ματα γυναικεῖα· μείγνυται δὲ καὶ μαλάγμασι καὶ θυμιάμασι πρὸς εὐωδίαν.

19 *βάλσαμον*· τὸ μὲν δένδρον κατὰ μέγεθος λυκίου ἢ πυρακάνθης βλέπεται, φύλλα ἔχον ὅμοια πηγάνῳ, λευκότερα δὲ πολλῷ καὶ ἀειθαλέστερα, γεννώμενον ἐν μόνῃ Ἰουδαίᾳ κατά τινα αὐλῶνα, διαφέρον αὐτὸ ἑαυτοῦ τραχύτητι καὶ μήκει καὶ ἰσχνότητι. λέγεται γοῦν τὸ λεπτὸν καὶ τριχῶδες τοῦ θάμνου εὐθέριστον, ἴσως διὰ τὸ εὐχερῶς θερίζεσθαι ἰσχνὸν ὄν.

τὸ δὲ *ὀποβάλσαμον* λεγόμενον ὀπίζεται ἐν τοῖς ὑπὸ κύνα καύμασιν ἐντεμνομένου σιδηροῖς ὄνυξι τοῦ δένδρου· ῥεῖ δὲ ὀλίγον ὡς καθ' ἕκαστον ἔτος μὴ πλεῖον ἓξ ἢ ἑπτὰ χόας συναθροίζεσθαι· πωλεῖται δὲ ἐν τῷ τόπῳ ⟨τούτῳ⟩ ὁ σταθμὸς αὐτοῦ
2 πρὸς διπλοῦν ἀργύριον. ἔστι δὲ ὀπὸς καλὸς ὁ πρόσφατος, τῇ ὀσμῇ εὔτονος καὶ εἰλικρινὴς καὶ μὴ παροξίζων, εὐδίετος, λεῖος, στύφων καὶ δάκνων μετρίως τὴν γλῶσσαν. δολοῦται δὲ ποικίλως· οἱ μὲν γὰρ χρίσματα μίσγουσιν αὐτῷ ὡς τὸ τερεβίνθινον, κύπρινον, σχίνινον, σούσινον, βαλάνινον, μετώπιον, μέλι, κηρωτὴν μυρσίνην ἢ κυπρίνην ὑγρὰν λίαν. διελέγχεται δὲ εὐχερῶς ὁ τοιοῦτος· ἐπισταγεὶς γὰρ ὁ ἀκέραιος εἰς ἐριοῦν ὕφος καὶ ἐκπλυθεὶς κηλίδα οὐ ποιεῖ οὐδὲ σπίλον, ὁ δὲ δεδολωμένος

---

3 SIM. Theophr. h. pl. IX 6, 1 sq. Strab. XVI 763; Diod. II 48 (ex Posidonio?) XIX 98. Pl. XII 111 sq. (ex Iuba?) cf. XVI 135; XXIII 92 (e S. N.); Sim. S. s. v. (28, 9 L.).

3 EXC. Isid. XVII 8, 14 (e Pl. et Dl cf. Sol. 154, 15 M.); cf. Gal. XI 846. XIV 25.

3 TEST. Gal. XIV 62.

---

1 post *γυναικεῖα* add. *καὶ ἐγκλύσματα* Di   *εἰς μαλάγματα καὶ θυμιάματα* Da

3 num. cap. *ιθ* QDi: *ιζ'* Dl   *λευκοΐου* H: *λευκοΐου ἢ λυκίου* Di: *similis licii* Dl   4 *πυρακάνθης* libri: *piracantes* Dl: *πυξακάνθης* coni. Sarac. coll. D. I 100, at cf. D. I 93. 118   6 post *αὐλῶνα* add. *καὶ ἐν αἰγύπτῳ* HDiDa   ad rem cf. Pl. XII 114   7 tenue arboris genus capillacea coma euthcriston vocari Pl. l. s. testatur   *ἰσχνῶδες* Da   8 *θερίσερον* F: *θεριστόν* reliqui: correxi coll. Pl. l. s.   9 nov. cap. (*ιθ'* in mg.) *περὶ ὀποβαλσάμου* inc. Di: *ιη'* Dl   10 *καύμασιν* om. F   *σιδηροῖς ὄνυξι*] cf. Theophr. l. s.: *osseis cultellis* Pl.: *ferreis ungulis* Isid.   11 *ἔτος*] *χρόνον* Di   *ἢ ἓξ* HDi   *συναθροίζεσθαι — δὲ* om. F   12 *ἐν τῷ τόπῳ* om. H (spatio relicto)   *τούτῳ* addidi   *ὁ* om. F   14 *καὶ* (alt.) om. Di   *μὴ* del. Spr., at cf. Dl *odore fortiore non subacido*, Pl. *esse enim debet lenis, non subacidus*   *παροξύνων* F (*παροξίζων* in mg. corr. pr. m.)   *εὐδίαιτος* libri: corr. Sar.   16 *χρίσματι μίσγουσιν αὐτό* Di   17 *σχοίνινον* QDa   18 *λίαν* F: *λείαν* reliqui   *ἐλέγχεται* HDiDa   19 *ἀραιοῦν* F (*ἐρεοῦν* in mg. corr. alt. m.)   20 *ἐμπλυθεὶς* HDa: *ἐμπλησθεὶς* (*η* oblitter.) F

προσμένει, καὶ γάλακτι δὲ ἐπισταγεὶς πήγνυσι τοῦτο, ὅπερ ὁ δεδολωμένος οὐ δρᾷ. ἔτι ὁ ἀκέραιος ἐπιχυθεὶς γάλακτι ἢ ὕδατι χεῖται ταχέως καὶ γαλακτοῦται, ὁ δὲ δεδολωμένος ἐπιπλεῖ καθάπερ ἔλαιον συστρεφόμενος καὶ διαχεόμενος ἀστεροειδῶς· τῷ μέντοι χρόνῳ καὶ ὁ ἀκέραιος ἑαυτοῦ παχυνόμενος χείρων γίνεται. πλανῶνται δὲ οἱ νομίζοντες τὸν ἀκέραιον ἐπισταγέντα 3 ὕδατι χωρεῖν εἰς βάθος πρῶτον, εἶτα ἀναπλεῖν εὐδιάχυτον.

τὸ δὲ ξύλον τὸ καλούμενον ξυλοβάλσαμον δόκιμόν ἐστι τὸ πρόσφατον καὶ λεπτόκαρφον καὶ πυρρόν, εὐῶδες, βραχὺ πνέον ὀποβαλσάμου. τοῦ δὲ καρποῦ — καὶ γὰρ τούτου ἡ χρῆσις ἀναγκαία — ἐκλέγου τὸν ξανθόν, πλήρη, μέγαν, βαρύν, δάκνοντα τὴν γεῦσιν καὶ πυροῦντα, μετρίως παραπνέοντα τοῦ ὀποβαλσάμου. φέρεται δέ τι ἀπὸ τῆς Πέτρας, ᾧ δολίζουσι τὸν καρπόν, σπέρμα ὑπερικῷ ὅμοιον, ὅπερ γνώσῃ ἐκ τοῦ μεῖζόν τε εἶναι καὶ κενὸν καὶ ἀδύναμον, πεπερίζον τῇ γεύσει.

δύναμιν δὲ ἔχει ἐνεργεστάτην ὁ ὀπὸς θερμαντικώτατος ὤν, 4 σμήχων τὰ ἐπισκοτοῦντα ταῖς κόραις καὶ τὰς περὶ μήτραν ψύξεις ἰώμενος, προστιθέμενος μετὰ ῥοδίνης κηρωτῆς. ἄγει δὲ καὶ δεύτερα καὶ ἔμβρυα, καὶ ῥίγη συγχρισθεὶς λύει· καθαίρει δὲ καὶ τὰ ῥυπαρὰ τῶν ἑλκῶν. ἔστι δὲ καὶ πεπτικὸς καὶ οὐρητικὸς πινόμενος, δυσπνοοῦσιν ἁρμόζων καὶ τοῖς ἀκόνιτον πεπωκόσι μετὰ γάλακτος καὶ θηριοδήκτοις· μείγνυται δὲ καὶ ἀκόποις καὶ μαλάγμασι καὶ ἀντιδότοις, καὶ καθόλου δραστικωτάτην ἔχει τὴν δύναμιν ὁ ὀπὸς τοῦ βαλσάμου, δευτέραν δὲ ὁ καρπός,

---

3 SIM. Pl. XII 119.
17 SIM. Pl. XXIII 92 D. eup. I 41 (113) — Zop. (Orib. II 598) — eup. II 25 (237) Pl. l. s. — eup. II 112 (311) Pl. l. s. — Apollod. (Nic. Al. 64) Pl. l. s. eup. II 137 (327) — Apollod. (Nic. Th. 947) Pl. l. s. eup. II 115 (316).

---

1 *πήγνυσι — 2 γάλακτι* om. F 2 *ὁ* om. HDi 3 *χεῖται εἰς ταχέως γαλακτοῦται* F: *χεῖται καὶ ταχέως γ.* HDa: *si instillatus aquae aut admixtus facile fuerit resolutus* Isid. 4 *καὶ*] *ἢ* Di 5 *παχυνόμενος ἑαυτοῦ* Di 6 *οἱ νομίζοντες*] auctoris Pl. XII 123 sententiam impugnat 7 *εἰσχωρεῖν* Di *διάχυτον* H: *αὐδιάχυτον* F: *εὐδιάχυτον* Dl: *ἀδιάχυτον* reliqui 9 nov. cap. (*κ'*) *περὶ ξυλοβαλσάμου* inc. Di: *ιθ'* Dl *ξύλον ἑαυτοῦ* Di *ὃ καλεῖται* Di 10 *βραχὺ* Di: *τραχὺ* QDa post *βραχὺ* spat. reliquit H 13 *τῇ γεύσει* H 14 *δέ τι*] *δὴ* F: *τι* om. Da *τῆς* om. H 18 *σμίχων* F 20 *ἔμμηνα καὶ ἔμβρυα* H: *ἔμμηνα καὶ δεύτερα καὶ ἔμβρυα* Di: *secundas mulierum deponit et abortum provocat* Dl 21 *ῥυπαρὰ ἕλκη* Da 22 *δυσπνοοῦσιν — πινόμενος* (26, 1) om. Da 25 *δευτέρως* HDi.

5 ἐλαχίστην δὲ τὸ ξύλον. ὁ δὲ καρπὸς πινόμενος ἁρμόζει πλευριτικοῖς, περιπνευμονικοῖς, βήσσουσιν, ἰσχιαδικοῖς, ἐπιληπτικοῖς, σκοτωματικοῖς, ὀρθοπνοικοῖς, στροφουμένοις, δυσουροῦσι, θηριοδήκτοις, καὶ εἰς τὰ γυναικεῖα δὲ ὑποθυμιάματα εὔθετεῖ καὶ εἰς ἐγκαθίσματα ἀφεψόμενος, ἀναστομῶν τὴν μήτραν καὶ ἐπισπώμενος ὑγρασίαν. τὸ δὲ ξύλον τὴν αὐτὴν ἔχει δύναμιν τῷ καρπῷ, ἥσσονα μέντοι. βοηθεῖ δὲ ἀφεψηθὲν ⟨ἐν⟩ ὕδατι καὶ πινόμενον ἀπεψίαις, στρόφοις, θηριοδήκτοις, σπωμένοις, οὖρά τε ἄγει καὶ πρὸς τὰ ἐν τῇ κεφαλῇ τραύματα μετὰ ἴριδος ἁρμόζει ξηρᾶς· ἀνάγει δὲ καὶ λεπίδας. μείγνυται δὲ καὶ εἰς τὰ τῶν μύρων στύμματα.

20 ἀσπάλαθος, οἱ δὲ ἐρυσίσκηπτρον, οἱ δὲ σφάγνον, Σύροι δὲ διάξυλον καλοῦσι. θάμνος ἐστὶ ξυλώδης, ἀκάνθαις πολλαῖς κεχρημένος, γεννώμενος ἐν Νισύρῳ καὶ Συρίᾳ καὶ τῇ Ῥοδίᾳ, ᾧ χρῶνται οἱ μυρεψοὶ εἰς τὰς τῶν μύρων στύψεις. ἔστι δὲ καλὸς ὁ βαρὺς καὶ μετὰ τὸ περιφλοισθῆναι ὑπέρυθρος ἢ πορφυρίζων, πυκνός, εὐώδης, πικρίζων ἐν τῇ γεύσει. ἔστι δέ τι καὶ ἕτερον εἶδος αὐτοῦ, λευκόν, ξυλῶδες, ἄνοσμον, ὃ δὴ καὶ χεῖρον καθέστηκε.

2 δύναμιν δὲ ἔχει θερμαντικὴν μετὰ στύψεως, ὅθεν πρός τε τὰς ἄφθας ἑψηθεὶς μετ' οἴνου καὶ διακλυζόμενος ἁρμόζει καὶ πρὸς

1 SIM. D. eup. II 35 (248) II 36 (249) II 31 (241) I 237 (219) I 18 (103) I 15 (101) II 39 (251) II 41 (256) II 112 (311) II 115 (316) II 72 (286 cf. Zop. Orib. II 553) eup. II 14 (232) II 41 (256).

12 SIM. Theophr. de od. 25. 33. Pl. XII 110; XXIV 112 (e S. N.); schol. Theocr. IV 57.

12 EXC. Orib. XI s. v. (*ἀσπάλαθος καλός ἐστιν — καθέστηκεν*); Orib. t. V 70 (ed. Dar.), unde Act. II 196 s. v.; cf. Gal. XI 840 (= Act. I s. v. Paul. Aeg. VII 3 s. v.); Ps. Orib. de simpl. V 12; Hes. s. v.

20 SIM. Pl. XXIV 113 — Pl. l. s. D. eup. I 194 (195) — Pl. l. s. eup. (I 161 (177) — Pl. 113 eup. II 47 (259) II 30 (240) II 109 (307) — Pl. 113.

2 post *ἰσχιαδικοῖς* transpos. *θηριοδήκτοις* H 5 *εἰς* om. FDa *ἀναστομοῖ τὴν μήτραν καὶ ἐπισπᾶται* Di 7 *ἐν* addidi 9 *τῇ* om. Di 10 *καὶ* (alt.) om. Da

12 num. $\overline{\varkappa}$ QDiDl *ἀσπάλαθον* Q, at cf. D. I 4 *ἐρίοἰκησκῆπρον* (sic) F: *aerissceptron* Dl: *ἰρίσκηπτον* coni. Salm. cf. D. I 4 Pl. l. s. *οἱ δὲ σφάγνον* scripsi coll. Dl Pl. XXIV 112: *φάσγανον* QDa: *σφάγνον, οἱ δὲ φάσγανον* Di (var. lect.) 13 *διάξυρον* coni. Salm., at cf. Pl. XXIV 112 14 *ἐν νησούρω καὶ τῇ ῥουδία* F: *ἐν ἴστρω καὶ νησύρω καὶ συρία καὶ ῥόδω* HDiDa: *in Nisyro et Rhodiorum insulis* Pl.: *in squiroscla* (*ἐν Νισύρῳ καὶ Συρίᾳ?*) *et aput rodos* Dl: correxi 16 *περιφλοιωθῆναι* (*φλοιωθῆναι* V 70) Orib. 18 *καὶ ἄνοσμον* Orib. (*καὶ* post *δὴ* om.) *ὃ χεῖρον δὴ* Da 21 *καὶ διακλυζόμενος* HDiDa: *καὶ* del. F

τὰς ἐν αἰδοίοις ἀκαθαρσίας καὶ νομὰς ἐγκλυζόμενος καὶ πρὸς τὰς ὀζαίνας, ἔμβρυά τε κατασπᾷ μειγνύμενος πεσσῷ. τὸ δὲ ἀφέψημα αὐτοῦ κοιλίαν ἵστησι καὶ αἵματος ἀναγωγὴν ποθὲν δυσουρίαν τε καὶ ἐμπνευμάτωσιν λύει.

21 βρύον, ὑπό τινων δὲ σπλάγχνον καλεῖται, εὑρισκόμενον ἐπὶ δένδρων κεδρίνων ἢ λευκίνων ἢ δρυίνων. διαφέρει δὲ τὸ κέδρινον, δεύτερον δὲ τὸ λεύκινον. ἔστι δὲ αὐτοῦ τὸ εὐωδέστερον καὶ λευκὸν καλόν, τὸ δὲ μελανίζον χεῖρον.

δύναμιν δὲ ἔχει στυπτικήν, ποιοῦν πρὸς τὰ περὶ μήτραν ἐν ἀφεψήματι εἰς ἐγκάθισμα. μείγνυται δὲ καὶ μύροις βαλανίνοις καὶ χρίσμασι διὰ τὸ ἐν αὐτῷ στυπτικόν, καὶ εἰς θυμιαμάτων δὲ καὶ ἀκόπων σκευασίαν ἐστὶν εὔθετον.

22 ἀγάλοχον ξύλον ἐστὶ φερόμενον ἐκ τῆς Ἰνδίας καὶ Ἀραβίας, ἐοικὸς θυίας, ἐστιγμένον, εὐῶδες, παραστῦφον ἐν τῇ γεύσει μετὰ ποσῆς πικρίας, φλοιὸν ἔχον δερματώδη καὶ ὑποποίκιλον.

ποιεῖ δὲ διαμασώμενον καὶ διακλυζόμενον τὸ ἀφέψημα πρὸς εὐωδίαν στόματος, καὶ διάπασμα δὲ ὅλου τοῦ σώματός ἐστι, καὶ θυμιᾶται δὲ ἀντὶ λιβανωτοῦ. ἡ δὲ ῥίζα αὐτοῦ ὁλκὴ δραχμῆς ⟨μιᾶς⟩ πινομένη στομάχου πλάδον καὶ ἀτονίαν καὶ καύσωνα

5 SIM. Pl. XII 108. 132. XXIV 27 (e S. N.) cf. Hes. s. v. *σφάκος, φάσκος*.
5 EXC. Orib. XI s. v. (*βρύον — χεῖρον*); Gal. XI 855 (= Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).
13 SIM. D. eup. I 84 (136) II 13 (231) II 35 (247) II 48 (260).
13 EXC. Orib. XI s. v. (*ἀγάλοχον — ὑποποίκιλον*); Paul. Aeg. VII 3 s. v. (e D.) cf. Sim. S. s. v. *ξυλαλόη* (74 L.).

1 *αἰδ. καὶ* (om. H.) *νομὰς καὶ ἀκαθαρσίας* HDiDa *καὶ πρὸς τὰς ὀζαίνας* om. Di at cf. Pl. XXIV 113 2 *πεσσῷ*] *μέσω* F
5 num. cap. *κα* QDiDl *βρύον ἢ σπλάγχνον* Orib.: *σπλάχνον* HDi: *splacnon* Dl: *sphagnos sive sphacos* Pl. l. s. cf. Gal. l. s. Hes. s. *σφάκος* *εὑρίσκεται* Orib. 6 *δένδρω κέδρω ἢ λεύκη ἢ δρυΐ* Orib. 7 *κνίδιον* Orib. (*κέδρινον* superscr. O[2]): *his melior est de montibus cnidis* Dl post *κέδρινον* add. *χλωρόν, ὀρεινόν* Orib. *δὲ* (pr.) om. Orib. *λυκιακόν* Orib. (*λεύκινον* superscr. O[2]): *secundus est autem licius* Dl *αὐτοῦ καλὸν* Orib. *εὐῶδες* Orib. 9 post *στυπτικὴν* add. *μέσην θερμοῦ καὶ ψυχροῦ* H 10 *καὶ βα* (spatio relicto) *καὶ χρίσμασι* H *βαλανίνοις* om. Da 12 *δὲ*] *τε* H
13 num. cap. *κβ* QDiDl *ἀγάλοχον* FOribDl: *ἀγάλλοχον* H (*ἀγάλλοχον ἢ ξυλαλόη* ind.) Di D. eup. II 35 (247) Paul. Aeg. l. s.: *ἀγάλοχον τὸ νῦν ὀνομαζόμενον ξυλαλόη* Da: cf. Salm. de hom. 7 14 *ἐοικὸς* om. H *θυίας* F: *θυεία* Orib.: *θυίνης* H: *θυίνω* Da: *θυίνῳ ξύλῳ* Di: *similis thinepero* Dl *ἐστιγμένον*] om. Dl: *ἔστι μὲν οὖν* Orib.: *ἐστιμένον* Ald.: *ἐστιμμένον* (*a στίβειν*) coni. Sar. 19 *καὶ* om. Di *ἔστι δὲ καὶ θυμίαμα* Paul. Aeg. l. s. *ἡ δὲ ῥίζα αὐτοῦ* om. H < *ὁλκῇ* Di 20 *μιᾶς* addidi *καὶ* (alt.) om. F

παρηγορεῖ, τοῖς τε ἀλγοῦσι πλευρὸν καὶ ἧπαρ ἢ δυσεντερικοῖς ἢ στροφουμένοις ἀρήγει πινομένη μεθ' ὕδατος.

23 νάσκαφθον, οἱ δὲ νάρκαφθον· καὶ τοῦτο ἐκ τῆς Ἰνδικῆς κομίζεται. ἔστι δὲ φλοιῶδες, συκαμίνου λεπίσματι ἐοικός, θυμιώμενον διὰ τὴν εὐωδίαν καὶ μειγνύμενον τοῖς σκευαστοῖς θυμιάμασιν, ὠφελοῦν καὶ μήτραν ἐστεγνωμένην ὑποθυμιαθέν.

24 κάγκαμον δάκρυόν ἐστι Ἀραβικοῦ ξύλου, σμύρνῃ πως ἐοικός, βρωμῶδες ἐν τῇ γεύσει, ᾧ θυμιάματι χρῶνται· ὑποκαπνίζουσι δὲ καὶ τὰ ἱμάτια μετὰ σμύρνης καὶ στύρακος. δύναμιν δὲ ἱστορεῖται ἔχειν ἰσχναντικὴν τῶν καταπιμέλων τριωβόλου πλῆθος πινόμενον σὺν ὕδατι ἢ ὀξυμέλιτι ἐφ' ἱκανὰς ἡμέρας· δίδοται καὶ σπληνικοῖς καὶ ἐπιληπτικοῖς καὶ ἀσθματικοῖς, ἔμμηνά τε ἄγει σὺν μελικράτῳ. καθαίρει δὲ καὶ τὰς ἐν ὀφθαλμοῖς οὐλὰς ταχέως καὶ ἀμβλυωπίας ἰᾶται διεθὲν οἴνῳ, πρός τε μυδήσεις οὔλων καὶ ὀδονταλγίας ὡς οὐδὲν ἕτερον ποιεῖ.

25 κῦφι θυμιάματός ἐστι σκευασία κεχαρισμένη θεοῖς· χρῶνται δὲ αὐτῷ κατακόρως οἱ ἐν Αἰγύπτῳ ἱερεῖς. μείγνυται δὲ καὶ ἀντιδότοις, καὶ ἀσθματικοῖς δίδοται ἐν ποτήμασι. σκευασίαι δὲ αὐτοῦ ἐμφέρονται πλείονες, ἐν αἷς ἐστι καὶ αὕτη· κυπέρου ἡμίξεστον, ἀρκευθίδος ἁδρᾶς τὸ αὐτό, σταφίδος λιπαρᾶς ἐκγεγιγαρτισμένης μνᾶς δεκαδύο, ῥητίνης ἀποκεκαθαρ-

---

3 EXC. Orib. XII s. v. (νάσκαφθον — εὐωδίαν); Paul. Aeg. VII 3 s. v. (e D.).

8 SIM. Pl. XII 98. [Arr.] peripl. m. Er. 8.

8 EXC. Paul. Aeg. VII 3 s. v. (e D.); Hes. s. v. κάγκαμον.

18 SIM. Damocr. et Ruf. (Gal. XIV 117) Plut. de Is. et Os. 81 (383 c cf. ed. Parthey 278 sq.); Act. XIII 99. 116; Paul. Aeg. VII 22 (fol. 299 Ald.) Ps. Orib. de simpl. V 76; cf. Papyros Ebers ed. Ioachim 180.

---

3 num. cap. $\overline{κγ}$ QDiDl νάσκαφον Orib.: νασκάνθον F (ind.): *nacafton* Dl: ναόκαφθον Salm. de hom. 182 νάκαφθον (θ superscr.) Orib.: *nacafton* Dl: νάρκυνθον Da καὶ τοῦτο om. Orib. 5 σκευαστικοῖς H 6 ὑπατμιζόμενον Paul. Aeg. l. s.: ὑποθυμιασθέν Q

8 num. cap. $\overline{κδ}$ QDiDl σμύρνῃ προσεοικός HPaul. Aeg. l. s. 9 βρομῶδες Q: εὐῶδες Paul. Aeg. ᾧπερ ὡς H: ᾧ reliqui: ᾧ καὶ Paul. Aeg. 12 ἢ] καὶ H 13 ἐπιληπτικοῖς καὶ σπληνικοῖς H 14 τε om. QDa

18 num. cap. $\overline{κε}$ QDiDl 22 κυπέρου FPlut. Ps. Orib. l. s.: κυπείρου reliqui cf. D. I 4 σταφίδων λιπαρῶν H 23 ἐκγιγαρτισμένης DiDa: ἐκγιγαρτημένης F: ἐκγιγαρτισμένων H δεκαδύο scripsi: $\overline{ιβ}$ libri

μένης μνᾶς πέντε, καλάμου ἀρωματίτου, ἀσπαλάθου, σχοίνου, ἑκάστου μνᾶν μίαν, σμύρνης δραχμὰς δεκαδύο, οἴνου παλαιοῦ ξέστας ἐννέα, μέλιτος μνᾶς δύο. ἐκγιγαρτίσας τὴν σταφίδα 2
κόψον καὶ λέανον μετὰ τοῦ οἴνου καὶ τῆς σμύρνης καὶ τὰ ἄλλα κόψας καὶ σήσας μεῖξον τούτοις ἔασόν τε συμπιεῖν ἡμέραν μίαν· εἶτα ἑψήσας τὸ μέλι ἄχρι κολλώδους συστάσεως μεῖξον ἐπιμελῶς τὴν ῥητίνην τετηκυῖαν, εἶτα τὰ λοιπὰ συναnατρίψας ἐπιμελῶς ἀποτίθεσο εἰς ἀγγεῖον ὀστράκινον.

26 κρόκος ἐστὶ κράτιστος ἐν ἰατρικῇ χρήσει ὁ Κωρύκιος, πρόσφατός τε καὶ εὔχρους, ὀλίγον τὸ λευκὸν ἔχων ἐπὶ τῆς ἕλικος, ἐπιμήκης, ὁλομελής, ἄθραυστος, ἀλιπής, πλήρης, βάπτων ἐν διέσει τὰς χεῖρας, οὐκ εὐρωτιῶν ἢ ἰκμάζων, ἐπακτικὸς δὲ ἐν τῇ ὀσμῇ καὶ δριμύς· ὁ γὰρ μὴ τοιοῦτος ἢ παλαιός ἐστιν ἢ ἀποβεβρεγμένος. δευτερεύει δὲ ὁ ἐκ τῆς πρὸς Λυκίαν Κωρύκου

---

26 RV: κρόκος· οἱ δὲ κάστωρ, οἱ δὲ κυνόμορφος, προφῆται αἷμα Ἡρακλέους. ἀμείνων μὲν ὁ Κωρύκιος ἐκ Κιλικίας, δεύτερος ὁ Λυκιακὸς ἀπὸ τοῦ πρὸς αὐτῇ Κωρύκου ⟨καὶ⟩ τοῦ ἐν αὐτῇ Ὀλύμπου, τρίτος ὁ ἐξ Αἰγῶν τῆς Αἰολίδος. ὁ δὲ Κυρηναικὸς καὶ Σικελικὸς ἀσθενέστεροι μέν εἰσιν τῇ δυνάμει, πολύχυλοι δὲ καὶ εὔθλαστοι, διὸ καὶ τοὺς πολλοὺς πλανῶσιν. εἰς δὲ τὴν ἰατρικὴν χρῆσιν ἄριστος ὁ πρόσφατος, εὔχρους, ὀλίγον ἔχων

---

9 SIM. Pl. XXI 31 (e S. N. et Theophr. h. pl. VI 6, 10); 137 (e S. N.) cf. Strab. VI 273. XIV 670.

9 EXC. Orib. XI s. v. (*κρόκος — τυγχάνειν, πρὸς δὲ τὸ — στρέφειν*); Orib. t. V 73 (Dar.), unde Aet. II 196; Isid. XVII 9, 5 (e D. lat.); cf. Gal. XII 48. XIV 68; Ps. Orib. de simpl. V 45; Sim. S. s. v. (58 L.) cf. Hehn[6] 255.

---

1 *ἀρωματίτου* F: *ἀρωματικοῦ* reliqui cf. D. cup. II 102 (304) *σχίνου* Di 2 *δραχμὰς*] < libri *δεκαδύο* scripsi: *ῑα* Da: *ῑβ* reliqui 4 *τοῦ* om. HDi *τῆς* om. H 5 *μίαν*] *α'* HDi 7 *τὴν ῥητ. — συναnατρίψας* om. Da

9 num. cap. *κϛ* QDiDl post *κρόκος* syn. e R add. Di, post *Κωρύκιος* add. *οἱ δὲ κάστωρ* H *κράτιστός ἐστιν* Orib.: *κράτιστος* om. H *ἐν ἰατρ. χρ.* om. Orib. 10 *χρήσιμος δὲ ὁ πρόσφατος* H *τε*] *δὲ* Orib. *ἐπὶ τῆς ἕλικος* „an der Spitze der Narbe" cf. Flückiger Pharmak.[3] 775 sq. Leunis Syn. II 779 11 *ἀλιπής* om. Dl: *ἀλέπης* Orib. (*ἀνελλιπής* superscr. O[2]): *ἀνελλιπής* HDiDa: suspectum cf. Pl. XXI 33 *optimum ubicumqne quod pinguissimum* 12 *τῇ διέσει* Orib. H post *χεῖρας* add. *εὐχερῶς* Orib. *ἐπακτικὸς — καὶ* om. RDiDl Isid. *ἐν* (alt.) om. Da 13 *ὑπόδριμυς* RDi 14 *βεβρεγμένος* HDiDa: *προαποβέβρεκται* Orib. (*ἀποβέβρεκται* Orib. V 73) *δευτερεύει — χρήσιμος* om. Orib. *κωρυκίου* Di: *χωρυκίου* Da ad rem cf. Str. XIV 666

15 C fol. 193[r]: N 88 16 *ἡρακλέους* Di: *ἡρακλέως* R *κιλικίης* C 17 *καὶ* addidi 18 *ἠγαιῶν* C: *αἰγεῶν* N *αἰωλίδος* R

καὶ ὁ ἀπὸ τοῦ Λυκιανοῦ Ὀλύμπου, εἶτα ὁ ἐξ Αἰγῶν τῆς Αἰτωλίας. ὁ δὲ Κυρηναικὸς ⟨καὶ⟩ ὁ ἐκ Κεντορίπων κατὰ τὴν Σικελίαν ἀσθενεῖς κατὰ δύναμιν, λαχανώδεις ὄντες πάντες· διὰ μέντοι τὸ πολύχυλον καὶ εὔχρουν οἱ ἐν τῇ Ἰταλίᾳ τὴν θυίαν βάπτοντες τούτῳ χρῶνται — πολλοῦ δὲ πιπράσκεται διὰ τοῦτο —,

2 εἰς δὲ τὰ φάρμακα ὁ προγεγραμμένος ἐστὶ χρήσιμος. δολοῦται δὲ μείξει κροκομάγματος κεκομμένου καὶ λιθαργύρου ἢ μολυβδαίνης διὰ τὸ βάρος ἑψήματί τε ἀλείφεται. δηλοῖ δὲ ταῦτα τό τε ἐντρέχειν κονιορτῶδες καὶ τὸ τὴν ὀσμὴν ἑψηματώδη τυγχάνειν.

δύναμιν δὲ ἔχει πεπτικήν, μαλακτικήν, ὑποστύφουσαν, οὐρητικήν, παρέχει ⟨τε⟩ εὔχροιαν καὶ ἀκραίπαλός ἐστι μετὰ γλυ-

---

λευκόν, ὑπομήκης, ὁλόκληρος, πλήρης, ἀλιπής, εὔπνους, ἔν τε τῇ διέσει τὰς χεῖρας βάπτων, οὐκ εὐρωτιῶν, ὑπόδριμυς· ὁ γὰρ μὴ τοιοῦτος ἢ ἄωρος ἢ παλαιός ἐστιν ἢ ἀποβεβρεγμένος. δολοῦται δὲ μειγνυμένου κροκομάγματος ἢ δι' ἑψήματος ὑπαλειφόμενος συντετριμμένης εἰς τὸ βαρυσταθμῆσαι λιθαργύρου ἢ μολυβδαίνης· ἐλέγχεται δὲ τῷ κονιορτῶδες ὑπάρχειν ἢ ἑψήματος ὀδωδὴν ἢ καὶ δυσώδη ⟨τετυχη⟩κέναι καὶ μὴ εἰλικρινῆ προσβάλλειν τὴν εὐωδίαν. Θεσσαλὸς μὲν οὖν φησιν μόνον εὐώδη αὐτόν· οἱ δὲ καὶ θανάσιμον, εἴ τις πιεῖν διδῷ αὐτοῦ τρεῖς δραχμὰς μεθ' ὕδατος. κατὰ δὲ τὸ ἀληθὲς διουρητικός ἐστιν καὶ ἠρέμα παραστύφων, διὸ καὶ πρὸς ἐρυσιπέλατα ποιεῖ περι-

---

11 SIM. Pl. XXI 138 D. eup. II 112 (312) Cels. III 21 (107, 11) — Pl. 138 — Pl. 137 eup. I 29. 31 (108) — Pl. 137 — Pl. 138 eup. II 96 (300) — Pl. 138 — eup. I 25 (106) — eup. II 112 (312).

---

1 post *ὀλύμπου* e R add. *τρίτος* Di *Αἰτωλίας*] *Αἰολίδος* Sarac. at cf. Steph. Byz. s. v. *Αἰγαί* 2 *καὶ* addidi *κεντοριπάντων* F: *κεντορίας πάντων τῶν* HDi: *κεντορίας πάντων* Da: correxi cf. Strab. VI 272. 273 Pl. XXI 31 3 *ἀσθενὴς* libri: correxi 4 *θυίαν*] i. e. thyina ligna: *θείαν* Da 6 *προειρημένος* Da *ἐστὶ* om. H 7 post *κεκομμένου* e R interp. *ἢ δι' ἑψήματος. ὑπαλειφόμενος συντετριμμένης εἰς τὸ βαρυσταθμῆσαι λιθαργύρου ἢ μολιβδαίνης δηλοῖ* Di 9 *ἐντρέχον* libri: correxi *τὸ*] *τῷ* DiDa 10 post *τυγχάνειν* e R add. *Θεσσαλὸς μὲν οὖν φησι μόνον εὐώδη αὐτόν· οἱ δὲ καὶ θανάσιμον, εἰ πιεῖν τις δῷ αὐτοῦ < γ' μεθ' ὕδατος* Di 11 *κατὰ δὲ τὸ ἀληθὲς ἔχει δύναμιν* Di (e R) post *οὐρητικὴν* add. *ψυκτικήν* (*refrigeriosa*) Dl 12 *τε* addidi
13 *ὑπόμηκος* C *ἀλήτης* C 16 *ἑψέματος* R 18 *τῷ*] *τὸ* R 19 *διωδηκεναι* (sic) R: correxi 21 *εἶπον ἰὸν αὐτοῦ τρεῖς δραχμαί* C: *εἶπον διδων αὐτοῦ τρεῖς δραχμὰς* N: *εἰ πιεῖν τις δῷ αὐτοῦ* Di: correxi 23 *ποιεῖ*] *πνεῖ* N

κέος πινόμενος, ῥεῦμά τε ὀφθαλμῶν ἐπιχριόμενος [καὶ ἐγχριόμενος] στέλλει σὺν γάλακτι γυναικείῳ. μείγνυται δὲ καὶ τοῖς 3 *πρὸς τὰ ἐντὸς ποτήμασι χρησίμως καὶ προσθέμασι καὶ καταπλάσμασι τοῖς πρὸς μήτραν καὶ δακτύλιον. παρίστησι δὲ καὶ πρὸς ἀφροδίσια, τάς τε ἐρυσιπελατώδεις φλεγμονὰς πραΰνει καταχριόμενος καὶ εἰς τὰς ὠτικὰς χρησιμεύει. φασὶ δὲ καὶ ἀναιρετικὸν αὐτὸν εἶναι μεθ᾿ ὕδατος πινόμενον πλῆθος δραχμῶν τριῶν. πρὸς δὲ τὸ εὐλέαντον αὐτὸν γίνεσθαι δεῖ ἐν ἡλίῳ ψύγειν ἐν ὀστρακίνῳ ⟨ἀγγείῳ⟩ καινῷ θερμῷ· ταχέως δὲ δεῖ στρέφειν. καὶ ἡ ῥίζα δὲ αὐτοῦ πινομένη σὺν γλυκεῖ οὖρα κινεῖ.*

27 *τὸ δὲ κροκόμαγμα γίνεται ἐκ τοῦ κροκίνου μύρου τῶν ἀρωμάτων ἐκπιεσθέντων καὶ ἀναπλασθέντων. ἔστι δὲ αὐτοῦ τὸ εὐῶδες καλόν, μέσως κατάσμυρνον, βαρύ, μέλαν, ἄξυλον, ἐν τῷ διεθῆναι ἱκανῶς κροκῶδες τὴν χρόαν, λεῖον, ὑπόπικρον, βάπτον ἰσχυρῶς τοὺς ὀδόντας καὶ τὴν γλῶσσαν, ἐπιμένον τε συχνὰς ὥρας. τοιοῦτον δέ ἐστι τὸ ἀπὸ Συρίας.*

δύναμιν δὲ ἔχει σμηκτικὴν τῶν ἐπισκοτούντων ταῖς κόραις, οὐρητικήν, μαλακτικήν, πεπτικήν, θερμαντικήν. ἀναλογεῖ δὲ κατὰ ποσὸν τῇ τοῦ κρόκου δυνάμει· πλεῖστον γὰρ τούτου μετείληφεν.

28 *Ἑλένιον· οἱ δὲ σύμφυτον, οἱ δὲ Περσικήν, οἱ δὲ Μη-*

χριόμενος μεθ᾿ ὕδατος καὶ πρὸς ῥευματισμὸν ὀφθαλμῶν καὶ ὤτων καὶ τῶν ὁμοίων μετὰ γάλακτος. συμπλέκεται δὲ κολλυρίοις ὠτικοῖς, στοματικοῖς. ἔστι δὲ καὶ ἀκραίπαλος. ἡ δὲ ῥίζα τῆς φερούσης αὐτὸν πόας μετὰ γλυκέος πινομένη οὖρα κινεῖ.

---

11 SIM. Pl. XXI 139 (e S. N.) cf. Damocr. (Gal. XIV 133).
11 EXC. Orib. XI s. v. (*τὸ δὲ — συρίας*); Orib. t. V 73 D.; Isid. XVII 9, 6 (e D. lat.); Ps. Orib. de simpl. V 53.
21 SIM. Pl. XIV 108. XIX 91 sq. XX 38 (e S. N.).
21 EXC. Orib. XI s. v. (*ἑλένιον — ξηραίνεται*); Gal. XI 873 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.); Hes. s. *σύμφυτος* (e D. gloss.); Ps. Ap. 95; Ps. Orib. de simpl. V 100.

---

1 *καὶ ἐγχριόμενος* add. F: seclusi (var. lectio) 3 *ποτίσματα* F 6 *φασὶ — τριῶν* om. Di 7 *αὐτὸν* om. Da *πλήθους* F 9 *ψύχειν* Orib. *ἐπὶ ὀστράκου καινοῦ θερμοῦ* Orib. *ἀγγείῳ* addidi, nisi mavis *ὀστρακίῳ* *καινῷ* om. HDiDa *καὶ ταχέως στρέφειν* Orib. in extr. cap. alicna add. Dl
11 num. cap. κζ QDiDl *κροκόμαγμα δὲ* Orib. 12 *βρωμάτων* F *ἀναπλασσομένων* Orib. 13 *καλὸν* post *αὐτοῦ* colloc. Orib. 14 *ὑπόκιρρον* HDiDa 16 *εἰς συχνὰς* Orib. *τοιοῦτον — Συρίας* (i. e. vers. 25 litt.) om. Q 19 *τοῦ* om. Da
21 num. cap. κη QDiDl
23 *δὲ* om. C 24 *ὠτικαῖς, στοματικαῖς* R *ἡ ῥίζα δὲ* C

δικήν, οἱ δὲ Ὀρέστιον, οἱ δὲ νεκτάριον, οἱ δὲ κλεώνιον, οἱ δὲ βάτον Ἰδαίαν, οἱ δὲ φλόμον Ἰδαῖον καλοῦσι. φύλλα ἔχει φλόμῳ τῷ στενοφύλλῳ παραπλήσια, τραχύτερα δὲ καὶ ἐπιμήκη, — καυλὸν δὲ οὐκ ἀνίησι — ῥίζαν μεγάλην, εὐώδη, ὑπόδριμυν, κιρράν, ἀφ' ἧς εἰς τὴν φύτευσιν καθάπερ ἐπὶ τῶν κρίνων ἢ ἄρων αἱ παραφυάδες λαμβάνονται. γίνεται δὲ ἐν ὀρεινοῖς καὶ συσκίοις καὶ ἐνίκμοις τόποις.

---

28 C: Ἑλένιον· οἱ δὲ σύμφυτον ἄγριον, οἱ δὲ Περσικήν, οἱ δὲ Μηδικήν, οἱ δὲ Ὀρέστιον, οἱ δὲ νεκταρέαν, οἱ δὲ κλεωναίαν, οἱ δὲ βάτον Ἰδαίαν, οἱ δὲ φλόμον Ἰδαῖον, Ῥωμαῖοι τερμινάλιουμ, οἱ δὲ ἴνουλα Καμπάνα, Αἰγύπτιοι λῆνις.

N: Ἑλένιον· οἱ δὲ ξυλοφόρον, οἱ δὲ σύμφυτον, Ῥωμαῖοι ἴνουλα Καμπάνα. καυλὸν ἀνίησιν δασύν, διπηχυαῖον καὶ μείζονα, γωνιοειδῆ, περὶ ὃν οὐκ ἐκ μεγάλων διαστημάτων τὰ φύλλα δασέα, ὑπομήκη, πρὸς τὰ τοῦ βουγλώσσου. ἔχει δὲ καὶ παρὰ τὰς γωνίας ὁ καυλὸς ἐξοχάς τινας παρατεταμένας φύλλων προστύπων ἀφ' ἑκάστης πασχάλης, ἄνθη μήλινα καὶ καρπὸν ἐν αὐτοῖς ὡς φλόμου κατὰ τὴν προσαφὴν κνησμὸν ἐμποιοῦντα. ῥίζαι δ' ὕπεισιν εὐώδεις, ὑποδριμεῖαι, κιρραί, εὐαφεῖς εἰς τὴν φύτευσιν, τὴν μὲν ἐπιφάνειαν μέλαιναι, ἔνδοθεν ⟨δὲ⟩ λευκαί, γλίσχραι, ὧν καὶ ἡ χρῆσις. γεννᾶται δὲ ἐν ὀρεινοῖς κτλ.

---

1 νεκταραίαν (i. e. νεκταρέαν) C: *nectariam* Pl.: νεκτάριος ῥίζα Hes. l. s. κλεόω (# superscr.) F: κλεωνίαν CDi: κλεόνιον Da: *clieonium* Dl: fort. Κλεώναιον cf. Theophr. h. pl. VII 4, 2 (Pl. XIX 75) Hes. s. v. 2 β. ἰδαῖον F post καλοῦσι syn. Rom. et Aeg. e R add. DiH 3 δὲ om. C post ἐπιμήκη add. Spr. e N καυλὸν — ποιοῦν quae e D. IV 10 errore a librario desumpta sunt verba καυλὸν δὲ οὐκ ἀνίησι suspecta cf. Dl *non crescens in alto se⟨d⟩ super terram late distenditur* (καυλὸς δὲ οὐκ εἰς βάθος ἄνεισι ἀλλ' ἐπὶ γῆς κέχυται), nisi forte e cap. 28 huc translata sunt 4 ἄνεισι Q post ἀνίησι add. ἔν τισι τόποις COrib.Di ῥίζαν ὑπόλευκον καὶ ὑπόκιρρον, εὐώδη, μεγάλην, δριμεῖαν (ὑπόπικρον Orib.) εὐαφῆ (om. Orib.) COrib.Di, at cf. Dl *radix ei ingens et odorabilis est et rufa et viscida gustu non suavi* ὑπόδριμυν] ὑπόπικρον Orib. (lat.), frustra def. Sar. 5 κρίνων] καλάμων Pl. XIX 92 αἱ om. Di: λιπαραὶ φυάδες (i. e. αἱ παραφυάδες) C 6 γεννᾶται R 7 ἀνίκμοις HDi

8 C fol. 119v 9 νεκταραίαν C κλεωνίαν C: correxi cf. Hes. s. v. 10 φλόμον] δλομον C 11 ἤνουλα R: correxi ληνις C: λῆνις Di

12 N fol. 69 (*enula campana* mg. add. m. rec.) syn. ξυλοφόρον e D. IV 9 huc transl. 13 verba καυλὸν — ἐμποιοῦντα e D. IV 10 add. librarius 14 περὶ ὃν] παχὺν N 16 παρατεταγμένας N 18 ἐνποιοῦν N: correxi

ὀρύσσεται δὲ ἡ ῥίζα θέρους καὶ τεμνομένη ξηραίνεται. 2
κινεῖ δὲ τὸ ἀφέψημα αὐτῆς πινόμενον οὖρα καὶ ἔμμηνα. αὐτὴ δὲ ἡ ῥίζα λαμβανομένη ἐν ἐκλεικτῷ μετὰ μέλιτος ἁρμόζει βηξίν, ὀρθοπνοίαις, ῥήγμασι, σπάσμασιν, ἐμπνευματώσεσι καὶ θηρίων δήγμασι, καθόλου θερμαντικὴ ὑπάρχουσα. τὰ δὲ φύλλα αὐτῆς ἐπιπλάττεται ἀφεψηθέντα μετ᾽ οἴνου ἰσχιαδικοῖς ὠφελίμως. ἔστι δὲ καὶ εὐστόμαχος ταριχευθεῖσα ἐν γλυκεῖ· ξηράναντες γὰρ αὐτὴν ἐπ᾽ ὀλίγον οἱ ἁλμευταί, εἶτα ἀφεψήσαντες ἀποβρέχουσιν ὕδατι ψυχρῷ, εἶτα βαλόντες εἰς ἕψημα ἀποτίθενται εἰς χρῆσιν.

29 Ἑλένιον ἄλλο ἱστορεῖ Κρατεύας γεννᾶσθαι ἐν Αἰγύπτῳ. πόα δέ ἐστι κλῶνας ἔχουσα πηχυαίους, ἐπὶ γῆς ἐρριμμένους ὥσπερ τὸ ἕρπυλλον, φύλλα δὲ τοῖς τοῦ φακοῦ ὅμοια, μακρότερα δὲ καὶ πολλὰ περὶ τοῖς κλωνίοις, ῥίζαν ὠχράν, πάχος δακτύλου μικροῦ, κάτωθεν λεπτήν, ἄνωθεν δὲ παχυτέραν, φλοιὸν ἔχουσαν μέλανα. φύεται δὲ ἐν παραθαλασσίοις τόποις καὶ γεωλόφοις.

δύναμιν δὲ ἔχει μετ᾽ οἴνου πινομένη μία ῥίζα θηριοδήκτοις βοηθεῖν.

30 ἔλαιον πρὸς τὴν ἐν ὑγιείᾳ χρῆσιν ἄριστον τὸ ὠμοτριβές, ὃ καὶ ὀμφάκινον καλοῦσι. καὶ τούτου διαφέρει τὸ νέον, ἄδηκτον, εὐῶδες· χρήσιμον δὲ τὸ τοιοῦτον καὶ εἰς τὴν τῶν μύρων κατασκευήν. ἔστι δὲ καὶ εὐστόμαχον διὰ τὸ στύφειν καὶ

---

1 SIM. D. eup. II 112 (311) — eup. II 76 (288) — Pl. XX 38 D. eup. II 39 (252) II 34 (246) — Pl. XX 38 eup. II 115 (316).

10 SIM. Theophr. h. pl. II 1, 3. VI 1, 1. 6, 2. 3. 7, 4 Pl. XXI 59. 159; Ael. n. a. IX 21 (e Sostrato); Hes. s. v. *ἑλένιον*; Et. M. s. v. Gal. XIV 244; cf. Ps. Ap. 95.

19 SIM. Pl. XXIII 79 sq. (e S. N.); XV 19 cf. XII 130. XV 4 sq. D. eup. I 78 (133) Cels. II 33. V 15 cf. Pallad. de agr. XII 17 sq.

19 EXC. Gal. XI 868 (cf. Aet. I s. v. Paul. Aeg. VII 3 s. v. Sim. S. s. v.).

---

1 *ὀρύσσονται δὲ αἱ ῥίζαι κτλ.* N 2 *ἔμμηνα καὶ οὖρα* R (*καὶ οὖρα* om. C) 3 *ἀναλαμβανομένη* H *ἐν λυχνίῳ* R 6 *ἑψηθέντα* R 7 *εὐστόμαχον* F: *εὔστομος* R, at cf. Pl. XIX 91 *γλυκεῖ*] *μέλιτι* R 8 *εἶτα*] *ἢ* R 9 *βάλλοντες* libri: correxi *εἰς χρῆσιν* om. C: *εἰς τὴν χρείαν* N in calce add. c D. IV 10, 2 *ποιοῦσιν δὲ λεῖαι πινόμεναι αἱμοπτυικοῖς καὶ ῥήγμασιν καταπλασθεῖσαι* N, unde *ποιεῖ δὲ λεία πινομένη αἱμοπτοικοῖς* Di

10 num. cap. $\overline{\kappa\vartheta}$ QDi tit. *περὶ ἑτέρου ἑλενίου* QDiDa *γενέσθαι* Da 13 *μικρότερα* Anguillara Semplici 177: *sed pluriora et longiora* Dl 14 *δὲ* post *φλοιόν* transpos. F (del. alt. m.) *πλατυτέραν* Ang. l. s. 15 *μέλαινα* FDi *δὲ* om. Da

19 num. cap. $\overline{\lambda}$ QDi: $\overline{\kappa\vartheta}'$ Dl tit. *περὶ ἐλαίου* FDi: *περὶ ἐλαίου ὠμοτριβοῦς* reliqui 20 *καλεῖται* Di *καὶ* (alt.) om. HDi 22 post *κατασκευήν* add. *μέσον θερμοῦ καὶ ψυχροῦ τὸ γλυκύτατον* (sic) H

οὔλων σταλτικὸν καὶ ὀδόντων διακρατυντικὸν κρατούμενον ἐν τῷ στόματι ἱδρώτων τε ἐφεκτικόν. τὸ δὲ λιπαρώτερον καὶ παλαιὸν εἰς τὴν τῶν ⟨χαλαστικῶν⟩ φαρμάκων χρῆσιν εὔθετον. κοινῶς δὲ πᾶν ἔλαιον θερμαντικόν ἐστι καὶ μαλακτικὸν τῆς σαρκός, δυσπερίψυκτα φυλάσσον τὰ σώματα καὶ ἑτοιμότερα
2 πρὸς τὰς ἐνεργείας ποιοῦν. ἔστι δὲ καὶ εὐκοίλιον καὶ μαλακτικὸν ἀμβλῦνόν τε τὰς τῶν ἑλκούντων φαρμάκων δυνάμεις· δίδοται δὲ καὶ πρὸς τὰ θανάσιμα συνεχῶς πινόμενον καὶ ἐξεμούμενον. καθαίρει δὲ ὅσον κοτύλη σὺν πτισάνης χυλῷ ἴσῳ ποθὲν ἢ ὕδατι, στροφουμένοις τε ἐν ποτῷ ὠφελίμως δίδοται μετὰ πηγάνου ἑψηθὲν θερμὸν κυάθων ἓξ πλῆθος ἕλμεις τε ἐκβάλλει, ἐνίεταί τε τὸ αὐτὸ μάλιστα πρὸς τοὺς εἰλεώδεις. τὸ δὲ παλαιὸν θερμαντικώτερον καὶ διαφορητικώτερον, πρὸς ὀξυδερκίαν τε ὑπάλειμμα. μιμητέον δὲ εἰ μὴ παρείη τὸ παλαιὸν ἔλαιον οὕτως· κατεράσας εἰς ἀγγεῖον τοῦ παρόντος τὸ κρεῖσσον ἕψε, ἕως οὗ σχῇ μέλιτος πάχος, καὶ χρῶ· τὴν γὰρ αὐτὴν τῷ προειρημένῳ εἰσφέρεται δύναμιν.
3 τὸ δὲ ἐκ τῆς *ἀγρίας ἐλαίας* ἔλαιον στυπτικώτερον, πρὸς μὲν τὴν ἐν ὑγιείᾳ χρῆσιν δεύτερον, κεφαλαλγοῦσι δὲ ἀντὶ ῥοδίνου ἁρμόζει, ἐπέχον καὶ ἱδρῶτας καὶ τρίχας ῥεούσας. ἀποσμήχει δὲ καὶ πίτυρα καὶ ἀχῶρας καὶ ψώρας καὶ λέπρας, βράδιόν τε πολιοῖ καθ' ἑκάστην ἡμέραν ἐπαλειφόμενον.

λευκαίνεται δὲ ἔλαιον οὕτως· λαβὼν τὸ τῇ χρόᾳ μὲν λευ-

---

7 SIM. Pl. XXIII 79 sq. D. eup. II 135 (326) II 40 (254) II 67 (282) II 45 (257). I 1 (94) II 27 (237) I 96 (141) I 105 (146) I 100 (144).

23 TEST. Gal. XI 497: *εἰσὶ καὶ ἕτεροι τρόποι λευκάνσεως ἐλαίου παρὰ τοῖς τά τε τῶν σκευασιῶν βιβλία γεγραφόσι καὶ τὰ περὶ τῆς ὕλης, ὥσπερ καὶ τὰ παρὰ τῷ Διοσκουρίδῃ κατὰ τὸ πρῶτον.*

---

1 *διακρατυντικὸν* QDa: *κρατυντικὸν* Di 2 *καὶ ἱδρώτων* Di *τε*] *δὲ* F *τὸ δὲ παλαιότερον καὶ λιπαρώτερον* Di: *pinguior et vetere confectionibus calasticis miscetur* Dl *λιπαρώτερον*] *μαλακτικὸν τῆς σαρκὸς* H 3 *χαλαστικῶν* addidi e Dl 5 *σαρκός*] i. e. cutis: *γαστρός* Di *δυσπερίψυκτον φυλάσσον τὸ σῶμα καὶ ἑτοιμότερον* Di *ἑτοιμότερον* FDa 7 post *δυνάμεις* add. *ἐν τῇ μίξει* Di 9 *κοτύλη ποθὲν* H *σὺν* om. Da *ἴσω χυλῶ* Di 11 *θερμὸν* F: *θερμῷ* Di: om. HDa *τὸ πλῆθος* Da *ἕλμεις* F: *ἕλμινθας* reliqui 12 *καὶ ἐνίεται δὲ* Di *τοὺς* F: *τὰς* reliqui 13 *θερμαντικὸν διαφορητικώτερον* QDa: *θερμαντικὸν καὶ διαφορητικώτερον* Di: correxi coll. Gal. l. s. *τὸ δὲ παλαιὸν ἔλαιον τὸ μὲν ἐκ τοῦ γλυκέος παλαιουμένου γινόμενον θερμότερόν τε καὶ διαφορητικώτερόν ἐστι* 14 *μιμητέον* (*ι* in ras.) F: *μικτέον* reliqui *τὸ* om. Di *παλαιὸν*] *μικτὸν* Da 15 *κατακεράσας* H *ἀγγεῖα* Da 18 mg. add. *ἔλαιον τὸ ἐκ τῆς ἀγρίας ἐλαίας· λ̄* (atr. r.) Di *ἐλαίας* om. H *κομιζόμενον ἔλαιον* Di 23 nov. cap. (*λ'*) inc. Dl *οὕτως* F: *οὕτω* reliqui *τὴν χρόαν* H

κὸν τὴν ἡλικίαν δὲ μὴ πλέον ἐνιαυσίου ἔγχεε εἰς κεραμεοῦν ἀγγεῖον πλατύστομον καινόν — ἔστωσαν δὲ μέτρῳ κοτύλαι ἑκατόν —, εἶτα θεὶς ὑφ' ἥλιον ἀνάχει κόγχῳ καθ' ἑκάστην ἡμέραν κατὰ τὸ μέσον, ὑψόθεν τῇ καταφορᾷ χρώμενος, ἵνα τῇ συνεχεῖ κυκήσει καὶ πληγῇ μεταβάλληται καὶ ἀφρίσῃ. τῇ δὲ ὀγδόῃ 4
ἡμέρᾳ βρέξας τήλεως καθαρᾶς δραχμὰς πεντήκοντα ἐν ὕδατι θερμῷ ἔμβαλε μαλακὴν γενομένην εἰς τὸ προειρημένον ἔλαιον χωρὶς τοῦ στραγγίσαι τὸ ὕδωρ· προσαπόδος δὲ καὶ δαλὸν πιτυίνης ὡς ὅτι λιπαρωτάτης καὶ εἰς λεπτὰ κατεσχισμένης τὰς ἴσας ὁλκὰς καὶ οὕτως ἔασον ἄλλας ὀκτὼ ἡμέρας διελθεῖν. μετὰ ταύτας δὲ ἀνάχει τῷ κόγχῳ τὸ ἔλαιον, τό τε λοιπόν, εἰ μὲν εἴη τοῦ τέλους τετευχός, εἰς καινὸν ἀγγεῖον προκεκλυσμένον οἴνῳ παλαιῷ κατεράσας ἀποτίθεσο, προυπεστρωμένων μελιλώτου στεφανίσκων αὔων ὁλκῶν ἕνδεκα καὶ ἴρεως τῆς ἴσης. εἰ δὲ μή, πάλιν ἐν ἡλίῳ θετέον αὐτὸ καὶ ἐργαστέον, ἄχρις οὗ λευκὸν γένηται.

ἔνεστι δὲ καὶ Σικυώνιον ⟨διὰ⟩ τοῦ προειρημένου οὕτως 5
σκευάζειν· εἰς λέβητα κεκασσιτερωμένον πλατύστομον ἐγχέας νέου ἐλαίου ὠμοτριβοῦς καὶ λευκοῦ χοέα ἕνα καὶ ὕδατος ἡμίχουν ἕψε κούφῳ πυρὶ κινῶν πραέως. ὅταν δὲ ἀναζέσῃ δίς, ὑπόσπασον τὸ πῦρ καὶ ψύξας ἀποκόγχισον τὸ ἔλαιον, εἶτα ἄλλο ἐπιδοὺς ὕδωρ συναναζεσον αὐτῷ, καὶ τὰ λοιπὰ ποιήσας καθὼς ὑποδέδεικται ἀπόθου. σκευάζεται δὲ τοῦτο μάλιστα ἐν Σικυωνίᾳ, Σικυώνιον καλούμενον. δύναμιν δὲ ἔχει ποσῶς θερμαντικήν, ἁρμόζον ἐν πυρετοῖς καὶ τοῖς περὶ νεῦρα πάθεσι. χρῶνται δὲ αὐτῷ καὶ αἱ γυναῖκες [ἐπὶ τῷ προσώπῳ] ἐπὶ τῷ στιλβώθρῳ.

---

25 SIM. D. eup. I 100 (144).

---

1 ἐνιαυσιάλιον Da κεραμοῦν HDa 2 μέτρον Di 4 ὑψόθι Di: ὑψό (θ superscr.) F 5 κυκήσει libri: κινήσει Spr. μεταβάλλη τε H: μεταβάλλει Da: μεταβάλλεται (ε in η corr. m. rec.) F φρίσσει F 7 ἔμβαλλε Q 9 ὡς ὅτι om. Di λιπαρωτέρας F: λιπαρώτατον HDa κατεσχισμένον HDa 10 μετὰ δὲ ταύτας HDiDa 11 εἴης Da 12 τετευχώς F 13 κατακεράσας H προυπεστρωμέν̌ (. . . νου) F μελιλω(τ' superscr.) F: μελιλώτων reliqui 14 αὐῶ (sic) F: ἀλύτων DiDa: ἀλίσκων H: correxi ὁλκῆ͡ (sic) F: ὁλκῶν reliqui: fort. ὁλκῇ δραχμῶν ἴρεος (ut semper) F 17 mg. add. περὶ σικυωνίου Di: nov. cap. λα' inc. Dl διὰ addidi τὸ προειρημένον libri: correxi ad rem cf. Orib. ed. Dar. II 899 18 κασσιτηρωμένον H: κεκασσιτηρωμένον F 19 χοέα F: χόα Di: χόαν HDa 20 πράως H ὑπόσπασον — ψύξας om. F 21 ἀποκόγχυσον H 22 αὐτὸ p καθὼς σοι προδέδεικται Di 25 καὶ om. F 26 αἱ om. p ἐπὶ τῷ προσώπῳ om. H: delevi (gloss.) στιλβώθρῳ libri, format. ut ψίλωθρον

6 ὁ δὲ ἐπὶ τοῖς βαλανείοις συναιρόμενος ⟨ῥύπος⟩ δύναται θερμαίνειν, μαλάσσειν, διαφορεῖν, ῥαγάσι τε καὶ κονδυλώμασιν ⟨ἁρμόζειν⟩ ἐν διαχρίστοις. ὁ δὲ ἐκ τῆς παλαίστρας προσειληφὼς τὴν κόνιν, ἐοικὼς δὲ ῥύπῳ, τὰς περὶ τοὺς κονδύλους συστροφὰς ἐπιτιθέμενος ὠφελεῖ, καὶ ἰσχιαδικοὺς θερμὸς ἀντὶ μαλάγματος ἢ πυρίας ἐπιτιθέμενος. καὶ ὁ ἐν τοῖς τῶν γυμνασίων τοίχοις ῥύπος καὶ ὁ ἀπὸ τῶν ἀνδριάντων θερμαίνει τε καὶ διαχεῖ τὰ δύσπεπτα φύματα καὶ πρὸς ἀποσύρματα καὶ πρὸς ἕλκη πρεσβυτικὰ ἁρμόζει.

31 ἐλαιόμελι κατὰ Πάλμυρα τῆς Συρίας ἐκ τοῦ στελέχους ἐλαιῶν μέλιτος παχύτερον ῥεῖ, γλυκὺ τῇ γεύσει, ὅπερ πινόμενον πλῆθος κυάθων δυεῖν μετὰ κοτύλης μιᾶς ὕδατος ἄγει κατὰ κοιλίαν ὠμὸν καὶ χολῶδες. ἔννωθροι δὲ γίνονται καὶ ἔκλυτοι οἱ λαμβάνοντες, ὅπερ οὐ δεῖ εὐλαβεῖσθαι, διεγείρειν δὲ αὐτοὺς μὴ ἐῶντας καταφέρεσθαι.

σκευάζεται δὲ καὶ ἐκ τοῦ λίπους τῶν θαλλῶν ἔλαιον. ἔστι δὲ αὐτοῦ κάλλιστον τὸ παλαιὸν καὶ παχὺ καὶ λιπαρόν, οὐ τεθολωμένον. θερμαίνει δὲ ἰδίως ποιοῦν πρὸς τὰ ἐπισκοτοῦντα ταῖς κόραις ἐγχριόμενον, καὶ λέπρας καὶ ἀλγήματα ⟨τὰ⟩ περὶ νεῦρα ἐγχριόμενον ὠφελεῖ.

32 κίκινον ἔλαιον σκευάζεται τούτῳ τῷ τρόπῳ· λαβὼν ὡρίμων κροτώνων ὅσον ἂν δόξῃ καὶ ψύξας εἰς ἥλιον καταστρώσας θειλοπέδου τρόπον, ἕως ἂν ὁ περικείμενος φλοιὸς ἀπορρα-

---

1 SIM. Pl. XXVIII 50 (e S. N.).
1 EXC. Gal. XII 116 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).
10 SIM. Pl. XV 32; XXIII 96 (e S. N.) cf. Geop. IX 26, 3.
10 EXC. Paul. Aeg. VII 3 s. v. (e D.).
21 SIM. Pl. XV 25. XXIII 83 (e S. N.).
21 EXC. Aet. I s. v. ἔλαιον; Paul. Aeg. VII 20 s. v.; Zach. m. m. VI 10 (123) cf. Gal. XI 870. 871. XIX 70.

---

1 nov. cap. (λβ') incip. Dl βαλάνοις FDa συναγόμενος F ῥύπος addidi 3 ἁρμόζειν addidi mg. περὶ ῥύπου τοῦ ἐκ τῆς παλαίστρας add. Di ἐκ] ἐπὶ H 5 post ὠφελεῖ add. ὠφελεῖ δὲ H 6 mg. add. περὶ ῥύπου ἀνδριάντος Di ἐν τοῖς γυμνασίοις ῥύπος H 7 τείχοις F ὁ om. FDiDa 10 num. cap. $\overline{λα}$ QDi: $\overline{λγ}$ Dl κατὰ τὰ (dittogr.) Di παλμυρᾶ HDa: παλμυρά FDi τοῦ] τινὸς libri, Paul. Aeg. l. s.: corr. Sar. 11 ἔλαιον libri, Paul. Aeg. l. s.: corr. Sar. 12 δύο H: $\overline{β}$ FDiDa: δυοῖν Paul. Aeg. καταμήνια ὠμὸν F 16 καὶ om. H 17 τὸ] καὶ Spr. 19 τὰ addidi 21 num. cap. $\overline{λβ}$ QDi: $\overline{λδ}$ Dl 22 ὡρίμων] ὀρεινῶν FDaZach: ὀρεινῶν ὡρίμων H: *herbam crotonem quod appellatur accipies maturam* Dl ad κροτώνων cf. D. IV 161 ὅσων Di 23 θηλοπέδου libri

γεὶς ἐκπέσῃ, συναγαγὼν τὴν σάρκα ἔμβαλε εἰς ὅλμον καὶ κόψας
ἐπιμελῶς εἰς λέβητα κεκασσιτερωμένον βάλε ὕδωρ ἔχοντα καὶ
ἀνάβρασον ὑποκαίων. ὅταν δὲ ἀνῶσι τὴν ἐν αὐτοῖς ὑγρότητα
πᾶσαν, ἄρας τὸν λέβητα ἀπὸ τοῦ πυρὸς ἀπόψα μύακι τὸ ἐπι-
πλέον ἔλαιον καὶ ἀποτίθεσο. οἱ δὲ Αἰγύπτιοι διὰ τὸ δαψι- 2
λοῦς χρῄζειν ἑτέρως αὐτὸ σκευάζουσι· μετὰ γὰρ τὸ καθᾶραι εἰς
μύλην ἀποδόντες τοὺς κρότωνας ἀλήθουσιν ἐπιμελῶς, εἰς τὰς
σφυρίδας δὲ ἐμβαλόντες τὸ ἀληλεσμένον δι' ὀργάνου ἐκθλίβου-
σιν. ὥριμοι δέ εἰσιν οἱ κρότωνες, ὅταν ὑπὸ τῶν περιεχόντων
αὐτοὺς σφαιρίων ἀπολύωνται.

ποιεῖ δὲ τὸ κίκινον πρὸς ψώρας καὶ ἀχῶρας καὶ τὰς ἐν
ἕδρᾳ φλεγμονάς, πρός τε ὑστέρας μύσεις καὶ διαστροφάς, ἔτι
δὲ οὐλὰς ἀπρεπεῖς καὶ ὠταλγίας, ἐμπλάστροις τε μιγὲν ἐμ-
πρακτοτέρας αὐτὰς ἐργάζεται. ἄγει δὲ καὶ κατὰ κοιλίαν ὑδα-
τῶδες ποθέν, ἐκκρίνει δὲ καὶ ἕλμινθας.

33 ἀμυγδάλινον ἔλαιον, ὅ τινες μετώπιον καλοῦσι, σκευά-
ζεται οὕτως· ἀμυγδάλων πικρῶν χοίνικας τέσσαρας καθάρας καὶ
ξηράνας κόψον ὑπέρῳ ξυλίνῳ ἐν ὅλμῳ κούφως, μέχρι μᾶζα γέ-
νηται, ἐπιχέας τε ζεστοῦ ὕδατος κοτύλας δύο ἔασον συμπιεῖν
ἡμιώριον, ἀφ' ἧς πάλιν βιαιότερον τρῖβε. εἶτα ἀποθλίβων πρὸς
πλάκα ἔξιπου καὶ τὸ ἀπὸ τῶν δακτύλων εἰς μύακα ἀναλάμβανε,
εἶτα πάλιν εἰς τὸ ἀποτεθλιμμένον κοτύλην μίαν ὕδατος ἐπι-
χέας καὶ συμπιεῖν ἐάσας τὸ αὐτὸ ποίει· ἀποδίδωσι δὲ κοτύλην
μίαν τὸ τετραχοίνικον.

ποιεῖ δὲ πρὸς τὰς ἐν μήτρᾳ ἀλγηδόνας καὶ πνίγας ὑστερι- 2

---

11 SIM. Pl. XXIII 83 D. eup. I 57 (120) II 67 (282) Ruf. (Orib. II 217).
16 SIM. Pl. XV 26; Pl. XXIII 85 (e S. N.) cf. Act. l. s. (= Nic. M. XVI 5) Paul. Aeg. VII 20 s. v. Afric. Cest. 299. D. eup. I 1 (94) I 57 (120) I 120 (153).
16 EXC. Zach. m. m. VI 10 (121) cf. Gal. XI 871.

---

1 *ἐκπέσοι* H *ἔμβαλλε* Q 2 *κασσιτηρωμένον* H: *κεκασσιτηρωμένον* F *βάλε* Di: *βάλλε* reliqui 3 *ἀνάβρασσον* F *ὅτε* HDaZach. 4 *ἀφέψει* H 5 *δαψιλῶς χρῄζειν αὐτοῦ* Di: *πλείονος χρῄζοντες* Zach. l. s. 6 *ἀποκαθᾶραι* Zach. 7 *ἀποθέντες* Da: *ἀποδιδόντες* Di *ἀλέθουσιν* F *εἶτα εἰς* Di *τὰς* om. Di 8 *σπυρίδα* Di: *σπυρίδας* H: *σφυρίδας* FDa *δὲ* om. Di *ἐμβάλλοντες* FDa *ἠλεσμένον* libri: *ἀληλεσμένον* Zach.: correxi cf. D. II 91 9 *εἰσιν*] *ὀφείλουσιν εἶναι* Da 11 *ψώρας καὶ ἀχῶρας* FZach.: *ἀχῶρας καὶ ψώρας* reliqui 14 *ἐργάζονσι* Da *τὰ κατὰ* Zach.
16 num. cap. *λγ̅* QDi: *λε'* Dl tit. *ἀμυγδάλινον* H: *περὶ ἀμυγδαλίνου* F: *περὶ ἐλαίου ἀμ.* Da: *περὶ ἀμ. ἐλαίου* Di *ἔλαιον* om. Q *neopum* Pl. XV 26 (corrige): *μέτωπον* Gal. XII 511 18 *μέχρι* QZach.: *μέχρις* reliqui 19 *κνάθους* Zach.: *κ* (⌅ superscr.) F *ἔασον*] *ἔα* HDiDa: *καὶ* F: *καὶ ἐάσας* Zach. *συμπιεῖν* om. Zach.

κὰς διαστροφάς τε καὶ φλεγμονὰς τῶν αὐτῶν τόπων, ἔτι δὲ κεφαλαλγίας καὶ ὤτων πόνους καὶ ἤχους καὶ συριγμούς· ὠφελεῖ δὲ καὶ νεφριτικοὺς καὶ δυσουριῶντας, λιθιῶντας, ἀσθματικοὺς καὶ σπληνικούς. αἴρει δὲ καὶ σπίλους ἐκ προσώπου καὶ ἐφήλεις καὶ ῥυτίδας μέλιτι μειγνύμενον καὶ κρίνου ῥίζῃ καὶ κυπρίνῃ ἢ ῥοδίνῃ κηρωτῇ, καὶ ἀμβλυωπίας δέ ἐστιν ἀνασκευαστικόν. σὺν οἴνῳ δὲ ἀχῶρας καὶ πίτυρα σμήχει.

34 ἐοικότως δὲ καὶ τὸ βαλάνινον ἐργάζεται. δύναμιν δὲ ἔχει καθαρτικὴν σπίλων, φακῶν, ἰόνθων, οὐλῶν μελανίας, κοιλίας ⟨τε⟩ μαλακτικήν. ἔστι δὲ κακοστόμαχον· ἁρμόζει δὲ καὶ ὠταλγίαις καὶ ἤχοις καὶ συριγμοῖς μετὰ χηνείου στέατος ἐγχεόμενον.

ὁμοίως δὲ σκευάζεται τοῖς προειρημένοις τό τε σησάμινον ἐκ τοῦ σησάμου καὶ τὸ καρύινον ἐκ τῶν βασιλικῶν καρύων συντιθέμενον. δύναμιν δὲ ἔχουσι τὴν αὐτὴν τῷ βαλανίνῳ.

35 καὶ τὸ ὑοσκυάμινον δὲ σκευάζεται οὕτως· λαβὼν τὸν λευκὸν καρπὸν ξηρόν, πρόσφατον καὶ κόψας ὕδατι θερμῷ φύρα, ὡς προείρηται ἐπὶ τοῦ ἀμυγδαλίνου, ἡλιάζων τε τὰ ὑπὸ χεῖρα ξηραινόμενα αὐτοῦ μέρη τῷ ὅλῳ ἀνάμισγε καὶ τὸ αὐτὸ ποίει,

---

8 SIM. Theophr. de od. 29; Pl. XIII 8. XXIII 89 (e S. N.); Paul. Aeg. VII 20 s. v. cf. Orib. II 898 D.

8 EXC. Aet. I s. v. ἔλαιον μυροβαλάνιον (= Nic. M. XVI 7); Zach. m. m. VI 10 (121) cf. Gal. XI 870.

13 SIM. Pl. XV 28. 30. XVIII 96. XXIII 95 (e S. N.); Aet. I s. v. ἔλαιον σησάμινον (= Nic. M. XVI 2); Paul. Aeg. VII 20 s. v.

13 EXC. Zach. m. m. VI 10 (122) cf. Gal. XI 870.

14 SIM. Pl. XV 28. XXIII 88 (e S. N.); Aet. I s. v. (= Nic. M. XVI 6); Paul. Aeg. VII 20 s. v.

14 EXC. Zach. m. m. VI 10 (122) cf. Gal. XI 870.

16 SIM. Pl. XV 30; XXIII 94 (e S. N.); D. eup. I 57 (120) cf. Gal. XI 871.

16 EXC. Zach. m. m. VI 10 (122).

---

2 post κεφαλ. add. ἐμβρεχομένης τῆς κεφαλῆς Zach. 3 καί (alt.) om. Zach. δυσουριῶντας καί HDi 4 καὶ σπληνικούς om. DaDl: καί om. Zach. σπληνικούς] φθισικούς Zach. 5 καὶ κρίνου] κρίνου τε Di

8 num. cap. λδ QDi: λϛ' Dl tit. βαλάνινον H: περὶ βαλανίνου FDav: περὶ βαλανίνου ἐλαίου p ἐργάζεται FDiZach.: σκευάζεται H: κατασκευάζεται Da 10 τε addidi καθαρτικὴ (-όν HDa) libri: corr. Krause 13 nov. cap. (λζ') inc. Dl: mg. add. περὶ σισαμίνου, περὶ καρυίνου Di σισάμινον F 14 σισάμου F καρύηνον F

16 num. cap. λε QDi: λη' Dl tit. ὑοσκυάμινον H: περὶ ὑοσκυαμίνου FDav: περὶ ὑοσκυαμίνου ἐλαίου p δὲ om. H 18 τε] δὲ Spr. 19 ἀνασμίγε DiH (mendo not.).

ἄχρις ὅτου ἂν μελανθῇ καὶ δυσῶδες γένηται, εἶτα διὰ φορμοῦ ἐκθλίψας ἀποτίθεσο. ποιεῖ δὲ καὶ πρὸς ὠταλγίας καὶ πεσσοῖς μείγνυται μαλακτικὸν ὄν.

36 *ὁμοίως δὲ καὶ τὸ διὰ τοῦ Κνιδίου κόκκου σκευάζεται λεπτισθέντος καὶ κοπέντος. καθαρτικὴν δὲ ἔχει δύναμιν κοιλίας πινόμενον.*

ὡσαύτως δὲ καὶ κνήκινον σκευάζεται. δύναμις δὲ ἡ αὐτὴ τῷ διὰ τοῦ Κνιδίου κόκκου, ἀνειμένη δὲ μᾶλλον.

37 *τὸ δὲ ῥαφάνινον σκευάζεται ἐκ τοῦ αὐτῆς σπέρματος ὁμοίως ὥσπερ καὶ τὰ λοιπά. ἁρμόζει δὲ τοῖς ἐκ νόσου φθειριῶσι καὶ τὰς περὶ τὸ πρόσωπον σμήχει τραχύτητας. χρῶνται δὲ αὐτῷ οἱ ἐν Αἰγύπτῳ τοῖς προσοψήμασι συνέψοντες αὐτό.*

καὶ τὸ μελάνθινον δὲ τὴν αὐτὴν ἔχει δύναμιν καὶ σκευασίαν τῷ ῥαφανίνῳ.

38 *τὸ δὲ σινάπινον σκευάζεται λεαινομένου τοῦ σινήπεως καὶ βρεχομένου ὕδατι θερμῷ, ἔπειτα μειγνυμένου ἐλαίου καὶ συνεκθλιβομένου. ποιεῖ δὲ πρὸς τὰ χρόνια ἀλγήματα μετασυγκριτικὸν ⟨ὄν⟩.*

---

4 SIM. Pl. XV 28. XXIII 89 (c S. N.).
4 EXC. Gal. XI 871. Zach. m. m. VI 10 (122).
7 SIM. Pl. XXI 90.
9 SIM. Pl. XV 30; XIX 79; XXIII 94 (c S. N.) Act. I s. v. *ἔλαιον*.
9 EXC. Zach. m. m. VI 10; Gal. XI 870.
13 EXC. Zach. m. m. VI 10 (123); Gal. XI 870.
15 EXC. Zach. m. m. VI 10 (123); Gal. XI 870.

---

1 *ἄχρις ὅτου ἂν* F: *ἄχρις ἂν* reliqui *φορμοῦ* F: *ἠθμοῦ* DiDa: *διηθήσας καὶ* H: *per colum exprimes* Dl

4 num. cap. λϛ QDi: *λθ'* Dl tit. *κνίδειον* H: *περὶ κνιδίου ἐλαίου* Da: *περὶ κνιδείου κόκκου* F: *περὶ κνιδελαίου* Di *τὸ* vulgo: om. libri *κνιδίου σκευάζεται κόκκου* HDiDa 5 *λεπτισθέντος* Spr. *δὲ* om. Da *δύναμιν* post *πινόμενον* colloc. HDa 7 mg. add. *λϛ' περὶ κνικελαίου* Di *ὡσαύτως*] *ὁμοίως* H *τὸ κνήκινον* vulgo: *τὸ* om. libri *κνίκινον* libri: correxi coll. D. IV 188 8 *τῷ*] *τῇ* H *ἀνειμένη δὲ μᾶλλον*] *sed paulo fortior* Dl

9 num. cap. λζ QDi: *μ'* Dl tit. *ῥαφάνινον* H: *περὶ ῥαφανίνου* FDa: *περὶ ῥαφανελαίου* Di 10 *τοῖς ἐκ νόσου δὲ φθειριῶσιν ἁρμόζει* Di 13 nov. cap. (*μα'*) inc. Dl: mg. add. *λζ' περὶ μελανθελαίου* Di *μελάνθιον* F (*μελάνθινον* (ind.) pDa *καὶ σκευασίαν* om. Di

15 num. cap. λη QDi: *μβ'* Dl tit. *σινάπινον* H: *περὶ σινηπίνου* Da: *περὶ σιναπίνου* F: *περὶ σιναπελαίου* Di 16 *θερμῷ*] *ψυχρῷ* HDa, at cf. Dl *infundes in aqua calida* 17 *μετασυγκριτικὸν* (comp. scr.) FZach.: *μετὰ σύγκρισιν* H: *μετὰ σύγκρινον* DiDa: correxi cf. Sor. ed. Rose 395.

39 *μυρσίνινον* δὲ σκευάζεται οὕτως· λαβὼν τὰ ἁπαλὰ φύλλα τῆς μελαίνης μυρσίνης ἀγρίας ἢ ἡμέρου κόπτε πιέζων· ἴσον δὲ τῷ χυλῷ ἐλαίου ὀμφακίνου μίσγων χλίαινε ἐπ᾽ ἀνθράκων, ἕως ἂν συνεψηθῇ, αἴρων τὸ ἐφιστάμενον. εὐκοπωτέρα δὲ σκευασία· τὰ ἁπαλὰ τῶν φύλλων κόψαντα ἕψειν μετὰ ὕδατος καὶ ἐλαίου καὶ τὸ ἐφιστάμενον ἀποψᾶν. ἰδιωτικὸν δὲ τὰ φύλλα καθέντα εἰς ἔλαιον ἐν ἡλίῳ ἀποβρέχειν· ἔνιοι δὲ προστύφουσι
2 τὸ ἔλαιον σιδίοις, κυπαρίσσῳ, κυπέρῳ, σχοίνῳ. ἔστι δὲ ἐμπρακτότερον τὸ τῇ γεύσει πικρίζον καὶ ἐλαιῶδες, χλωρόν, διαφανές, ὄζον μυρσίνης.

δύναμις δὲ αὐτοῦ στυπτική, σκληρυντική· διὸ καὶ ποιεῖ μειγνύμενον ἀπουλωτικαῖς καὶ πρὸς πυρίκαυτα, ἀχῶρας, πίτυρα, ἐξανθήματα, παρατρίμματα, ῥαγάδας, κονδυλώματα, ἄρθρα κεχαλασμένα, ἱδρῶτας καὶ ὅσα στύψεως ἢ πυκνώσεως ἔχει χρείαν.

40 τὸ δὲ *δάφνινον* σκευάζεται διὰ τῶν δαφνίδων, ὅταν ὦσι δρυπεπεῖς, ἑψομένων μεθ᾽ ὕδατος· ἐκ γὰρ τοῦ περικειμένου λέπους ἀνίησι λιπαρίαν τινά, ἣν διακόψαντες χερσὶν εἰς μύακα ἀναλαμβάνουσιν. ἔνιοι δὲ ὀμφάκινον ἔλαιον προστύψαντες κυπέρῳ καὶ σχοίνῳ καὶ καλάμῳ καὶ μετὰ ταῦτα δάφνης φύλλα περιβαλόντες συνέψουσιν, οἱ δὲ καὶ δαφνίδας, ἕως ἂν ἱκανὸν γένηται τῇ ὀσμῇ· ἔνιοι δὲ καὶ στύρακα μίσγουσι καὶ μυρσίνην.

---

1 SIM. Theophr. de od. 27. 28; Pl. XV 27. 118. 124; XXIII 87 (e S. N.); Pallad. de agr. II 17. Aet. I s. v. *ἔλαιον* (unde Nic. M. XVI 21).

1 EXC. Gal. XI 870.

11 SIM. Pl. XXIII 87; D. eup. I 178 (188) I 106 (147) I 217 (207) I 227 (211) II 27 (237).

15 SIM. Pl. XV 26; Aet. I s. v. *ἔλαιον* (unde Nicol. M. XVI 8); Paul. Aeg. VII 20 (f. 298); Pl. XXIII 86 (e S. N.).

15 EXC. cf. Gal. XI 871. 520. Pallad. de agr. II 19.

---

1 num. cap. $\overline{\lambda\vartheta}$ QDi: *μγ´* Dl tit. *περὶ μυρσίνου* F (*ἔλαιον μυρσίνινον* ind.): *περὶ μυρσινίνου* Da: *μυρσίνινον* H: *περὶ μυρσινελαίου* Di *οὕτως* F: *οὕτω* reliqui 2 *μυρσίνης* om. Da, cf D. I 112 3 *σμίγων* HDa fort. *κόψαντας* 6 *ἰδιωτ̃* F: *ἰδίως* reliqui 7 *ἥλιον ἐν ἐλαίῳ* QDa, *ἐν ἐλαίῳ* om. Di: correxi Sar. duce coll. Pl. XV 27 et Dl 8 *κυπέρῳ* F: *κυπείρῳ* reliqui *σχίνῳ* Di *ἐμπρακτικώτερον* HDi 9 *τὸ* om. HDa 14 *ἱδρῶτας* om. Da post *ἱδρῶτας* add. *στέλλει* H

15 num. cap. $\overline{\mu}$ QDi: *μδ´* Dl tit. *περὶ δαφνίνου ἐλαίου* FDa: *δάφνινον* H: *περὶ δαφνελαίου* Di *διὰ τῶν δαφνίδων* om. QDa: superscr. F (pr. m.) 16 *δρυοπεττεῖς* F: *δρυοπετεῖς* Di: *δρυοπατεῖς* Da: correxi *ἑψομένων* F: *ἑψωμένων* Da 17 *χερσὶν* corruptum, *pinna* Dl Pallad. l. s.: *κερκίσιν* coni. Krause *μύακας* H 18 *ἀναλαμβάνοντες* FDa 19 *σχίνῳ* Di *καὶ* (tert.) om. QDa post *φύλλα* add. *ἁπαλὰ* HDiDa 20 *περιβαλλόντες* (sic) F: *βαλλόντες* Di: *βαλόντες* H: *λαβόντες* Da 21 *καὶ* (pr.) om. Da *καὶ μυρσίνην σμίγουσι* Da

ἀρίστη δὲ πρὸς σκευασίαν ἡ ὀρεινὴ καὶ πλατύφυλλος δάφνη· 2
διαφέρει δὲ τοῦ δαφνίνου τὸ πρόσφατον, χλωρὸν τῇ χρόᾳ, πικρότατον, δριμύ.

δύναμιν δὲ ἔχει θερμαντικήν, μαλακτικήν, ἀναστομωτικήν, κόπων λυτικήν· ἁρμόζει καὶ τοῖς περὶ τὰ νεῦρα πάθεσι πᾶσι καὶ φρίκαις καὶ ὠταλγίαις καὶ κατάρροις καὶ κεφαλαλγίαις. ἔστι δὲ καὶ ναυτιῶδες ποθέν.

41 τὸ δὲ *σχίνινον* ὁμοίως ἐκ τοῦ καρποῦ ⟨τῆς σχίνου⟩ πεπείρου σκευασθὲν ⟨ἢ⟩ ὡς τὸ δάφνινον προστυφθὲν ὑγιάζει ψώρας κτηνῶν καὶ κυνῶν, καὶ εἰς πεσσοὺς καὶ εἰς ἄκοπα καὶ λεπρικὰ ἐπιτηδείως μείγνυται· στέλλει δὲ καὶ ἱδρῶτας. καὶ τὸ *τερεβίνθινον* δὲ ὁμοίως σκευάζεται· ψύχει δὲ καὶ στύφει.

42 τὸ δὲ *μαστίχινον* ἐκ τῆς μαστίχης λείας σκευαζέσθω. ποιεῖ δὲ πρὸς τὰ ἐν ὑστέρᾳ πάντα, ἠπίως θερμαῖνον, στῦφον, μαλάσσον, καὶ πρὸς τὰ ἐπὶ τὸν στόμαχον ἐπιρριπτόμενα σκιρρώματα καὶ κοιλιακὰ καὶ δυσεντερικὰ καὶ τὰ ἐπὶ τοῦ προσώπου, καθαῖρον καὶ εὔχροιαν περιποιοῦν. συντίθεται δὲ ἐν Χίῳ τῇ νήσῳ κάλλιστον.

ἐπεὶ δὲ καὶ τὰ μύρα εὐθετεῖ ἐπ' ἐνίων παθῶν καὶ μει- 2
γνύμενα φαρμάκοις καὶ ἐμβρεχόμενα καὶ ὀσφραινόμενα, ἀκόλουθον ἡγούμεθα καὶ τὴν τούτων παράδοσιν ποιήσασθαι· ἃ δεῖ

---

4 SIM. Pl. XXIII 86. D. eup. I 229 (212) I 57 (120).
8 SIM. Pl. XV 28. XXIII 89 (c S. N.). D. eup. II 27 (237) Pallad. II 20. Afric. Cest. 299; Act. I s. v. *ἔλαιον σχίνινον* (= Nic. M. XVI 10).
8 EXC. cf. Gal. XI 871; Paul. Aeg. VII 20 (p. 296. 298).
13 SIM. Pl. XII 72. XXIV 43; Aet. I s. v. *ἔλαιον μαστίχινον* (= Nic. M. XVI 22) Paul. Aeg. VII 20 (298).
13 EXC. Gal. XII 69. XI 871. Zach. m. m. VI 10 (118).

---

1 ad rem cf. D I 78   4 *μαλακτικήν* om. Da   6 *καὶ φρίκαις* om. HDa *φρίκαις τε* (om. *καὶ* pr.) Di: *φρίκαις* (comp. scr.) F   *καταρροιζομένοις* HDaDi *καὶ κεφαλαλγίαις* om. HDiDa: *dolorem capitis tollit* Dl   ante *ἔστι* add. *νεφριτικοῖς δὲ τοῖς ἀπὸ ψύξεως ἄλειμμά ἐστιν ἄριστον ὡς οὐδὲν ἕτερον ὠφελοῦν* Di
8 num. cap. *μα* QDi: *με'* Dl   tit. *σχοίνινον* H: *περὶ σχοινίνου* FDa: *περὶ σχινελαίου* Di   *σχοίνινον* Q   *τῆς σχίνου* addidi c Dl   9 *ἢ* addidi *προστυφὲν* QDa   11 *δὲ* om. HDa   *καὶ τὸ*] nov. cap. (*μϛ'*) inc. Dl   12 *ψύχει — στύφει* om. H: *est enim frigidus et stipticus* Dl   *ψύχει* i. e. siccat
13 num. cap. *μβ* QDi: *μζ* Dl   tit. *μαστίχινον* H: *περὶ μαστιχίνου* F: *περὶ μαστιχίνου ἐλαίου* Da: *περὶ μαστιχελαίου* Di   *σκευάζεται* HDa   14 *δὲ καὶ* Da   15 *ἐπὶ*] *περὶ* Di   *σκιρρώματα* Di (*κη* superscr. v): *κηρώματα* Q: *ἐπικηρώματα ῥιπτόμενα* Da: *stomachi duritias solvet, ceratis miscetur* Dl 17 *ποιοῦν* HDa   ad rem cf. D I 70   19 nov. *περὶ μύρων* cap. (num. omisso) incip. Di   *καὶ* (pr.) om. Da   21 *τῆς τούτων παραδόσεως μεμνῆσθαι* Spr. *ἃ*] *ταῦτα* vulgo

δοκιμάζοντας ἐπιβλέπειν, εἰ ἀφ᾽ οὗ ἡ κλῆσίς ἐστι τοῦ μύρου, ἐκεῖνο ποιεῖ κατὰ τὴν ὄσφρησιν. ἀρίστη δέ ἐστιν ἡ τοιαύτη κρίσις· ἐπ᾽ ἐνίων μέντοι οὐ φυλάττεται τὸ τοιοῦτον δι᾽ ἐπικράτειαν μειγμάτων σφοδροτέρων, ὡς ἐπὶ ἀμαρακίνου καὶ κροκίνου καὶ τηλίνου καὶ ἄλλων τινῶν, ἅπερ ἐκ τῆς περὶ αὐτὰ συγγυμνασίας δοκιμαστέον.

43 ῥ ο δ ί ν ο υ σκευασία· σχοίνου λίτρας πέντε οὐγγίας ὀκτώ, ἐλαίου λίτρας εἴκοσι οὐγγίας πέντε κόψας καὶ φυράσας ἐν ὕδατι ἕψε ἀνακινῶν, εἶτα ἀπηθήσας εἰς τὰς εἴκοσι λίτρας καὶ οὐγγίας πέντε τοῦ ἐλαίου βάλε ῥόδων ἀβρόχων ἀριθμῷ χιλίων τὰ πέταλα, καὶ τὰς χεῖρας μέλιτι χρίσας εὐώδει ἀνακίνει πλεονάκις ὑποθλίβων ἠρέμα, ἔπειτα ἐάσας τὴν νύκτα ἔκθλιβε. ὅταν δὲ τὸ τρυγῶδες ὑποστῇ, ἄλλαξον τὸ ὑποδεχόμενον ἀγγεῖον, ἀποτίθεσο δὲ εἰς κρατῆρα μέλιτι κατακεχρισμένον. βαλὼν δὲ εἰς λουτηρίδιον τὰ ἐξιπωθέντα ῥόδα ἐπίχει λίτρας ὀκτὼ οὐγγίας τρεῖς
2 τοῦ ἐστυμμένου ἐλαίου καὶ πάλιν ἔξιπου. ἔσται δέ σοι τοῦτο δεύτερον, κἂν βουληθῇς, ἄχρι τρίτης καὶ τετάρτης βροχῆς ἐπιχέων ἔξιπου· γίνεται γὰρ τὸ μὲν πρῶτον, τὸ δὲ δεύτερον, τὸ δὲ τρίτον, τὸ δὲ τέταρτον τὸ μύρον. ὁσάκις δ᾽ ἂν ποιῇς, τοὺς κρατῆρας προκατάχριε μέλιτι. εἰ δὲ θέλεις δευτέραν ἐμβολὴν ποιήσασθαι, εἰς τὸ πρῶτον ἐξιπωθὲν ἔλαιον τὸν ἴσον ἀριθμὸν προσφάτων ῥόδων ἀβρόχων ἔμβαλε, καὶ ἀνακινήσας ταῖς χερσὶ προδεδευμέναις μέλιτι ἔκπιεζε καὶ ποίει τὸ δεύτερον καὶ τρίτον καὶ τέταρτον ὁμοίως ἐκθλίβων. καὶ ὁσάκις δ᾽ ἂν ποιῇς

---

7 SIM. Theophr. de od. 25. 33. 35. 42. 45. 48. 51. 55; Pl. XIII 9. XV 30. XXIII 80. cf. Act. I s. v. *ἔλαιον ῥόδινον* (= Nic. M. XVI 13) Gal. XI 537 sq.
7 EXC. Zach. m. m. VI 10 (109).

---

1 *κλῆσις* F: *κρᾶσις* reliqui *ἐστι* om. H 5 *γυμνασίας* HDa
7 tit. cap. *μγ̄* QDi: *μη′* Dl tit. *ῥόδινον* H: *περὶ ῥοδίνου σκευασίας* Di: *περὶ τῆς τοῦ ῥοδίνου σκευασίας* F: *περὶ μύρων σκευασίας· κεφάλαιον πρῶτον περὶ ῥοδίνου* Da *ῥοδίνου σκευασία* F: om. HDa: *ῥόδινον ἔλαιον γίνεται οὕτω* Di *σχίνου* Di 8 *εἴκοσι*] *β̄* F: *β′* (in *κ′* corr.) v: *libras iij. ζ. Uiij* Dl *ἐν* om. Di 9 *ἀπειθήσας* F: *ἐπιθεὶς* Da 10 *τοῦ* om. Da *βάλλε* Q post *ἀβρόχων* add. *ἐρυθρῶν* Da, cf. Act. I s. v. *χίλια* HDiDa *τὰ* om. H: *τὰ πέταλα* om. Di 11 post *πέταλα* add. *ἢ κυπείρου λίτραν α′, ἐλαίου λίτραν α′, καλάμου λίτραν α′, ἐλαίου ξέστας ϛ′, ῥόδων ξέστην αϛ′* HDa *εὐώδει* om. Di *πολλάκις* Di 12 *ἠρέμα*] *ἡμέραν* Spr. 14 *κρατηρίαν* F (comp. scr.): *κρατῆρα* reliqui: fort. *κεραμέαν γάστραν* 15 *ἐξιπωμένα* Di *ἐπίχεε* HDa *ὀκτὼ*] *η̄* Q 17 *καὶ βουληθεὶς* HDi *καὶ*] *ἢ* Di *ἀποβροχῆς* Di 19 *τὸ* (alt.) om. HDiDa *τὰς κρατηρίας* QDa: *τοὺς κρατῆρας* Di 20 *ἐπιβολὴν* Di 22 *ἀβρόχων ῥόδων* H *ἔμβαλλε* Q *ἀνακινῶν* Di *ταῖς*] *ἐν* Da 23 *ἐκπίεζε μέλιτι* F 24 *δ᾽* om. H

τοῦτο, νεαρὰ πρόσβαλε ῥόδα· δυναμικώτερον γὰρ γίνεται. ἄχρι 3
δὲ ἑβδόμης ἐμβροχῆς ἐπιδέχεται τὸ ἔλαιον τὴν ἐμβολὴν τῶν ῥόδων, ἔπειτα δὲ οὐκέτι· κεχρίσθω δὲ καὶ ἡ ληνὸς μέλιτι. δεῖ δὲ ἐπιμελῶς τὸ ἔλαιον τοῦ χυλοῦ χωρίζειν. συναπολειφθὲν γὰρ κἂν τοὐλάχιστον φθείρει τὸ μύρον. ἔνιοι δὲ αὐτὰ μόνα τὰ ῥόδα θλάσαντες ἐναποβρέχουσι τῷ ἐλαίῳ καὶ ἀλλάσσοντες παρ' ἡμέρας ἑπτὰ ἄχρι τρίτης βροχῆς οὕτως ἀποτίθενται. ἔνιοι δὲ προστύφουσι τὸ ἔλαιον, κάλαμον καὶ ἀσπάλαθον παρεμβάλλοντες, οἱ δὲ καὶ ἄγχουσαν ἕνεκα εὐχροίας καὶ ἅλας πρὸς τὸ μὴ φθείρεσθαι.

δύναμιν δὲ ἔχει στυπτικήν, ψύχουσαν, εὔθετον εἰς ἐμβρέγ- 4
ματα καὶ καταπλασμάτων μείξεις. λύει δὲ καὶ κοιλίαν ποτιζόμενον καὶ καῦσον σβέννυσι στομάχου· ἔστι δὲ καὶ ἑλκῶν θρεπτικὸν κοίλων καὶ τῶν κακοήθων πραυντικόν, ἀχώρων καὶ ἐκζεμάτων ἐπάλειμμα, κεφαλαλγίας ἔμβρεγμα ἐν ἀρχῇ, ὀδονταλγίας τε διάκλυσμα. ποιεῖ δὲ καὶ πρὸς βλέφαρα ἐσκληρυμμένα ἐγχριόμενον, πρός τε ἐντέρων ἐρεθισμοὺς καὶ ὑστέρας ⟨φλεγμονὰς⟩ ἐγκλυζόμενον χρήσιμον.

44 ἐλατίνου σκευασία· ἐλάτην θλάσας καὶ διακνίσας ἐμβαλών τε εἰς λουτῆρα ἐπίχει ὀμφάκινον ἔλαιον ἐπὶ ἡμέρας τρεῖς ἀνελόμενός τε εἰς σφυρίδα ἔξιπου· ἔστω δὲ ἑκάτερα ἰσόσταθμα· εἶτα ἀποθέμενος καθαρίως ἐν ἀγγείῳ χρῶ.

---

11 SIM. D. eup. II 2 (227) I 106 (147) I 1 (94).
19 SIM. Pl. XII 134.

---

1 *νεαρὰ ὀνυχίζον πρόσβαλε* Di: *νεαρὰ πρόσβαλε ὀνυχίζων* HDa, cf. Aet. I s. v. *γὰρ*] *δὲ* Da 2 *ἐμβολὴν*] *ἐμβροχὴν* Di 4 *χυλοῦ*] *ξύλου* F *συναλειφθὲν* F: *ἀπολειφθὲν* reliqui: correxi 5 *κἂν* F: om. reliqui *τὸ μύρον φθείρει* HDiDa 6 *θλάσαντες*] *ὀνυχίσαντες καὶ ἡλιάσαντες* Di: *καὶ ἡλιάσαντες* add. HDa: om. F post *ἐλαίῳ* add. *ἔχοντες* (*ἔχοντα* H) *σταθμὸν οὐγγίων* ϛ *εἰς ἕνα* (om. H) *ξέστην* (*ξε̅* ϛ' Da) *ἐλαίου* HDaDi *μαλάσσοντες* Di: *θλάσαντες* Da: *ἀλλάσσοντες* reliqui (*ἀγγεῖον* supple) *παρ'* om. Di 7 post *ἑπτὰ* add. *καὶ* (om. HDa) *ἡλιάζοντες* (*ἡλιάζουσι* H) *ἐπὶ* (*παρ'* H) *ἡμέρας* μ̅ HDaDi *ἄχρι τρίτης* om. Da *τρίτης*] *τῆς* F *βροχῆς* F: *ἐμβροχῆς* reliqui *καὶ οὕτως* H *ἀποστίφουσι* Da 8 *ἐμβαλόντες* Da: *ἐμβάλλοντες* HDi 9 *ἕνεκεν* Di *καὶ* (alt.)] *ἢ* Pl. l. s. 10 *φθείρεσθαι*] *ὄζειν* Di 11 *ψυκτικήν* Di 13 *καύσωνα* H: *καύσονα* Da: *καυσούμενον* Zach. 14 *θρεπτικὸν κοίλων ἑλκῶν* Di *καὶ* (pr.) om. QDa 15 *ἀπάλειμμα* QDa 16 *τε* om. HDi *ἐσκληρυμμένα* F: *ἐσκληρυμένα* HDa: *ἐσκληρυσμένα* Di 17 *φλεγμονὰς* addidi e Zach. l. s.

19 num. cap. μ̅δ̅ QDi: μθ' Di tit. *ἐλάτινον* H: *περὶ σκευασίας ἐλατίνου* reliqui *ἐλατίνου σκευασία* om. HDiDa *ἐλάτην* i. e. palmae fructum cf. D. I 109 *διακνήσας* HDa *ἔμβαλε εἰς λ. καὶ* Di 21 *σφυρίδα* F: *σφυρία* Da: *σπυρίδα* reliqui 22 *καθαρίως* (comp. scr.) F: *καθαρὰ* H: *καθαρῷ* DiDa: *reponis diligenter et uteris* Dl, cf. D. I 54 *ἀγγείοις* F: *ἀγγείῳ* reliqui

δύναμιν δὲ ἔχει ἀναλογοῦσαν τῷ ῥοδίνῳ, κοιλίαν δὲ οὐ μαλάσσει.

45 μηλίνου σκευασία· ἐλαίου ξέστας ἕξ, ὕδατος ξέστας δέκα μείξας προσέμβαλε σπάθης τεθλασμένης οὐγγίας τρεῖς, σχοίνου οὐγγίαν μίαν καὶ ἐάσας ἡμέραν μίαν ἕψησον, εἶτα ἀπηθήσας τὸ ἔλαιον βάλε εἰς ἀγγεῖον πλατύστομον, ἐπιθείς τε ῥῖπον ἐκ καλάμου ἢ ψίαθον ἀραιὰν ἄνωθέν τε ἐπιθεὶς κυδώνια μῆλα καὶ περικαλύψας ἱματίοις ἔασον ἡμέρας ἱκανάς, ἕως ἂν ἐπισπάσηται τὴν ἀπὸ τῶν μήλων δύναμιν τὸ ἔλαιον.
2 ἔνιοι δὲ τὰ μῆλα περιβαλόντες ἱματίοις ἐπὶ ἡμέρας δέκα, ἵνα συνέχηται καὶ μὴ διαπνέηται ἡ εὐωδία, μετὰ ταῦτα ἀποβρέχουσι τῷ ἐλαίῳ ἡμέρας δύο καὶ νύκτας, εἶτα ἐξιπώσαντες ἀποτίθενται.

δύναμιν δὲ ἔχει στυπτικήν, ψυκτικήν, ποιοῦν πρὸς τὰ ψωρώδη ἕλκη, πίτυρα, χίμετλα, ἕρπητας καὶ πρὸς τὰς ἐν ὑστέρᾳ ἑλκώσεις ἐγχυματιζόμενον, οὖρά τε ἠρεθισμένα στέλλει ἐγκλυζόμενον καὶ ἱδρῶτας ἐφίστησι· πίνεται δὲ καὶ πρὸς κανθαρίδας, βουπρήστεις, πιτυοκάμπην. ἔστι δὲ αὐτοῦ δόκιμον τὸ κυδωνίων ὄζον μήλων.

46 οἰνανθίνου σκευασία· οἰνάνθην τὴν ἐκ σταφυλῆς εὐώδη μαράνας βάλε εἰς ὀμφάκινον ἔλαιον καὶ κίνει μεταστρέφων. ἐάσας δὲ ἡμέρας δύο ἐξίπου καὶ ἀποτίθεσο.

δύναμιν δὲ ἔχει στυπτικήν, ἀναλογοῦσαν τῇ τοῦ ῥοδίνου

---

3 SIM. Theophr. de od. 26. 31; Pl. XIII 11. XXIII 103; Hices. (Ath. XV 689 c); Aet. I s. v. *ἔλαιον μήλινον* (e Posidonio?), unde Nic. M. XVI 12 cf. Paul. Aeg. VII 20 s. v. Zach. m. m. VI 117. Garg. M. 43, 187 R.

17 SIM. D. eup. II 27 (237) II 152 (332) II 154 (333).

20 SIM. Pl. XII 133; XIII 5 (∼ Ath. XV 688 e, cf. Theophr. de od. 27); XV 29. XXIII 80. 91; Hices. (Ath. XV 699 c).

20 EXC. Aet. I s. v. *ἔλαιον οἰνάνθινον* (aliis additis), unde Nic. M. XVI 11.

---

3 num. cap. *με̅* QDi: *ν'* Dl tit. *λαπάθινον* (sic) H: *περὶ σκευασίας μηλίνου* FDiDa *ἔλαιον μήλινον σκευάζεται τὸν τρόπον τοῦτον* Di *μηλίνου σκευασία* om. HDaDi *ἐλαίου ὀμφακίνου* Dl 4 *προσέμβαλλε* Q *σπάθης* FDl: *λαπάθης* reliqui 6 *διηθήσας* H (mendo notato): *ἀπειθήσας* F: *ἀπωθήσας* Da *βάλλε* Q 7 *τε* (pr.)] *δὲ* Spr. *ῥύπον* FDiDa: corr. Sar. cf. D. V 103 *ἢ ψίαθον* fort. delendum *ἀραιὰν*] *παλαιὰν* Di *τε* (alt.) om. QDa 10 *ἐπὶ* om. H 14 *ψυκτικήν* om. F, at cf. Dl *cui virtus est frigida et stiptica* 15 *καὶ πίτυρα* Di (dittogr.) 18 *πιτυόκαμπον* Di: *πιτυοκάμπας* Spr.

20 num. cap. *μϛ̅* QDi: *να'* Dl tit. *οἰνάνθινον* Ha: *περὶ οἰνανθίνου* DiDa: *οἰνανθίνου σκευασία* F *οἰνανθίνου σκευασία* om. HDiDa 21 *βάλλε* Q

ἐκτὸς τοῦ τὴν κοιλίαν λύειν καὶ μαλάσσειν. καὶ τούτου δέ ἐστι δοκιμώτατον τὸ ἐμφαῖνον ἐν τῇ ὀσμῇ τὴν οἰνάνθην.

47 τηλίνου σκευασία· τήλεως λίτρας ἐννέα, ἐλαίου λίτρας πέντε, καλάμου λίτραν μίαν, κυπέρου λίτρας δύο ἀπόβρεχε τῷ ἐλαίῳ ἐπὶ ἡμέρας ἑπτά, κινῶν ἑκάστης ἡμέρας τρίς, εἶτα ἔξιπου καὶ ἀποτίθεσο. οἱ δὲ ἀντὶ μὲν ⟨τοῦ⟩ καλάμου καρδάμωμον, ἀντὶ δὲ τῆς κυπέρου ξυλοβάλσαμον συναποβρέχουσιν. οἱ δὲ προστύφουσι τὸ ἔλαιον τούτοις καὶ μετὰ ταῦτα τὴν τῆλιν ἀποβρέχοντες ἐξιποῦσιν.

δύναμιν δὲ ἔχει μαλακτικὴν ἀποστημάτων, πεπτικήν. μά- 2
λιστα δὲ ἁρμόζει τοῖς περὶ μήτραν πᾶσι σκιρρώμασι, δυστοκούσαις τε ἔγχυμα, ἐπειδὰν κατάξηρα τὰ περὶ τοὺς τόπους γένηται, προεκκριθέντων τῶν ὑγρῶν, πρός τε τὰς ἐν δακτυλίῳ φλεγμονάς, καὶ ἐγκλύζεται ἐπὶ τῶν τεινεσμῶν ὠφελίμως, πίτυρά τε καὶ ἀχῶρας σμήχει καὶ κατακαύματα καὶ χίμετλα ⟨ὠφελεῖ⟩ μετὰ κηροῦ, σμήχει τε ἐφηλίδας καὶ εἰς στιλβώματα μείγνυται.

ἐκλέγου δὲ τὸ πρόσφατον καὶ μὴ λίαν παρεμφαῖνον τὴν τῆς τήλεως ὀσμήν, σμῆχον τὰς χεῖρας, γλυκύπικρον ἐν τῇ γεύσει· τὸ γὰρ τοιοῦτον κάλλιστον.

48 σαμψουχίνου σκευασία· ἑρπύλλου, κασσίας, ἀβροτόνου, σισυμβρίου ἄνθους, μυρσίνης πετάλων, σαμψούχου, ἑκάστου αὐτῶν λαμβάνων στοχασμῷ πρὸς τὴν ἑκάστου αὐτῶν δύ-

---

3 SIM. Pl. XIII 13. Hices. (Ath. XV 689 d).
3 EXC. Aet. I s. v. ἔλαιον τήλινον (= Nic. M. XVI 17). Zach. m. m. VI 10 (123).
10 SIM. D. I 110 (149) 106 (147).
20 SIM. Pl. XIII 10. XXIII 163; Hices. (Ath. XV 689 c).
20 EXC. Zach. m. m. VI 10 (123).

---

3 num. cap. $\overline{\mu\zeta}$ QDi: νβ′ Dl tit. τήλινον H: περὶ τηλίνου Da: τηλίνου σκευασία FDi τηλίνου σκευασία om. HDiDa τήλεος F ἐννέα ($\overline{\vartheta}$) QDaDl Zach: $\overline{\varepsilon}$ DiAet. 4 πέντε ($\overline{\varepsilon}$) QDaDlZach: $\overline{\vartheta}$ Di: ξέστας $\overline{\eta}$ Aet. 5 κινῶν τρίτον (om. ἑκ. ἡμ.) H: κινῶν τρίτον τῆς ἡμέρας Aet. 6 τοῦ addidi 7 τῆς om. DaZach. κυπείρου Di 10 δὲ om. Zach. 11 σκληρώμασι Di: πρὸς τὰς ἐν μήτρᾳ σκληρίας Aet. 12 ἐγχυματίζεται H 13 δακτύλῳ DiDaZach. 14 καὶ om. H 15 ἀποσμήχει Zach. πρὸς κατακ. καὶ χ. ποιεῖ Di ὠφελεῖ addidi 17 μὴ post λίαν add. H τὴν — ὀσμήν om. Da (spatio relicto) 18 ὀδμὴν H σμῖχ F

20 num. cap. $\overline{\mu\eta}$ QDi: $\overline{\nu\gamma}$ Dl tit. σαμψύχινον H: περὶ σαμψυχίνου Da: σαμψυχίνου σκευασία Di: περὶ σκευασίας σαμψυχίνου F σαμψυχίνου σκευασία om. HDiDa σαμψουχίνου scripsi coll. D. III 39, Hices. l. s. ἀβροτόνου om. Da 21 ἄνθους om. H σαμψύχου libri: correxi 22 αὐτῶν (pr.) om. Di λαμβάνων — αὐτῶν om. HDa στοχασμὸν Zach. αὐτῶν (alt.) om. Zach.

ναμιν ἀποβλέπων, κόπτε ἐν τῷ αὐτῷ πάντα καὶ ἐπίχεε ἐλαίου ὀμφακίνου τοσοῦτον, ὥστε μὴ κατακρατεῖσθαι τὴν δύναμιν τῶν ἐν αὐτῷ βρεχομένων, καὶ ἔασον ἡμέρας τέσσαρας καὶ ἔκθλιβε, καὶ πάλιν τὸ αὐτὸ πλῆθος τῶν αὐτῶν προσφάτων ἀπόβρεχε τὸν ἴσον χρόνον καὶ ἐξίπου· ἔστι γὰρ εὐτονώτερον. ἐκλέγου δὲ τὸ μελάγχλωρον τῇ χρόᾳ, σαμψούχου πολλῆς ὄζον, μετρίως δριμύ.

2 δύναμιν δὲ ἔχει θερμαντικήν, λεπτυντικήν, δριμεῖαν. ποιεῖ δὲ πρὸς μύσιν καὶ διαστροφὴν ὑστέρας καὶ ἔμμηνα καὶ δεύτερα ἐπισπᾶται καὶ πνίγας ὑστερικὰς ἀνακτᾶται ὀσφύων τε καὶ βουβώνων ἀλγήματα πραύνει. σὺν μέλιτι δὲ αὐτῷ χρῆσθαι βέλτιον, ἐπειδὴ τῇ σφοδρᾷ στύψει σκληρύνει τοὺς τόπους· λύει καὶ κόπους συγχριόμενον, εἴς τε τὰ ἐπὶ τῶν ὀπισθοτονικῶν καταπλάσματα ἐπιτηδείως μείγνυται καὶ τῶν ἄλλως σπωμένων.

49 ὠκιμίνου σκευασία· τοῦ εἰς τὸ κύπρινον ἠρωματισμένου, ὡς ἀποδείξομεν (I 55), λαβὼν ἐλαίου λίτρας εἴκοσι, ὠκίμου σταθμῷ λίτρας ἕνδεκα οὐγγίας ὀκτὼ ἀποφυλλίσας ἀπόβρεχε νύκτα καὶ ἡμέραν ἐν τῷ ἐλαίῳ, εἶτα ἐξίπου καὶ ἀποτίθεσο. ἐκκενώσας δὲ τὸ ἀπὸ τῆς κυρτίδος ἐπίχει πάλιν τὸ ἴσον πλῆθος τοῦ ἐλαίου καὶ ἐξίπου. καλεῖται δὲ τοῦτο δευτερεῖον· τρίτην γὰρ οὐκ ἐπιδέχεται βροχήν. εἶτα προσφάτου ὠκίμου λαβὼν τὸ ἴσον πάλιν ἀπόβρεχε, ὡς ἐπὶ τοῦ ῥοδίνου εἴρηται (I 43), τὸ δὲ ἤδη ἀποβεβρεγμένον ἐπιχέων καὶ ἐῶν τὸν αὐτὸν χρόνον ἔκθλιβε καὶ ἀποτίθεσο. κἂν τρὶς δὲ ἢ τετράκις θέλῃς, ἀπόβρεχε πρόσφατον ἀεὶ ὤκιμον ἐμβάλλων. δύναται δὲ καὶ ἐκ τοῦ ὀμφακίνου σκευάζεσθαι· βέλτιον δὲ ἐκείνως.

δύναται δὲ τὸ αὐτὸ τῷ σαμψουχίνῳ, ἔλαττον ἐνεργοῦν.

50 ἀβροτονίνου σκευασία· ἐκ τοῦ εἰς τὸ κύπρινον ἠρω-

---

11 SIM. D. cup. I 228 (212).

---

1 ἐπίχει H 3 $\overline{\delta}$ libri 4 τῶν om. Zach. 5 ἔσται Di 6 μελανχλωρόν F σάμψυχον Di πολλῆς Q: πολλ[s] Da: ἐπιπολὺ Di 8 δὲ καὶ HDi ἔμμηνά τε καὶ Di: ἔμμηνα δευτέρως Zach. δεύτερα] ἔμβρυα HDa 11 ἐπεὶ Di

14 num. cap. $\overline{\mu\vartheta}$ QDi: νδ′ Dl tit. ὠκίμινον H: περὶ ὠκυμίνου Di: περὶ σκευασίας ὠκιμίνου F ὠκιμίνου σκευασία om. HDi initium sic habet ἔλαιον ὠκίμινον σκευάζεται ὥσπερ τὸ κύπρινον Di τοῦ — ἀποδείξομεν om. HDi 15 ἀπεδείξαμεν FDa: correxi 16 σταθμῶν F 17 ἀποτίθεσο] ἀπήθει Di 18 ἐκκενώσας — ἐξίπου om. HDa τὸ (pr.)] τὰ HDa 19 δευτέριον FDiDa: δευτερεῖον H 20 πρόσφατον ὤκιμον libri: correxi τὸ om. Di 22 ἀποβεβρεγμένον] i. e. τὸ ἐξιπωθὲν ἔλαιον 24 ἐμβαλών FDa 26 τὸ αὐτὸ F: τὰ αὐτὰ reliqui

27 num. cap. $\overline{\nu}$ QDi: νε′ Dl tit. ἀβροτόνινον H: περὶ ἀβροτονίνου DiDa: περὶ σκευασίας ἀβροτονίνου F ἀβροτόνινον ἐκ τοῦ Di

ματισμένου ἐλαίου λίτρας ἐννέα οὐγγίας πέντε ἀβροτόνου φύλλων λίτρας ὀκτὼ ἔμβαλε καὶ ἀποβρέξας νύκτα καὶ ἡμέραν ἐξίπου. πολύβροχον δ' εἰ βούλει ποιῆσαι, ἐκβαλὼν τὰ πρῶτα φύλλα, ἐμβαλὼν δὲ ἕτερα φύλλα ἐναποβρέχων ἐκπίεζε.

δύναμιν δὲ ἔχει θερμαντικήν, ποιοῦσαν πρὸς τὰς ἐν ὑστέρᾳ μύσεις καὶ σκληρίας, ἄγον ἔμμηνα καὶ δεύτερα.

51 ἀ ν η θ ί ν ο υ σκευασία· ἐλαίου λίτρας ὀκτὼ οὐγγίας ἐννέα, ἀνήθου ἄνθους λίτρας ἕνδεκα οὐγγίας ὀκτὼ ἐναπόβρεχε τῷ ἐλαίῳ ἡμέραν μίαν, εἶτα ἐκπίεζε ταῖς χερσὶ καὶ ἀποτίθεσο. ἐὰν δὲ θέλῃς δίβροχον ποιῆσαι, πρόσφατον ἀνήθου ἄνθος ὡσαύτως ἀπόβρεχε.

δύναται δὲ μαλάσσειν τὰ περὶ μήτραν καὶ ἀναστομοῦν, ἁρμόζον πρὸς τὰ περιοδικὰ ῥίγη, θερμαῖνον καὶ κόπους λύον καὶ ἀλγήματα ἄρθρων ὠφελοῦν.

52 σ ο υ σ ί ν ο υ σκευασία, ὃ ἔνιοι λείρινον καλοῦσιν· ἐλαίου λίτρας ἐννέα οὐγγίας πέντε, καλάμου λίτρας πέντε οὐγγίας δέκα, σμύρνης δραχμὰς πέντε φυράσας οἴνῳ εὐώδει ἕψε, εἶτα ἀπηθήσας τὸ ἔλαιον ἀπόχει κατὰ καρδαμώμου κεκομμένου καὶ βεβρεγμένου ὕδατι ὀμβρίῳ λιτρῶν τριῶν οὐγγιῶν ἓξ καὶ ἐάσας βραχῆναι ἀπόθλιβε· καὶ λαβὼν ἐκ τοῦ ἐστυμμένου ἐλαίου τρεῖς

7 SIM. Aet. I s. v. ἔλαιον ἀνήθινον (= Nic. M. XVI 15); Paul. Aeg. VII 20 s. v.

7 EXC. Zach. m. m. VI 110 (aliis aliunde additis).

15 SIM. Pl. XIII 11; XXI 22; XXIII 95; Aet. I s. v. ἔλαιον κρίνινον (= Nic. M. XVI 16); Paul. Aeg. VII 20 cf. Pall. de agr. VI 14.

15 EXC. Gal. XII 45.

1 *οὐγγίας — ὀκτὼ* om. Spr. 2 *ἔμβαλλε* QDa: *ἐμβαλὼν* Di 3 *πολύβροχον* F: *πολυχρόνιον* reliqui: *si volueris meliorem facere* Dl 4 *ἐμβαλὼν — φύλλα* om. Da *ἐμβαλλὼν* F: *ἔμβαλε* Di *δὲ* om. Di *φύλλα* (alt.) om. HDi: fort. delendum *καὶ ἐναποβρέχων* Di 6 *ἄγων* DiDa

7 num. cap. $\overline{\nu\alpha}$ QDi: *νϙ'* Dl tit. *ἀνήθινον* H: *ἀνηθίνου σκευασία* DiDa: *περὶ σκευασίας ἀνιθίνου* F *ἀνηθίνου σκευασία* om. HDiDa *ἀνιθίνου* F 8 *ἀνίθου* F *ἄνθος* DiDa $\overline{\iota\alpha}$ libri 10 *εἰ δὲ θέλεις* Da *δίβροχον* F: *διάβροχον* reliqui

15 num. cap. $\overline{\nu\beta}$ QDi: *νζ* Dl tit. *σούσινον* H: *περὶ σουσίνου* DiDa: *σουσίνου σκευασία* F incip. *τὸ δὲ σούσινον ὃ ἔνιοι κρίνινον καλ. οὕτω σκευάζεται* Di *λίρινον* F: *κρίνινον* HDiDa: *myrsinum* Dl, cf. D. III 102. Gal. XIX 119 16 *πέντε* pr.] *ε'* FDi: ϖ V. Dl: *γ'* HDa (om. *πέντε — οὐγγίας*) *οὐγγίας δέκα*] *οὐγγίας γ'* Di: ϖ X Dl: /ῡ ῑ F 17 *δραχμὰς*] <ο (i. e. *δραχμὰς*) F: *οὐγγίας* reliqui *φυράσας*] *κεράσας* H *ἐπιθήσας τὸ ἔλαιον μετὰ τοῦ καρδ.* Da 18 *ἀπόχεε* H *κατὰ*] *μετὰ* HDa, sed cf. D. I 55 19 *λίτρας* HDa: comp. scr. reliqui: corr. Sar. *ἓξ*] *γ'* (ut videtur) F: *lib. III et mediam* Dl 20 *ἐλαίου* $\overline{\gamma}$ *ἥμισυ λίτρας* (comp. scr.) FDi: *ἐλαίου λίτρας* $\overline{\gamma}$ *ἥμισυ* (*ἥμ.* comp. scr.) HDa

ἥμισυ λίτρας, κρίνα ἀριθμῷ χίλια ἀποφυλλίσας θὲς ἐν λουτῆρι
πλατεῖ, μὴ βαθεῖ, ἐπιχέας τε τὸ ἔλαιον ἀνακίνει ταῖς χερσὶ
μέλιτι κεχρισμέναις. ἐάσας δὲ ἡμέραν μίαν καὶ νύκτα, πρωὶ δὲ
2 ἀνελόμενος εἰς κυρτίδα ἔξιπου. τὸ δὲ φερόμενον ἀπήθει εὐ-
θέως ἀπὸ τοῦ συνεκθλιβέντος ὕδατος τῷ ἐλαίῳ· οὐ γὰρ ὑπο-
μένει ὡς τὸ ῥόδινον, συνθερμαινόμενον δὲ ἀναζεῖ καὶ σήπεται.
μετάγγιζε δὲ πλεονάκις εἰς ἕτερα ἀγγεῖα μέλιτι κατακεχρισμένα,
προσπάσσων ἅλας λεπτοὺς καὶ τὴν συλλεγομένην ἀκαθαρσίαν ἐπι-
μελῶς ἀφαιρῶν. μετεράσας δὲ ἐκ τοῦ κυρτιδίου τὸ ἐξιπωθὲν
ἄρωμα εἰς τὸν λουτῆρα πάλιν ἐπίχει τοῦ ἠρωματισμένου ἐλαίου
τὸ ἴσον πλῆθος τῷ προτέρῳ καὶ καρδαμώμου κεκομμένου συν-
έμβαλε ὁλκὰς δέκα, καὶ ἀνακινήσας χρησίμως ταῖς χερσὶ καὶ
3 ἐπισχὼν μικρὸν ἔξιπου, τὸ ἀπορρέον ἀποκαθαίρων. καὶ τρίτον
ἐπιχέας πάλιν τὸ αὐτὸ ποίει, προσεπεμβάλλων καὶ τὸ καρδά-
μωμον καὶ τοὺς ἅλας ὁμοίως καὶ τὰς χεῖρας μέλιτι χρίων καὶ
θλίβων. καὶ ἔσται τὸ μὲν πρῶτον ἐκπιεσθὲν ἄριστον, ἐχόμενον
δὲ τὸ ἑξῆς, τρίτον δὲ τὸ τελευταῖον. καὶ πάλιν λαβὼν χίλια
κρίνα καὶ ἀποφυλλίσας διάθες καὶ ἐπιχέας τὸ πρῶτον ἐξι-
πωθὲν μεθόδευε, τὰ αὐτὰ ποιῶν ὥσπερ ἐποίεις ἐπὶ τοῦ πρώ-
του, καρδάμωμον παραμίσγων, εἶτα ἔξιπου καὶ ποίει τὰ αὐτὰ
ἐπὶ τοῦ δευτέρου καὶ τρίτου, ὡς εἴρηται, προσεμβάλλων καὶ τὸ
καρδάμωμον, καὶ ὁσάκις ἂν ἀποβρέξῃς νεαρὰ κρίνα, δυναμι-
4 κώτερον ἕξεις τὸ μύρον. ἐπὶ τέλει δὲ ὅταν αὐτάρκως ἔχειν σοι
δοκῇ, μίσγε ⟨ἐν⟩ ἑκάστῃ σκευασίᾳ σμύρνης χρηστῆς δραχμὰς
δύο, κινναμώμου δραχμὰς δύο, κρόκου δραχμὰς δέκα. οἱ δὲ·
κρόκου καὶ κινναμώμου τὸ ἴσον κόψας σήσας ἔμβαλε εἰς τὸν
λουτῆρα μεθ᾽ ὕδατος καὶ ἐπίχει τὸ πρῶτον ἐκπιεσθὲν μύρον,

---

1 θεὶς H 2 τε om. Da 3 δὲ (alt.) om. HDiDa 4 κυρτίδα F: om. Da: πυξίδα reliqui 5 τὸ ἔλαιον FDiDa 7 πλεονάκις F: πολλάκις reliqui 8 προσπλάσσων Di ἅλες λεπτὸν (sic) F: ἅλας λεπτὸν DiDa: ἅλα λεπτὸν H: correxi 9 μεταράσσας F: μεταράσας Da: μετακεράσας H 10 ἄρωμα] μάγμα coni. Sar.: fort. recte 11 συνέμβαλλε F: ἔμβαλλε H 15 τοὺς] τὸ libri: τοὺς vulgo βρέχων μέλιτι· καὶ ἔσται Di 16 τὸν F πρότερον Di: α̅ F 18 διαθεὶς QDa 20 παρασμίγων F: παραμίγων p: παραμίσγων reliqui ἐξιπῶν ποίει HDi 21 καὶ ἐπὶ τρίτου (τοῦ τρ. Da) HDiDa 22 post καρδάμωμον add. εἶτα ἔξιπου καὶ ποίει τὰ αὐτά Di: εἶτα — καρδάμωμον bis habet H ὁσάκις δ᾽ ἂν (om. καὶ) Di 23 σοι om. FDa 24 δοκῇς Da: δόξῃς H μίσγε om. F ἐν addidi e Da <ο μ̅ F: <ο β′ reliqui: ∽ Χ. ζ Dl (i. e. οὐγγίας postea corr. in δραχμάς): <οβ′ Spr. (errore) 25 κινναμώμου δρ. δύο post κρόκου δρ. δύο coll. Di καρδαμώμου libri et Dl: corr. Sar. (propter ea quae sequuntur) <ο μ̅ F: <ο β′ reliqui: <οε′ Spr. <ο ι̅ F: <ι′ DaDiH οἱ] τοῦ Da, cf. D. I 56 26 ἔμβαλλε Q: ἐμβάλλουσι Spr. 27 καὶ] τότε δὲ Spr.

εἶτα ἐάσας μικρὸν ἀναλάμβανε εἰς ἀγγεῖα ξηρά, προκεχρισμένα κόμμει καὶ σμύρνῃ καὶ κρόκῳ καὶ μέλιτι μεθ' ὕδατος διειμένοις· τὸ δ' αὐτὸ ποίει καὶ ἐπὶ τοῦ δευτέρου ἐκπιέσματος καὶ τοῦ τρίτου. ἔνιοι δὲ τὸ ἁπλοῦν ἐξ ἐλαίου βαλανίνου ἢ ἄλλου καὶ 5
κρίνου σκευάζουσι. δοκεῖ δὲ διαφέρειν τὸ ἐν Φοινίκῃ καὶ ἐν Αἰγύπτῳ γινόμενον· ἄριστον δέ ἐστιν αὐτοῦ τὸ ὄζον κρίνων.

δύναμιν δὲ ἔχει θερμαντικήν, μαλακτικήν, ἀναστομωτικὴν τῶν περὶ μήτραν μύσεων καὶ φλεγμονῶν, καὶ καθόλου πάντων ἐστὶ χρησιμώτατον πρὸς τὰ γυναικεῖα. ἁρμόζει δὲ καὶ πρὸς ἀχῶρας, ἰόνθους, πίτυρα, ἐκζέματα, μώλωπάς τε ταχέως μεταβάλλει καὶ ὁμόχρους ποιεῖ, καὶ καθόλου ἐστὶν ἀραιωτικόν. ἄγει δὲ καὶ χολὴν κατὰ κοιλίαν πινόμενον, κινεῖ δὲ καὶ οὔρησιν. ἔστι δὲ κακοστόμαχον καὶ ναυτίας ποιητικόν.

53 *ναρκίσσινον δὲ στύψεις οὕτως· ἐλαίου πεπλυμένου λίτρας ἐννέα οὐγγίας πέντε, ἀσπαλάθου λίτρας ἓξ οὐγγίας δύο κόψας καὶ βρέξας ὕδατι, τῷ τρίτῳ τοῦ ἐλαίου μείξας ἕψε, εἶτα ἐξελὼν τὸν ἀσπάλαθον καὶ καλάμου λίτρας πέντε οὐγγίας ὀκτὼ καὶ σμύρνης χόνδρον κόψας καὶ σήσας φύρα οἴνῳ παλαιῷ εὐώδει καὶ μείξας ἕψε. ὅταν δὲ καὶ μετὰ τούτων ἀναζέσῃ, ἐξελὼν ἀπήθει τὸ ἔλαιον ψυγέν, εἶτα λαβὼν ἐκ τοῦ ἐλαίου . . . . . . εἰς λουτῆρα ἀπόχει καὶ τοῦ ναρκίσσου ἔμβαλε ὡς ὅτι πλεῖστον τὸ ἄνθος, ἐπὶ ἡμέρας δύο κινῶν ὡς ἐπὶ τοῦ σουσίνου, ἔξιπού τε καὶ μετάγγιζε πυκνῶς· καὶ γὰρ τοῦτο σήπεται.*

ποιεῖ δὲ πρὸς τὰ ἐν ὑστέρᾳ, μαλάσσον τὰς περὶ αὐτὴν σκληρίας καὶ μύσεις. ἔστι δὲ κεφαλαλγές.

---

7 SIM. D. eup. II 74 (286) I 117 (151 ubi *ἔλαιον* corrige).
14 SIM. Pl. XV 30 (cf. XXIII 6); XI 129 extr. (e S. N.); Aet. I s. v. *ἔλαιον ναρκίσσινον* (= Nic. M. XVI 18).

---

1 post *ἀγγεῖα* add. *μικρὰ* HDi *προκεκλυσμένα* Di 2 *καὶ* (pr.)] *ἢ* HDiDa 3 *τὰ δ' αὐτὰ* Di *δευτέρου καὶ τρίτου ἐκπιέσματος* H *ἐπὶ τοῦ τρίτου* p: *τρίτου* (om. *ἐπὶ τοῦ*) v 4 *καὶ κρίνου ἢ ἄλλου* (*ἐλαίου* superscr. *v*) Di 5 *αἰγύπῳ καὶ ἐν φοινίκη* H 8 *μήτρας ψύξεων* Da *καὶ καθόλου — ποιεῖ* om. Da 13 *καὶ κακοστόμαχον* (dittogr.) HDiDa
14 num. cap. $\overline{\nu\gamma}$ QDa: *νη'* Dl tit. *ναρκίσσινον* H: *ναρκισσίνου σκευασία* reliqui *ἔλαιον ναρκίσσινον στύφεται οὕτω* Di *ἐλαίου καλάμου πεπλυμένου λίτρας* (spatio relicto) *οὐγγίας ε' καὶ σμύρνης ἀσπαλάθου λίτρας* H 15 *ἐννέα* scripsi: $\overline{o}$ ($O = \Theta$) libri 17 *καὶ* om. Di *καλάμου βάλε* Di 18 *διασήσας* (dittogr.) Q: *διασείσας* Da *φύρασον* Di 20 *ἀπείθει* F: *ἀπόθου* H: *ἀποτίθου* Da *ψύγειν* QDa *λαβὼν*] *βαλὼν* DiDa hiatum indicavi 21 *ἀπήχει* Di *ἔμβαλλε* Q: post *πλεῖστον* colloc. Di 22 *πλεῖστον*] *πλῆθος* Q 24 *δὲ* om. QDa 25 *κεφαλαλγικόν* Da

54 *κρόκινον* δὲ σκευάζων προστύψεις τὸ ἔλαιον, ὡς εἴρηται ἐπὶ τοῦ σουσίνου, πλήθει καὶ συσταθμίᾳ τῇ αὐτῇ. λαβὼν δὲ ἐκ τοῦ ἐστυμμένου ἐλαίου εἰς τὸ σούσινον λίτρας τρεῖς ἥμισυ βάλε κρόκου δραχμὰς πεντήκοντα καὶ ἀνακίνει πλεονάκις τῆς ἡμέρας, ποιῶν τοῦτο συνεχῶς ἐπὶ ἡμέρας πέντε. ἀπήθει δὲ τὸ ἔλαιον τῇ ἕκτῃ ἀπὸ τοῦ κρόκου καθαρίως, τῷ δὲ αὐτῷ κρόκῳ ἐπίχει τὸ ἴσον πλῆθος τοῦ ἐλαίου καὶ ἀνακίνει ἡμέρας δέκα, εἶτα ἀποχέας πρόσμειξον σμύρνης κεκομμένης καὶ σεσησμένης δραχμὰς τεσσαράκοντα καὶ κίνει ἐν ὅλμῳ χρησίμως, εἶτα ἀπόθου. ἔνιοι δὲ τῷ εἰς τὸ κύπρινον ἠρωματισμένῳ ἐλαίῳ καὶ εἰς τὸ κρόκινον χρῶνται. ἔστι δὲ αὐτοῦ κράτιστον τὸ κατακόρως κρόκου πνέον, ὅπερ εἰς τὴν ἰατρικὴν χρῆσιν ἁρμόζει, δεύτερον δὲ τὸ σμύρνης παρεμφαῖνον.

2 δύναμιν δὲ ἔχει θερμαντικήν, ὑπνωτικήν, ὅθεν πολλάκις ἐπὶ τῶν φρενιτικῶν ἥρμοσεν ⟨ἐν⟩ καταβροχαῖς ἢ ἀποσφρανθὲν ἢ καὶ τῶν μυξωτήρων διαχρισθέντων. ἔστι δὲ καὶ πυοποιὸν καὶ ἑλκῶν καθαρτικόν, καὶ πρὸς τὰς ἐν τῇ μήτρᾳ σκληρίας καὶ μύσεις καὶ τὰ ἐν αὐτῇ κακοήθη σὺν κηρῷ καὶ κρόκῳ καὶ μυελῷ καὶ ἐλαίῳ διπλασίονι· συμπέττει γὰρ καὶ μαλάττει καὶ πραΰνει καὶ ὑγραίνει· ποιεῖ καὶ πρὸς τὰς ἀπογλαυκώσεις μεθ' ὕδατος ὑπαλειφόμενον. ἀναλογεῖ δὲ αὐτῷ καὶ τὸ λεγόμενον *ὀνύχινον* καὶ *βουτύρινον* καὶ *στυράκινον*, τοῖς ὀνόμασι μόνον διαφέροντα, τῇ μέντοι σκευασίᾳ καὶ τῇ δυνάμει παρόμοια ὄντα.

55 *κυπρίνου* στύψις καὶ σκευασία· ἐλαίου ὀμφακίνου πε-

---

1 SIM. Theophr. de od. 27; Pl. XIII 10; Hicés. (Ath. XV 689c); Apoll. (Ath. XV 688e = Pl. XIII 5); Paul. Aeg. VII 20 s. v.

14 SIM. D. cup. 11 (99).

24 SIM. Theophr. de od. 25. 26. 31. 42. 50. 55; Pl. XIII 12 (e S. N.) XIII 5 (= Ath. XV 688e); XV 28; Posidon. (Paul. Aeg. VII 20 s. *κύπρινον*) cf. Act. I. s. v. *ἔλαιον κύπρινον* (= Nic. M. XVI 29).

24 EXC. Zach. m. m. VI 10 (107).

---

1 num. cap. νδ QDi: νθ' Dl tit. *κρόκινον* H: *περὶ κροκίνου* DiDa: *κροκίνου σκευασία* F 3 *λίτρ̌* γ *ἥμισυ* FDa, comp. scr. H 4 *βάλλε* Q < ν' F: < η' reliqui: ζ. j. Dl *πολλάκις* Di 6 *τῇ δὲ ἕκτῃ ἀπόχει* Di *ἀπόχει* libri: corr. Sar. 7 *δέκα*] ιγ' libri: γ' Spr.: correxi coll. Dl *et iterum aliis decem diebus* 9 *ἔνιοι δὲ τὸ ἴσον κύπρινον ἠρωματισμένῳ ἐλαίῳ* (*ἠρωματισμένου ἐλαίου* H) HDi 11 *πνέον*] *ποιοῦν* F: *ἐμπνέων* Da 12 *δὲ* om. QDa *τὸ τῇ σμύρνῃ παρεμφέρον* Di, cf. D. I 59. 61 14 *ταῖς τῶν* H: *τῶν* om. Di *ἁρμόζει* Di *ἐν* addidi *καταβρεχόμενον ἢ ἀποσφραινόμενον* Di *ἀποφραοθὲν* Da *ἢ καὶ κατὰ μυξ. διαχριόμενον* Di 16 *καθαρτικὸν ἑλκῶν* Di: *ἀνακαθαρτικὸν* Da *τῇ* om. Di 18 *συμπέπτει* H *ὑγραίνει καὶ πραΰνει* DiDa 21 *βουτύρινον καὶ ὀνύχινον* Di 22 *τῇ* (alt.) om. Da *ὄντα παρόμοια* HDiDa

23 num. cap. νε QDi: ξ' Dl tit. *περὶ στύψεως κυπρίνου καὶ σκευασίας ἐλαίου* FDi: *κυπρίνου σκευασία ἐλαίου* Da: om. H *κυπρίνου — ἐλαίου* om. HDiDa *ἐλαίου* bis habet H

πλυμένου μέρος ἕν, ὕδατος ὀμβρίου μέρος ἓν ἥμισυ, τὸ μὲν ἐπίχει τῷ ἐλαίῳ τὸ δὲ φύρα ἐν τοῖς ἐμβληθησομένοις ἀρώμασιν. εἶτα λαβὼν ἀσπαλάθου λίτρας πέντε ἥμισυ, καλάμου λίτρας ἓξ ἥμισυ, σμύρνης λίτραν μίαν, καρδαμώμου λίτρας τρεῖς οὐγγίας ἐννέα, ἐλαίου λίτρας ἐννέα οὐγγίας πέντε, τὸν ἀσπάλαθον κόψας καὶ βρέξας ἐν ὕδατι ἐμβαλὼν ἕψε μετὰ τοῦ ἐλαίου, ἕως ἂν συναναζέσῃ, τὴν δὲ σμύρναν διεὶς οἴνῳ παλαιῷ εὐώδει, τὸν κάλαμον κεκομμένον συναναφύρα μετὰ τῆς σμύρνης καὶ ἐξελὼν τὸν ἀσπάλαθον ἔμβαλε τὸ φύραμα τοῦ καλάμου. ὅταν δὲ καὶ 2
μετὰ τούτου ζέσῃ, καθελὼν ἀπήθησον τοῦ χαλκοῦ τὸ ἔλαιον καὶ κατάχει κατὰ τοῦ καρδαμώμου κεκομμένου καὶ πεφυραμένου τῷ λοιπῷ ὕδατι καὶ κίνει σπάθῃ, ἕως ἂν ψυγῇ, μὴ διαλείπων. εἶτα ἀπηθήσας τὸ ἔλαιον ἔμβαλε εἰς τὰς εἴκοσιν ὀκτὼ τοῦ ἐλαίου λίτρας ἄνθους κύπρου λίτρας τεσσαράκοντα ἓξ οὐγγίας ὀκτώ, ἐάσας τε ἀποβραχῆναι ἐξίπωσον διὰ σφυρίδος. ἐὰν δὲ πλείω θέλῃς, τοῦ νεαροῦ ἄνθους τὸ ἴσον ἐμβαλὼν πλῆθος ὁμοίως ἐξίπου, ἐάν τε δίβροχον ἐάν τε τρίβροχον βούλῃ ποιεῖν· δυναμικώτερον γὰρ γίνεται. ἐκλέγεσθαι δὲ δεῖ τὸ χρηστὸν καὶ 3
μετ᾽ εὐωδίας πληκτικόν, ἔνιοι δὲ καὶ κινάμωμον μίσγουσιν.

δύναμιν δὲ ἔχει θερμαντικήν, μαλακτικήν, ἀναστομωτικήν, ἁρμόζουσαν τοῖς περὶ μήτραν καὶ νεῦρα πάθεσι καὶ πλευριτικοῖς καὶ κατάγμασι καθ᾽ ἑαυτό τε καὶ κηρωτῇ μειγνύμενον. μείγνυται δὲ καὶ μαλάγμασι τοῖς ἁρμόζουσιν ὀπισθοτόνῳ, συνάγχῃ, βουβώνων φλεγμονῇ καὶ ἀκόποις.

56 ἰρίνου στύψις· σπάθης λίτρας ἓξ οὐγγίας ὀκτώ, ἐλαίου

---

20 SIM. D. eup. II 71 (285) 74 (286).

25 SIM. Theophr. de od. 36. 24. 28; Pl. XXI 42 cf. XIII 5 (= Ath. XV 388 e). 14. 18; Aet. I s. v. *ἔλαιον ἴρινον* (= Nic. M. XVI 30); Paul. Aeg. VII 20 s. v.

---

1 *μέρος* comp. scr. F *α' ἥμισυ* Di: comp. scr. reliqui 2 *ἐν*] *σὺν* libri: correxi 3 *ἀσπαλάθου — τὸν* (v. 5) om. H *ε' ἥμισυ* Di: comp. scr. reliqui: *libras Viiij* Dl 5 *ἐλαίου* libri: *ἐλενίου* coni. Corn. coll. Paul. Aeg. l. s. *libras XX* Dl post *πέντε* add. *τὸ ἐλένιον καὶ* Corn. *τὸν*] *τὴν* libri: correxi 6 *ἐμβαλλὼν* F *τοῦ* om. HDa 9 *τὸν* F: *τὴν* HDi *ἔμβαλλε* Q *καὶ* om. H 11 *καρδάμου* Da 12 *διαλιπών* Da 13 *ἔμβαλλε* Q: *ἔμβαλε* reliqui 14 *κυπείρου* HDiDa: *κυπέρου* F: *quipri* Dl, cf. Pl. XIII 42; D. I 95 15 *στυρίδος* FDa *δὲ πλείω — ἐὰν* om. Da 16 *τοῦ* om. libri: add. Spr. 17 *διάβροχον* Da *ἐθέλῃς* H 18 *δυναμικώτερον — μίσγουσιν* om. H *δὲ* om. F 19 *σμίγουσι* Da: *σμίσγουσιν* F 23 *ὀπισθοτονικοῖς* HDiZach. l. s. *συναγχικοῖς* Di: *βοηθεῖ καὶ συνάγχῃ* Zach. 24 *βουβῶσι* H

25 num. cap. *νϛ* QDi: *ξα'* Dl tit. *ἴρινον* H: *περὶ στύψεως ἰρίνου* reliqui *ἰρίνου στύψις* om. HDiDa *ὀκτώ*] *η* libri: *ε'* Spr.

λίτρας ἐννέα οὐγγίας πέντε κόψας ὡς λεπτότατα μεῖξον ὕδατος
κοτύλαις δέκα καὶ βαλὼν εἰς χαλκὸν ἕψε, μέχρις οὗ τὴν ὀσμὴν
ἀναλάβῃ, εἶτα ἀπήθει εἰς κρατῆρα μέλιτι κατακεχρισμένον. ἐκ
τούτου τοῦ ἠρωματισμένου ἐλαίου τὸ πρῶτον ἴρινον σκευάζεται
ἐναποβρεχομένης τῷ ἐστυμμένῳ ἐλαίῳ ἴρεως, ὡς ὑπογέγραπται.
2 οἱ δέ· ἐλαίου λίτρας ἐννέα οὐγγίας πέντε, ξυλοβαλσάμου λίτρας
πέντε οὐγγίας δύο κόψας, ὡς εἴρηται, σύνεψε· εἶτα ἐξελὼν τὸ
ξυλοβάλσαμον προσέμβαλε καλάμου κεκομμένου λίτρας ἐννέα
οὐγγίας δέκα, σμύρνης χόνδρον οἴνῳ παλαιῷ ἐμβρέχων εὐώδει,
εἶτα λαβὼν ἐκ τοῦ ἐστυμμένου ἐλαίου καὶ ἠρωματισμένου λίτρας
δέκα τέσσαρας ἐναπόβρεχε ἴρεως κεκομμένης ἴσον τῷ σταθμῷ,
ἐῶν ἡμέρας δύο καὶ νύκτας δύο, εἶτα ἐξίπου βιαίως καὶ νεανι-
κῶς. καὶ εἰ βούλει δυναμικώτερον εἶναι, τὸν ἴσον σταθμὸν καὶ
3 δὶς καὶ τρὶς ὁμοίως ἐναποβρέχων ἐξίπου. κράτιστον δὲ ὑπάρ-
χει τὸ ἐν ⟨τῇ⟩ ὀσφρήσει μηδενὸς ἄλλου, μόνης δὲ τῆς ἴριδος
πνέον. τοιοῦτον δέ ἐστι τὸ ἐν Πέργῃ τῆς Παμφυλίας καὶ ἐν
Ἤλιδι τῆς Ἀχαίας γινόμενον.

δύναμιν δὲ ἔχει μαλακτικήν, θερμαντικήν, ἐσχάρας τε καὶ
σηπεδόνας καὶ ῥυπαρίας ἀνακαθαίρει καὶ ταῖς περὶ μήτραν
διαθέσεσιν ἁρμόζει, φλεγμοναῖς τε καὶ μύσεσιν, ἔμβρυά τε ἐκ-
βάλλει καὶ αἱμορροΐδας ἀναστομοῖ, πρός τε ἤχους ὤτων σὺν
ὄξει καὶ πηγάνῳ καὶ πικροῖς ἀμυγδάλοις, καὶ πρὸς κατάρρους
χρονίζοντας διαχριομένων τῶν μυξωτήρων καὶ πρὸς ὀζαίνας.
4 καθαίρει δὲ καὶ τὴν κοιλίαν κυάθου πλῆθος ποθέν, ποιεῖ καὶ
πρὸς εἰλεώδη, κινεῖ καὶ οὖρα. ⟨ἁρμόζει⟩ καὶ ἐπὶ τῶν δυσχερῶς
ἐμούντων διαχριομένων τῶν δακτύλων ἢ τῶν ἐμετηρίων, καὶ
ἐπὶ συναγχικῶν ⟨δὲ⟩ διαχριόμενον ἢ ἀναγαργαριζόμενον σὺν
μελικράτῳ καὶ πρὸς τραχύτητα ἀρτηρίας. δίδοται καὶ τοῖς κώ-
νειον ἢ μύκητας ἢ κόριον πεπωκόσιν.

18 SIM. D. eup. II 71 (285) II 213 (205) I 63 (125 cf. Cels. VI 7, 8) II 45 (257) II 142. 143 (329 sq.).
27 TEST. Ruf. 476: Ruffus et *Dyascorides*: oleum yrinum valet ad squinantiam mixtum cum melle et fricatum in palato, et etiam in gargarismo.

1 ἐννέα] ϑ̄ F: ο' Da: ογ' Di: om. H ὡς] εἰς H ὕδατι DiDa 2 κοτύλας QDi: κοτύλα Da: correxi χαλκὸν QDa: χαλκοῦν Di μέχρι οὗ F: μέχρις οὗ Di: μέχρις HDa 5 ἴρεος F: εἴρεως Da (ut semper) 6 οἱ δέ QDa: ἢ οὕτως Di, cf. D. I 52 ἐννέα] ϑ̄ F: ō DiDa (de H non constat) οὐγγίας πέντε om. Da 8 προσέμβαλλε Q 12 δύο (alt.) fort. delendum 14 δέ ἐστι Da 15 τῇ addidi 16 πνέον] ποιοῦν libri: correxi 17 γινόμενον FDa: γεννώμενον reliqui 19 ἀνακαθαίρει — φλεγμοναῖς τε om. Da 25 ἁρμόζει addidi 27 δὲ addidi 28 τοῖς] τὸ F 29 περιπεπωκόσιν Da

57 γλεύκινον δὲ σκευάζεται τὸ ἁπλοῦν ἔκ τε ἐλαίου ὀμφακίνου καὶ σχοίνου καὶ καλάμου καὶ νάρδου Κελτικῆς καὶ σπάθης καὶ ἀσπαλάθου καὶ μελιλώτου καὶ κόστου καὶ γλεύκους, συμπεριτιθεμένων τῶν στεμφύλων τῷ ἔχοντι ἀγγείῳ τὰ ἀρώματα καὶ τὸν οἶνον καὶ τὸ ἔλαιον. κινεῖται δὲ ἐπὶ ἡμέρας τριάκοντα δὶς τῆς ἡμέρας, καὶ μετὰ ταῦτα ἐκπιεσθὲν ἀποτίθεται.

δύναμιν δὲ ἔχει θερμαντικήν, μαλακτικήν, ἀνετικήν, ποιοῦσαν πρὸς τὰ ῥίγη καὶ τὰ νευρικὰ πάντα καὶ τὰ ἐν ὑστέρᾳ. παντὸς δὲ ἀκόπου μᾶλλον ὠφελεῖ μαλακτικὸν ὄν.

58 ἀμαράκινον δὲ ἐν Κυζίκῳ κάλλιστον γίνεται. σκευάζεται δὲ διά τε ὀμφακίνου ἐλαίου καὶ βαλανίνου, στυφομένων ξυλοβαλσάμῳ, σχοίνῳ, καλάμῳ, ἡδυνομένων δὲ ἀμαράκῳ, κόστῳ, ἀμώμῳ, νάρδῳ, κασσίᾳ, καρπῷ βαλσάμου καὶ σμύρνῃ. οἱ δὲ πολυτελέστερον αὐτὸ ποιοῦντες μίσγουσι καὶ κινάμωμον· παραλαμβάνεται δὲ μέλι καὶ οἶνος εἰς τὴν τῶν ἀγγείων χρίσιν καὶ φύρασιν τῶν κεκομμένων ἀρωμάτων.

2 ἔστι δὲ θερμαντικόν, καρωτικόν, μαλακτικόν, ἀναστομωτικόν, πυρωτικόν, οὐρητικόν, εὐχρηστοῦν εἴς τε τὰς σῆπας καὶ σύριγγας καὶ ὑδροκήλας μετὰ τὰς χειρουργίας, περιρρήττει τε τὰς ἐσχάρας καὶ τὰ τεθηριωμένα ἕλκη, πρός τε δυσουρίαν ἁρμόζει περιχριομένου τοῦ δακτυλίου, καὶ πρὸς τὰς φλεγμονὰς αὐτοῦ καὶ πρὸς αἱμορροίδων ἀναστόμωσιν περιχριόμενον, ἔμμηνά τε κινεῖ προστιθέμενον τῇ μήτρᾳ καὶ σκληρίας καὶ οἰδήματα ἐν ὑστέρᾳ διαφορεῖ, καὶ πρὸς τὰ μυότρωτα καὶ νευρό-

---

1 SIM. Pl. XV 29. XXIII 91 (e S. N.); Androm. et Heras (Gal. XIII 1039); Col. XII 51 Geop. IX 30.

1 EXC. Gal. XIII 1041; Zach. m. m. VI 10 (106).

1 TEST. Gal. XIII 1041: *γλευκίνου σκευασία, ὡς Διοσκουρίδους ἐν τῷ α΄ περὶ ὕλης. Διοσκουρίδης δ᾽ οὕτως ἔγραψε· γλεύκινον κτλ.*

10 SIM. Theophr. de od. 30. 31. 42. 55; Apoll. (Ath. XV 388 e); Pl. XIII 5. 10. 14. XXI 163.

10 EXC. Aet. I s. v. *ἔλ. ἀμαρ.* (unde Nic. M. XVI 28); Paul. Aeg. VII 20 s. v. *ἀμαράκινον* cf. Gal. XIV 53. XII 570.

20 SIM. D. eup. II 109 (308) I 215 (206) I 213 (205) II 71 (285).

---

1 num. cap. *νζ* QDi: *ξβ΄* Dl *τε*] *τοῦ* Da *ἐλαίου* om. Gal. 2 *σχίνου* Gal. *καὶ νάρδου κελτ. καὶ καλάμου* Gal. 4 *συμπεριτριβομένων* Gal. 5 *καὶ* (pr.) om. FDa 6 *καὶ μετὰ ταῦτα*] *εἶτα* Gal. 7 *ἀνεκτικήν* Gal. 8 *ῥιγία* FDi: *ῥίγεα* Da *πάντα*] *πάθη* Di

10 num. cap. *νη* QDi: *ξγ΄* Dl 13 *κασσίᾳ* om. H *καρποβαλσάμου* HDi 14 *σμίγουσι* HDa *κιννάμωμον* HDiDa 15 *χρῆσιν* libri: corr. Sar. 21 *δακτύλου* libri: correxi coll. D. II 109 (308) *περίχριε καὶ τὸ δακτύλιον ἀμαρακίνῳ μύρῳ* 24 *νευρότρωτα καὶ μυότρωτα* HDiDaDl

τρωτα συμφέρει ἐν πιλήμασιν ἀραιοῖς βρεχόμενον καὶ ἐπιτιθέμενον.

3 τὸ δὲ μεγάλλειον καλούμενον πάλαι μέν ποτε ἐσκευάζετο, ἐκλέλοιπε δὲ νῦν. πρὸς ἐκπλήρωσιν δὲ τῆς ἱστορίας οὐκ ἔστιν ἄτοπον ἐπιμνησθῆναι καὶ τούτου. ⟨τούτου⟩ δὲ σκευασία ἡ αὐτὴ τῷ ἀμαρακίνῳ, πλεονάζει δὲ τῇ ῥητίνῃ καὶ ταύτῃ διαφέρει. ἔστι δὲ μαλακτικὸν ἠπίως. ἡ μέντοι ῥητίνη μείγνυται τοῖς μύροις οὔτε φυλακῆς οὔτε ἡδονῆς χάριν, χρώματος δὲ καὶ πάχους ἕνεκα. μείγνυται δὲ ἡ τερεβινθίνη ἀφεψομένη, ἄχρις ὅτου ἂν ἄοσμος γένηται. δηλωθήσεται δὲ ἐν τοῖς περὶ ῥητίνης (I 71) ἡ ἕψησις αὐτοῦ.

καὶ τὸ καλούμενον δὲ ἡδύχρουν, σκευαζόμενον δὲ ἐν Κῷ, τῆς αὐτῆς ἔχεται δυνάμεώς τε καὶ σκευασίας τῷ ἀμαρακίνῳ, εὐωδέστερον δὲ τυγχάνει.

59 σκευάζεται δὲ ἐν Αἰγύπτῳ μύρον, ἐπιχωρίως ὑπ᾽ αὐτῶν καλούμενον μετώπιον διὰ τὴν τῆς χαλβάνης μεῖξιν· τὸ γὰρ ξύλον, ἐξ οὗ γεννᾶται ἡ χαλβάνη, μέτωπον καλεῖται. δι᾽ ἀμυγδάλων δὲ πικρῶν καὶ ἐλαίου ὀμφακίνου καὶ καρδαμώμου καὶ σχοίνου καὶ καλάμου καὶ μέλιτος καὶ οἴνου καὶ σμύρνης καὶ βαλσάμου καρποῦ καὶ χαλβάνης καὶ ῥητίνης συντίθεται. δόκιμον δέ ἐστι τὸ βαρύοσμον καὶ λιπαρόν, ἐμφαῖνον μᾶλλον τοῦ καρδαμώμου καὶ τῆς σμύρνης ἤπερ τῆς χαλβάνης.

2 σφόδρα δὲ θερμαίνει καὶ πυροῖ καὶ ἀναστομοῖ ἐπισπᾶταί τε καὶ καθαίρει ἕλκη, πρός τε νεῦρα καὶ μύας διακοπέντα ποιεῖ,

---

3 SIM. Theophr. de od. 30. 35. 42. 55; Apoll. (Ath. XV 689a) Pl. XIII 13.
3 EXC. Aet. I s. v. (unde Nic. M. XVI 27).
12 SIM. Gal. XIV 52. 306. 262.
15 Theophr. de od. 28sq. Apoll. (Ath. XV 668f.); Pl. XIII 8 (e S. N.); XV 26 D. eup. II 24 (236) cf. Erot. s. v. νίωπον (immo νέτωπον); Gal. XIX 71; Hes. s. v. νέτωπον.
15 EXC. Aet. I s. v. ἔλαιον μετώπιον (unde Nic. M. XVI 25); Paul. Aeg. VII 20 (f. 298); Zach. m. m. VI 10.

---

1 πιλώμασιν FDi: πυλώμασιν Da quae post ἐπιτιθέμενον add. Spr. libri non habent 3 mg. add. περὶ μεγαλίου (num. cap. om.) Di μεγάλιον FDiDa: correxi coll. Ath. XV 690 f 5 τούτου addidi ἡ σκευασία Da 9 ἄχρις ὅτου ἂν F: ἄχρις ἂν reliqui 12 mg. add. περὶ ἡδύχρου Di ἐν τῇ αἰγύπτῳ H
15 num. cap. $\overline{\nu\vartheta}$ QDi: ξδ′ Dl δὲ] καὶ Di ἐν αὐτῇ H 17 μέτωπον FZach.: μετώπιον reliqui, cf. D. III 83 δι᾽ ἐλαίου ὀμφακίνου καὶ ἀμυγδάλων πικρῶν Spr. Aetio duce 18 καὶ (tert.) om. Di 19 σχίνου Di Aet. l. s. Zach. l. s.: σχίνου τε καὶ Di ῥητίνης i. e. τερεβινθίνης 24 τε (pr.) om. QDa τε (alt.) om. Da διακοπέντας F

ὑδροκήλας τε σὺν σηπταῖς. μείγνυται δὲ καὶ μαλάγμασι καὶ κηρωταῖς, πρός τε ῥίγη καὶ ὀπισθοτονικῶς σπωμένους χρησιμεύει. κινεῖ δὲ καὶ ἱδρῶτας καὶ ἀναστομοῖ τὰ περὶ ὑστέραν καὶ σκληρίας τὰς περὶ αὐτὴν χαλᾷ, καὶ καθόλου μαλακτικὴν ἔχει τὴν δύναμιν.

καὶ τὸ Μενδήσιον δὲ λεγόμενον ἔκ τε βαλανίνου ἐλαίου 3
καὶ σμύρνης καὶ κασσίας καὶ ῥητίνης σκευάζεται. ἔνιοι δὲ μετὰ τὸν κατασταθμισμὸν κινάμωμον μικρὸν προσεμβάλλουσιν ἀνωφελῶς· οὐκ ἐκδίδωσι γὰρ τὰ μὴ συνεψηγμένα τὴν δύναμιν. ἐμφερῆ δὲ ἔχει τὴν ἐνέργειαν τῷ μετωπίῳ, ἥττονα μέντοι καὶ οὐχ οὕτως ἐπιτεταμένην.

60 στακτὴ δὲ καλεῖται τῆς προσφάτου σμύρνης τὸ λιπαρόν, κεκομμένης μεθ' ὕδατος ὀλίγου ἀποτεθλιμμένης τε δι' ὀργάνου. εὐώδης δὲ λίαν καὶ πολυτελής ἐστι [καὶ] καθ' ἑαυτὴν οὖσα μύρον τὸ καλούμενον στακτή. δόκιμος δέ ἐστιν ἡ ἀμιγὴς ἐλαίου καὶ ἐν ἐλαχίστῳ πλείστην δύναμιν κεκτημένη, οὖσαν θερμαντικήν, ἀναλογοῦσαν τῇ σμύρνῃ καὶ τοῖς θερμαίνουσι τῶν μύρων.

61 κιναμώμινον δὲ ἔκ τε ἐλαίου βαλανίνου καὶ στυμμάτων ξυλοβαλσάμου, καλάμου, σχοίνου, ἡδυσμάτων δὲ κινα-

6 SIM. Pl. XIII 4. 5. 8; Gal. XIX 70.

6 EXC. Aet. I s. v. *ἔλαιον Μενδήσιον* (= Nic. M. XVI 26); Paul. Aeg. VII 18 (f. 291) Zach. m. m. VI 10 (123).

12 SIM. Theophr. de od. 29. 44; Pl. XIII 17 cf. XII 68; Ath. XV 688c. 689b sq.

12 EXC. Orib. XII s. v. (*στακτὴ — μύρων*); Orib. t. V 78 D. s. v. *σμύρνα στακτή*; Aet. I s. v.; Zach. m. m. VI 10 (123).

19 SIM. Pl. XIII 15 (e S. N.).

1 *συνσήπει* F: *συσσήπει* Zach. l. s.: *σὺν σηπταῖς* reliqui 2 *ὀπισθοτονικοὺς καὶ σπωμένους* DlZach. l. s. 6 mg. add. *περὶ μενδησίου* Di: nov. cap. (*ξε'*) inc. Dl *τε* H: *τοῦ* reliqui, cf. D. I 61 7 *μετὰ τὸν* om. Q (spatio relicto) 9 *γὰρ*] *δὲ* Da *συνεψημένα* libri: *συνεψηγμένα* Ald. cf. Paul. Aeg. l. s. 10 *καὶ — ἐπιτεταμένην* om. HDiDa

12 num. cap. *ξ̅* QDi: *ξϛ̅* Dl *τῆς* om. Di *μυρίνης* Orib. (corr. O²) 13 *ἀποτεθλιμμένου* QDiDa: *ἀποτεθλιμμένης* Orib.Aet.Zach. 14 *δὲ* Orib.: *τε* libri *πολ. οὖσα καὶ καθ' ἑαυτὴν μύρον καλούμενον* Act. *καὶ* (alt.) om. Orib.: seclusi (dittogr.) *οὖσα καθ' αὑτὴν* Orib. *αὑτὴν* H 15 *οὖσαν* Di *τὸ καλούμενον* om. Orib. *ἡ*] *ὁ* F 16 *ἐλαίῳ* libri: *ἐλαίου* Act.Orib. V 78 Zach.: correxi *πλείστην — μύρων* om. Da *οὖσα θερμαντική, ἀναλογοῦσα* H *οὖσαν* om. Orib.Aet.

19 num. cap. *ξ̅α̅* QDi: *ξζ'* Dl *κιναμώμινον* F: *κινναμώμινον* reliqui *τε* libri: *τοῦ* Spr. 20 *καλάμου* om. H *δὲ*] *τε* H: om. Da

μώμου, βαλσάμου καρποῦ, σμύρνης τετραπλασίονος παρὰ τὸ κινάμωμον σκευάζεται· μείγνυται δὲ καὶ μέλι εἰς τὴν φύρασιν. δόκιμον δέ ἐστι τὸ μὴ δριμύ, μαλακὸν δὲ τῇ ὀσμῇ καὶ παρεμφαῖνον σμύρνης, παχύ τε καὶ εὐῶδες ἄγαν, τῇ γεύσει πικρόν. τὸ γὰρ τοιοῦτον οὐκ ἐκ ῥητίνης ἀλλ' ἐκ σμύρνης ἔχει τὸ πάχος· ἡ γὰρ ῥητίνη οὐ προσδίδωσι πικρίαν οὐδὲ εὐωδίαν.

δύναμιν δὲ ἔχει σφόδρα δριμεῖαν καὶ θερμαντικὴν καὶ
2 πικράν. ἀναστομοῖ γοῦν θερμαῖνον καὶ διαφορεῖ καὶ διαχεῖ καὶ ἐπισπᾶται ὑγρὰ καὶ πνεύματα· ἔστι δὲ καρηβαρικόν. ποιεῖ δὲ καὶ πρὸς τὰ περὶ μήτραν σὺν ἐλαίῳ διπλασίονι καὶ κηρῷ καὶ μυελῷ. οὕτως γὰρ ἀποβάλλει τὸ πολὺ τῆς δριμύτητος καὶ γίνεται μαλακτικόν· ἄλλως γὰρ συγκαίει καὶ σκληρύνει βιαιότατα πάντων τῶν παχέων μύρων. ποιεῖ καὶ πρὸς σύριγγας καὶ σῆπας ἐναργῶς καὶ πρὸς ὑδροκήλας καὶ ἄνθρακας καὶ γαγγραίνας σὺν καρδαμώμῳ, πρός τε ῥίγη τὰ περιοδικὰ καὶ πρὸς τρόμους καὶ τοὺς ὑπὸ τῶν ἰοβόλων θηρίων δακνομένους ἐν συγχρίσματι, ἐπίθεμά τε σκορπιοπλήκτοις καὶ φαλαγγιοδήκτοις σὺν ὀλύνθοις λείοις.

62 νάρδινον δὲ μύρον ποικίλως σκευάζεται διὰ τοῦ μαλαβαθρίνου φύλλου καὶ δίχα τούτου. ὡς τὸ πολὺ δὲ μείγνυται τῷ βαλανίνῳ ἐλαίῳ ἢ ὀμφακίνῳ, πρὸς μὲν τὴν στύψιν τοῦ ἐλαίου σχοῖνος, πρὸς δὲ τὴν εὐωδίαν βάλλεται κόστος, ἄμωμον, νάρδος, σμύρνα, βάλσαμον. ἔστι δὲ χρηστὴ ἡ λεπτή, μὴ δριμεῖα, ἔχουσα τὴν εὐωδίαν τῆς ξηρᾶς νάρδου ἢ ἀμώμου.

δύναμις δὲ αὐτῆς λεπτυντική, δριμεῖα, σμηκτική, θερμαντική. ὑγρὰ δέ ἐστι καὶ οὐ γλοιώδης, ἐὰν μὴ ῥητίνην ἔχῃ. σκευ-

---

19 SIM. Theophr. de od. 28. 33. 38. 42; Pl. XIII 15 (c S. N.); Aet. I s. v. Zach. m. m. VI 10 (105) cf. Gal. X 791; Apoll. (Ath. XV 688c).

---

1 *καρ^π* F *σμύρνης τε* (dittogr.) Di 3 *μὴ* om. Da 4 *ἄγαν δὲ* Spr. 8 *γοῦν*] *γὰρ* Da *θερμαίνουσα* libri: corr. Sar. 10 *κηρωτῇ* Da: *cerae* Dl 11 *οὕτως* F: *οὕτω* reliqui 12 *συσκληρύνει* Da *βιαιότατον βιαιοτα*(*τ* supcr-scr.) F (var. lect.): *βιαιότατα* om. Di 13 *σηπτὰς* Q: *σήπτας* Da: *σῆπτας* Di: corr. Sar. coll. D. I 58, Erot. 114, 15 14 *ἄνθρακας ἐναργῶς* F 16 *ἀπὸ* libri: correxi *θηρίων* om. H 18 *λείοις* libri: *παρατετριμμένοις* Spr.

19 num. cap. $\overline{ξβ}$ QDi: *ξη´* Dl *δὲ* om. HDiDa *μαλαβάθρου φύλλα* Da: *μαλαβαθρίνου μύρου* H: *μαλαβαθρίνου* Spr., at cf. Dl *conficitur cum folio malabatri et sine isto miscetur* (*foliatum* a Pl. l. s. appellatur) 21 *ἐλαίῳ*] *μύρῳ* H 22 *βάλλεται* FDl: om. reliqui *κόστος* om. H *νάρδον* HDiDa 23 *σμύρνα* om. Da *χρηστὴ* i. e. *νάρδος* (unguentum nardinum) 25 *αὐτῇ* HDa post *σμηκτική* add. *ἀραιωτικὴ ὑγρῶν* DiDa 26 *οὐ* om. Da

ἄζεται δὲ καὶ λιτὴ δι' ὀμφακίνου ἐλαίου καὶ σχοίνου καὶ καλάμου καὶ κόστου καὶ νάρδου.

63 τὸ δὲ μαλαβάθρινον ἔχει μὲν στύμματα ἃ καὶ ἡ νάρδος, σμύρνης δὲ πλεῖον· διὸ καὶ γίνεται θερμαντικόν, ἀναλογοῦν τῷ κροκίνῳ καὶ ἀμαρακίνῳ τὴν δύναμιν.

64 σμύρνα δάκρυόν ἐστι δένδρου γεννωμένου ἐν Ἀραβίᾳ, ὁμοίου τῇ Αἰγυπτιακῇ ἀκάνθῃ, οὗ ἐγκοπτομένου ἀπορρεῖ τὸ δάκρυον εἰς ὑπεστρωμένας ψιάθους, τὸ δὲ τῷ στελέχει περιπήγνυται. καὶ λέγεται δὲ αὐτῆς ἡ μέν τις πεδιάσιος λιπαρά, ἧς πιεζομένης ἡ στακτὴ λαμβάνεται, ἡ δέ τις Γαβιρέα λιπαρωτάτη ἐν εὐγείοις καὶ λιπαροῖς τόποις γεννωμένη, ἣ καὶ πολλὴν ἀνίησι τὴν στακτήν. πρωτεύει δὲ ἡ Τρωγλοδυτική, καλουμένη ἀπὸ τῆς γεννώσης αὐτὴν χώρας, ὑπόχλωρος οὖσα καὶ δηκτική, διαυγής· λέγεταί τις καὶ λεπτή, μετὰ τὴν Τρωγλοδυτικὴν ἐναριθμουμένη, ἐνάπαλος οὖσα ὡς τὸ βδέλλιον, ὑπόβρωμος τῇ ὀσμῇ, ἐν εὐηλίοις τόποις γεννωμένη. ἡ δέ τις καυσαλὶς λεγο- 2
μένη ὑπέρωρος, μέλαινα, κάτοπτος, ἡ δὲ χειρίστη ἐν ἁπάσαις ἐργασίμη καλεῖται, ψαφαρὰ καὶ ἀλιπής, δριμεῖα, κομμίζουσα

---

3 SIM. Pl. XIII 14 cf. XII 129.

6 SIM. Theophr. h. pl. IX 4, 3 sq. de od. 21. 29. 32; Pl. XII 66 sq. (e Iuba); Strab. XVI 782; [Arr.] peripl. m. E. 24.

6 EXC. Orib. XII s. v. (*σμύρνα — ἄχρηστος, γίνεται δὲ καὶ — αὐτά*); Orib. t. V 77 D. (unde Aet. II 196); Gal. XII 127 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.); Isid. XVII 8, 4 (cf. Sol. 33, 149 M.); Gal. XIV 68.

---

3 num. cap. ξγ QDi: ξθ' Dl 4 *πλεῖον* Q: *πλέον* reliqui 5 post *δύναμιν* ex Aet. I s. v. *ἔλ. ἰασμέλαιον* add. Di cap. *ξγ' περὶ ἰασμίνου· ἡ δὲ καλουμένη ἰάσμη παρὰ Πέρσαις σκευάζεται ἐκ τῶν ἀνθῶν τῶν λευκῶν τοῦ ἰοῦ, τούτων οὐγγίων β' ἐμβαλλομένων Ἰταλικῷ ξέστῃ σησαμίνου ἐλαίου καὶ ἀμειβομένων ἤγουν ἀλλασσομένων ὡς ἐπὶ τοῦ κρινίνου εἴρηται. ἡ δὲ τούτου χρῆσις παρὰ τὰς ἑστιάσεις εὐωδίας ἕνεκα παρὰ Πέρσαις παραλαμβάνεται. ἁρμόζει δὲ καὶ ὅλῳ τῷ σώματι κατὰ τὰ λουτρὰ ἐπὶ τῶν θερμασίας καὶ χαλάσεως δεομένων σωμάτων. βαρυτέραν δὲ ἔχει τὴν εὐωδίαν, ὡς πολλοὺς αὐτῆς μηδὲ* (*μὴ* p) *ἡδέως ἀντιλαμβάνεσθαι*

6 num. cap. ξδ QDi: cap. om. Dl 7 *ὅμοιον* Orib.Di *ἐκκοπτομένου* Da 8 *ὑπεστρωμένους* Orib. *ἐπὶ τῷ στελέχει* Orib.Di *περιπηγνύμενον κάλλιον* Orib. 9 *καὶ λέγεται*] *καλεῖται* Orib. *δὲ* om. HDiDa *τις*] *τῆς* F *πεδιάσιμος* Di 10 *πιεζουμένης* Orib. *σάβιρα* Orib.: *γαβιρέα* reliqui: *ἀβειρμιναία* [Arr.] l. s.: *Γαβιραία* coni. Muell. (GGM I 275) 11 *ἥτις* Orib. 12 *τὴν* om. QDa 13 *οὖσα* post *δηκτική* colloc. Di: *καὶ διαυγὴς οὖσα* (om. *δηκτική*) Orib. 14 *συλλέγεται* HDiDa fort. *δέ τις* *ἀριθμουμένη* Orib.Di 15 *ἐνάπαλλος* Hp *οὖσα* om. Orib.FDiDa 16 *καύσαλις* Orib.: *καυκαλὶς* reliqui: correxi coll. Hes. s. v. *καυσαλίς· ἡ μέλαινα καὶ ὑπέρυθρος* (fort. *ὑπέρωρος*)

τῇ ὄψει καὶ τῇ δυνάμει, καὶ ἡ Μιναία δὲ καλουμένη ἀποδόκι-
μος. καὶ πιέσματα δὲ ἐξ αὐτῶν γίνεται, ἀπὸ μὲν τῶν λιπαρῶν
εὐώδη καὶ λιπαρά, ἀπὸ δὲ τῶν ξηρῶν ἀλιπῆ καὶ οὐκ εὐώδη,
ἄτονα δὲ διὰ τὸ προσειληφέναι ἔλαιον εἰς τὴν ἀνάπλασιν.
δολίζεται δὲ κόμμει βραχέντι σμύρνης ἀποβρέγματι καὶ μειγνυ-
3 μένῳ. ἐκλέγου δὲ τὴν νέαν, ψαθυράν, κούφην, ὁμόχρουν πάντα-
χόθεν καὶ τὴν ἐν τῷ θλασθῆναι ἔνδοθεν λευκὰς ὀνυχοειδεῖς
ἔχουσαν διαφύσεις λείας, μικρόβωλον δὲ καὶ πικράν, εὐώδη,
δριμεῖαν, θερμαντικήν. ἡ δὲ βαρεῖα καὶ τῇ χρόᾳ πισσώδης
ἐστὶν ἄχρηστος.

δύναμιν δὲ ἔχει θερμαντικήν, καρωτικήν, κολλητικήν, ξηραν-
τικήν, στυπτικήν· μαλάσσει δὲ καὶ μήτραν μεμυκυῖαν καὶ ἀνα-
στομοῖ, ἄγει δὲ καὶ ἔμμηνα καὶ ἔμβρυα συντόνως σὺν ἀψινθίῳ
ἢ θέρμων ἀποβρέγματι ἢ πηγάνου χυλῷ προστεθεῖσα. λαμ-
βάνεται δὲ ἀντὶ καταποτίου μέγεθος κυάμου πρὸς βῆχα χρόνιον
καὶ ὀρθόπνοιαν καὶ πλευρᾶς πόνον καὶ θώρακος, ῥύσιν τε κοι-
4 λίας καὶ δυσεντερίαν. λύει δὲ καὶ ῥίγη πρὸ δύο ὡρῶν τῆς
ἐπιβολῆς μετὰ πεπέρεως καὶ ὕδατος τὸ μέγεθος κυάμου πο-
θεῖσα, ἀρτηρίας τε τραχύτητα καὶ δασυσμοὺς φωνῆς ἀποκαθί-
στησιν ὑποτιθεμένη τῇ γλώττῃ καὶ ἀποχυλιζομένη. κτείνει δὲ
καὶ ἕλμινθας καὶ πρὸς δυσωδίαν στόματος διαμασᾶται, πρὸς
δὲ μασχαλῶν μετὰ στυπτηρίας ὑγρᾶς διαχρίεται. σὺν οἴνῳ δὲ
καὶ ἐλαίῳ διακλυζομένη ὀδόντας καὶ οὖλα κρατύνει· κολλᾷ δὲ
καὶ τὰ ἐν τῇ κεφαλῇ τραύματα ἐπιπασσομένη, καὶ τὰ τεθλα-
σμένα ὦτα καὶ ἐψιλωμένα ὀστᾶ ἰᾶται σὺν κοχλίου σαρκὶ ἐπι-
χριομένη, καὶ τὰ πυορροοῦντα τῶν ὤτων καὶ φλεγμαίνοντα σὺν

11 SIM. Cels. V 2. 8. D. eup. II 78 (292) II 31 (241) II 39 (252) II 47 (259) II 22 (235) I 84 (136 cf. Pl. XXV 175) I 113 (149) I 78 (133) I 162 (177) I 66 (126) I 60 (123) I 122 (154) I 96 (141) I 7 (97).

1 τῇ pr.] καὶ Orib. ἀμιννέα FDi: ἀμινέα Orib.: ἀμμινέα Da: ἀμηναία H: σμύρνη Ἀμιναία Gal. XII 834. 835. 867: correxi coll. Gal. XIV 68 ἔνιοι δ' αὐτὴν ὀνομάζουσι Μιναίαν ἀπὸ χωρίου, καθ' ὃ γεννᾶσθαί φασι τὴν καλλίστην cf. Foes. Oec. Hipp. s. v. ἀδόκιμος Di 2 πίεσμα Da 3 λιπαρά] πικρά Orib. (corr. O²) 4 ἄτονα δὲ Orib.: ἄτονος reliqui μὴ προσειληφέναι HDi: μὴ superscr. F (m. rec.?) 6 ψαφαράν Di 7 τὴν om. Orib.Di 8 δὲ] τε Orib.Di 9 ἡ δὲ — θερμαντικήν om. H 14 ἢ (pr.) Di: καὶ reliqui cf. D. eup. II 78 (292) 15 χρονίαν H 16 ῥύσιν F: λύσιν reliqui 17 δυσεντερίαν F: δυσεντερίας reliqui post δυσ. add. καὶ νεφριτικὰ ὡς τὸ βδέλλιον Spr.: om. libri post ῥίγη add. ἐπιπολὺ H: ἐπιπολὺ τεταρταῖα Spr. 18 τὸ om. H 21 ἕλμειθας F: fort. ἕλμεις 22 post μασχαλῶν add. πόνους HDiDa: at δυσωδίαν supple coll. D. eup. I 113 (149) διατίθεται Da 24 ἐπιπλασσομένη Da

μηκωνίῳ καὶ καστορίῳ καὶ γλαυκίῳ. πρὸς δὲ ἰόνθους μετὰ κασσίας καὶ μέλιτος ἐπιχρίεται, λειχῆνάς τε ἀποσμήχει σὺν ὄξει, καὶ τρίχας ῥεούσας μετὰ λαδάνου καὶ οἴνου καὶ μυρσινίνου καταχριομένη ῥώννυσι. πραύνει δὲ καὶ τοὺς χρονίους κατάρρους διαχριομένων πτερῷ τῶν μυξωτήρων· πληροῖ καὶ τὰ ἐν ὀφθαλμοῖς ἕλκη καὶ καθαίρει τὰ λευκώματα καὶ τὰ ἐπισκοτοῦντα ταῖς κόραις καὶ τραχώματα σμήχει. γίνεται δὲ καὶ λιγνὺς ἐξ αὐτῆς ὁμοίως τῇ ἐκ τοῦ λιβάνου, ὡς ὑποδείξομεν (I 68), *ἁρμόζουσα πρὸς τὰ αὐτά.*

65 *ἡ δὲ Βοιωτιακὴ σμύρνα ἐστὶ δένδρου τινὸς ἐν Βοιωτίᾳ γεννωμένου ῥίζα τετμημένη. ἐκλέγου δὲ τὴν ἐμφερῆ σμύρνῃ κατὰ τὴν εὐωδίαν. δύναμιν δὲ ἔχει θερμαντικήν, μαλακτικήν, διαλυτικήν· μείγνυται δὲ καὶ θυμιάμασι χρησίμως.*

66 *στύραξ δάκρυόν ἐστι δένδρου τινὸς ὁμοίου κυδωνίᾳ. διαφέρει δὲ αὐτοῦ ὁ ξανθὸς καὶ λιπαρὸς, ῥητινώδης, θρόμβους ἔχων ὑπολεύκους, ἐπιδιαμένων τῇ εὐωδίᾳ ὡς ὅτι πλεῖστον καὶ ἐν τῷ μαλάσσεσθαι ἀνιεὶς ὑγρασίαν τινὰ μελιτώδη. τοιοῦτος δέ ἐστιν ὁ Γαβαλίτης καὶ Πισιδιακὸς καὶ Κιλίκιος, φαῦλος δὲ ὁ μέλας καὶ ψαθυρὸς καὶ πιτυρώδης. εὑρίσκεται δὲ καὶ δάκρυον κόμμει ἐοικός, διαυγές, σμυρνίζον· ὀλίγον δὲ τοῦτο γεννᾶται. δολίζουσι δὲ αὐτὸ τοῖς ἐκ τοῦ δένδρου πρίσμασιν, ἅπερ ὑπὸ τῶν σκωλήκων ἀνατίτραται, μειγνυμένοις καὶ μέλιτι καὶ ἴριδος*

---

10 SIM. Theophr. h. pl. VII 6, 3.
10 EXC. Orib. XII s. v. *σμύρνα* (*ἡ δὲ — εὐωδίαν*); Gal. XII 127.
14 SIM. Theophr. h. pl. IX 7, 3; Strab. XII 570; Pl. XII 124 (ex Iuba); Pl. XXIV 24 (e S. N.).
14 EXC. Orib. XII s. v. (*στύραξ — ἄδολος, καίεται — λίβανος*); Orib. t. V 78 D., unde Aet. II 196; Gal. XII 131 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.); Isid. XVII 8, 5 (e D. lat.) cf. Gal. XIII 954 XIV 79.

---

2 *ἀποσμήχεται* F 4 *καταχριομένου* F 5 *διαχριομένη* libri: correxi coll. D. cup. I 7 (97)
10 num. cap. $\overline{\xi\varepsilon}$ QDi tit. *περὶ σμύρνης βοιωτικῆς* Di: *περὶ βοιωτιακῆς* (*βοιωτικῆς* H) Q *βοιωτική* HDi *δάκρυόν ἐστι* coni. Sar. 11 *ῥίζης τετμημένης* coni. Sar. 13 *διαχυτικήν* Gal. (vitio solemni) *θυμιώμασι* F
14 num. cap. $\overline{\xi\varsigma}$ QDi: *οα'* Dl 14 *τινὸς* om. Orib. *κυδωνέα* H: *κυδωνίω* Di 15 *λιπαρός*] *ῥυπαρός* Di 17 *ἀνεὶς* libri: correxi cf. Orib. V 78 D. 18 *καταβαλλίτης* H: *καταβαλίτης* Di: *κασταβαλίτης* F (*Γάβαλα* urbs Syriae cf. Str. XVI 753) *ὁ πισιδιακὸς* Orib. *ποσειδιακὸς* F: *πισσιδιακὸς* reliqui *λύκιος* Orib. 19 *ψαφαρὸς* Orib. *εὑρίσκεται — σμυρνίζον* om. mg. add. Orib. 21 *αὐτὸν* Orib. 22 *ἀνατίτραται* FOrib.: *ἀνατιτρᾶται* reliqui *μιγνυμένη* HDi: comp. scr. F *ἴριδι* H: *ἴρι* (*δ* superscr.) F: *ἴρεως* Di

2 ὑποστάθμη καὶ ἄλλοις τισίν. ἔνιοι δὲ κηρὸν ἢ στέαρ ἀρωματίσαντες συνεκμαλάσσουσιν ἐν τοῖς ὀξυτάτοις ἡλίοις τῷ στύρακι καὶ δι' ἠθμοῦ εὐρυτρήτου ἐκθλίβουσιν εἰς ὕδωρ ψυχρὸν ποιοῦντες σκωλήκια καὶ πωλοῦσι, σκωληκίτην ὀνομάζοντες. ἐγκρίνουσι δὲ οἱ ἄπειροι τὸν τοιοῦτον ὡς ἀκέραιον, οὐ προσέχοντες τῇ κατὰ τὴν ὀσμὴν εὐωδίᾳ· δριμὺς γὰρ λίαν ἐστὶν ὁ ἄδολος.

δύναμιν δὲ ἔχει θερμαντικήν, μαλακτικήν, πεπτικήν, ποιῶν πρὸς βῆχας, κατάρρους, κορύζας, βράγχους, ἀποκοπὴν φωνῆς,
3 ἤχους. ἁρμόζει καὶ πρὸς τὰς ἐν ὑστέρᾳ μύσεις καὶ σκληρίας, ἔμμηνά τε ἄγει πινόμενος καὶ προστιθέμενος, κοιλίαν τε κούφως μαλάττει καταπινόμενος ὀλίγος μετὰ ῥητίνης τερεβινθίνης· μείγνυται δὲ καὶ μαλάγμασι διαφορητικοῖς καὶ ἀκόποις χρησίμως. καίεται δὲ καὶ φώγνυται καὶ ὀπτᾶται καὶ αἰθαλοῦται ὡς λίβανος, ἁρμόζει τε ἡ αἰθάλη πρὸς ἃ καὶ ἡ τοῦ λιβάνου. τὸ δὲ ἐξ αὐτοῦ σκευαζόμενον χρῖσμα ἐν Συρίᾳ στυράκινον θερμαίνει καὶ μαλάττει ἰσχυρῶς· κεφαλαλγὲς μέντοι καὶ βαρὺ καὶ καρωτικὸν καθέστηκεν.

67 βδέλλιον — οἱ δὲ μάλδακον, οἱ δὲ βλόχον καλοῦσι — δάκρυόν ἐστι δένδρου Ἀραβικοῦ. δόκιμον δέ ἐστιν αὐτοῦ τὸ τῇ γεύσει πικρόν, διαυγές, ταυροκολλῶδες, λιπαρὸν διὰ βάθους καὶ εὐμάλακτον, ἀμιγὲς ξύλων καὶ ῥυπαρίας, εὐῶδες ἐν τῇ θυμιάσει, ἐοικὸς ὄνυχι. ἔστι δέ ⟨τι⟩ ῥυπαρὸν καὶ μέλαν, ἁδρόβωλον, πα-

---

7 Cels. V 5. 6. 11. 15 — Zop. (Orib. II 569) Pl. XXIV 24; D. eup. II 31 (242) — Pl. l. s. eup. I 93 (139) — Pl. l. s. — Pl. l. s. D. eup. II 71 (285) — Zop. (Orib. II 597) Pl. l. s. eup. II 78 (291) — Pl. l. s. eup. I 25 (106).

18 SIM. Pl. XII 35 sq. (ex Iuba); Aristob. (Arr. Anab. VI 22, 4) cf. Bretzl 282.

18 EXC. Orib. XI s. v. (*βδέλλιον — ἐστι*); Orib. t. V 70 D. (unde Aet. II 196); Isid. XVII 8, 6 (e D. lat.); Gal. XI 849 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.) XII 957.

---

2 *συμμαλάσσουσιν* Di 3 *καὶ σκωλήκια ποιοῦσιν* Orib. *ποιοῦντες* om. F: *σκωλήκια* om. H 4 post *ὀνομάζοντες* add. *στύρακα* Di 5 *οὐ προσέχοντες*] *ἀπέχοντες* Orib. 8 *καὶ κατάρρους* HDi (dittogr.) *ἀποκο*[π] *ἤχων* F: *ἀποκοπὴν φωνῆς* H: *ἀποκοπὰς φωνῆς* Di: correxi coll. Dl *raucedinem faucibus detergit, aurium tinnitus proibet*, cf. Pl. XXIV 24 10 *καὶ λίαν* F 14 *αἰθάλ*[ς] F 15 *τῇ Συρίᾳ* vulgo

18 num. cap. ξζ QDi: οβ' Dl syn. om. Orib. *μάδαλκον* libri: correxi coll. Pl. l. s. *alii maldacon* (ΜΑΔΑΛΚΟΝ = ΜΑΛΔΑΚΟΝ) *βλόχον* (sic) F: *βλοχὸν* reliqui: *brochon* Pl.: suspectum post *βλόχον* add. *οἱ δὲ ὅλοχον* (var. l.) F 19 *σαραβικοῦ* F: *σαρακηνικοῦ* reliqui *ἐστιν* om. Orib. 22 *ὄνυχι* i. e. odori unguis odorati *τι* addidi ex Orib.: *καὶ ἕτερον* H *παλαθῶδες* om. F, at cf. Pl. *nigrum vero et in offas convolutum hadrobolon*

λαθῶδες, κομιζόμενον ἀπὸ τῆς Ἰνδικῆς· φέρεται καὶ ἀπὸ τῆς Πέτρας ξηρόν, ῥητινῶδες, ὑποπέλιον, δευτερεῦον τῇ δυνάμει. δολοῦται δὲ μειγνύμενον κόμμει· τὸ δὲ τοιοῦτον οὐχ ὁμοίως πικραίνει τὴν γεῦσιν, ἔν τε τῇ ὑποθυμιάσει οὐχ οὕτως εὐῶδές ἐστι.

2 δύναμιν δὲ ἔχει θερμαντικήν, μαλακτικήν, διαλυτικὴν σκληριῶν καὶ βρογχοκηλῶν καὶ ὑδροκηλῶν ἐνεθὲν πτυέλῳ ἀσίτου. ἀναστομοῖ καὶ τὴν μήτραν προστιθέμενον καὶ ὑποθυμιώμενον· ἐφέλκεται δὲ καὶ τὰ ἔμβρυα καὶ πᾶσαν ὑγρασίαν. θρύπτει δὲ καὶ λίθους πινόμενον καὶ οὖρα ἄγει, βηχικοῖς τε καὶ θηριοδήκτοις ὠφελίμως δίδοται. ἀγαθὸν δὲ καὶ πρὸς ῥήγματα καὶ σπάσματα καὶ πλευρᾶς πόνον καὶ διαδρομὰς πνευμάτων. μίσγεται δὲ καὶ μαλάγμασι τοῖς ἁρμόζουσι πρὸς τὰς σκληρίας καὶ δέσεις τῶν νεύρων. κατεργάζεται δὲ κοπτόμενον παραχεομένου οἴνου ἢ ὕδατος θερμοῦ.

68 λίβανος· γεννᾶται μὲν ἐν Ἀραβίᾳ τῇ λιβανωτοφόρῳ καλουμένῃ, πρωτεύει δὲ ὁ ἄρρην, καλούμενος σταγονίας, στρογγύλος φυσικῶς· ἔστι δὲ ὁ τοιοῦτος ἄτομος λευκός τε καὶ θλασθεὶς ἔνδοθεν λιπαρὸς ἐπιθυμιαθείς τε ταχέως ἐκκαιόμενος. ὁ δὲ Ἰνδικὸς ὑπόκιρρός τέ ἐστι καὶ πελιὸς τῇ χρόᾳ, γίνεται δὲ καὶ κατὰ τὴν ἐπιτήδευσιν στρογγύλος· τέμνοντες γὰρ αὐτὸν εἰς τετράγωνα σχήματα καὶ βάλλοντες εἰς κεράμια κυλίουσιν, ἕως ἂν ἀπολάβῃ τὸ στρογγύλον σχῆμα· χρόνῳ δὲ ὁ τοιοῦτος ξανθοῦται, Συάγριος καλούμενος. δευτερεύει δὲ ὁ ὀροβίας καὶ ὁ

---

5 SIM. Cels. V 4. 5. 15; D. eup. I 158 (175) II 70 (284) II 78 (290) II 111 (309) II 109 (308) H 115 (316).

15 SIM. Theophr. h. pl. IX 1, 6. 4, 1. 2. 5sq. Pl. XII 55sq. (ex Iuba?), unde Sol. 149, 5sq. Strab. XVI 782 (cf. Meyer bot. Erl. 130).

15 EXC. Orib. XI s. v. *λιβανωτός* (*γεννᾶται — λοιπὰ μέρη*); Orib. t. V 74 D., unde Aet. II 196; Gal. XII 60 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.); Isid. XVII 8, 2. 3 (e Pl. et Diosc. cf. Sol. 148, 5sq.); Sim. S. s. v. (62 L.).

---

1 *κομίζεται δὲ καὶ* Orib. 2 *πετραίας* Orib. *ξηρόν* om. Orib. 3 *δὲ* (pr) om. Orib. *μιγνυμένου κόμεως* Orib. *τοιοῦτο* Orib. 4 *θυμιάσει* Orib. *ἐστι* om. Orib. 6 *βρογχοκηλῶν καὶ σκληριῶν* p *σιάλῳ τοῦ πάσχοντος νήστεως μαλαχθὲν καὶ ἐπιτεθέν* D. eup. I 158 (175) 9 *ἄγει οὖρα* H 10 *καὶ* (alt.) om. HDi 11 *καὶ* (pr.) om. H 13 *δὲ* om. H

15 num. cap. $\overline{ξη}$ QDi: *ογ´* Dl *λιβανωφόρῳ* H: *λιβανοτοφόρῳ* FDi, cf. Strab. XVI 782 (extr.), [Arr.] per. m. E. 27 16 *σταγωνίας* H, cf. Pl. XII 62: *σταγονίας — τοιοῦτος* om. Orib. (at cf. Orib. V 74) 17 *ἄτμητος* Orib.: *atomum* Pl. l. s. 19 *τέ* om. FOrib. *τὴν χρόαν* HOrib. 20 *κατ᾽ ἐπιτήδευσιν* Orib. 23 *ἄτομος ἢ σύαγρος* Di: ante *σύαγρος* spat. rel. H *σίαγρος* F: *σύαγρος* reliqui: correxi, ab emporio Arabico vocatur (cf. *κασσία Μοσυλῖτις*), de quo cf. [Arr.] per. m. E. 30. Salm. Pl. ex. 509, D. ed. Spr. II 377 *ἀρραβίας* FDi: *ἀραβίας* H: *ὀρόβιος* Orib.: *orobias* Pl.: corr. Marc. *καὶ — καλοῦσι* om. Orib.

σμιλιωτός, ὃν ἔνιοι κοπίσκον καλοῦσι, μικρότερον καὶ κιρρό-
2 τερον ὄντα. λέγεται δέ τις καὶ ἀμωμίτης, ἄλλως μὲν λευκός,
ἐν δὲ τῷ μαλάσσεσθαι ἐνδιδοὺς ὡς μαστίχη. δολοῦται δὲ πᾶς
λίβανος τῇ πιτυίνῃ ῥητίνῃ μεθοδευομένῃ καὶ κόμμει. εὐχερὴς
δὲ ἡ διάγνωσις· τὸ μὲν γὰρ κόμμι οὐκ ἐκφλογοῦται θυμιώμενον,
ἡ δὲ ῥητίνη εἰς καπνὸν ἐκτυφοῦται, ὁ μέντοι λιβανωτὸς ἐξά-
πτεται· δηλοῖ δὲ καὶ ἡ ὀσμὴ τὸ τοιοῦτο.

δύναται δὲ στύφειν, θερμαίνειν, ἀποκαθαίρειν τὰ ἐπισκο-
τοῦντα ταῖς κόραις καὶ τὰ κοῖλα τῶν ἑλκῶν πληροῦν καὶ ἀπου-
λοῦν καὶ κολλᾶν τὰ ἔναιμα τραύματα, αἱμορραγίαν τε πᾶσαν
καὶ τὴν ἐκ μηνίγγων ἐπέχειν. παρηγορεῖ καὶ τὰ περὶ δακτύλιον
καὶ τὰ λοιπὰ μέρη κακοήθη ⟨ἕλκη⟩ ἔμμοτος λεῖος σὺν γάλακτι,
καὶ τὰς ἐν ἀρχῇ μυρμηκίας καὶ λειχῆνας σὺν ὄξει καὶ πίσσῃ
3 καταχριόμενος αἴρει. καὶ τὰ πυρίκαυντα δὲ [ἕλκη] καὶ χίμετλα
ἰᾶται σὺν στέατι χηνείῳ ἢ χοιρείῳ, ἀχῶρας δὲ σὺν νίτρῳ σμώ-
μενος ἰᾶται, παρωνυχίας τε σὺν μέλιτι ⟨καὶ⟩ ὤτων θλάσεις σὺν
πίσσῃ· πρὸς δὲ τὰ λοιπὰ ἀλγήματα τῶν ὤτων σὺν οἴνῳ γλυκεῖ
ἐγχεόμενος, μαστούς τε τοὺς ἀπὸ τοκετῶν φλεγμαίνοντας σὺν
κιμωλίᾳ καὶ ῥοδίνῳ καταχριόμενος ὠφελεῖ. μείγνυται δὲ καὶ
τοῖς πρὸς ἀρτηρίαν ὠφελίμως καὶ τοῖς σπλαγχνικοῖς φαρμά-
κοις, αἱμοπτυικούς τε ὠφελεῖ πινόμενος. μανιώδης δέ ἐστι
πινόμενος ὑπὸ τῶν ὑγιαινόντων· πλείων δὲ μετ' οἴνου ποθεὶς
καὶ κτείνει.

4 καίεται δὲ λίβανος ἐπ' ὀστράκου καθαροῦ τεθεὶς ὑφαπτό-
μενός τε χόνδρῳ ἀναφθέντι ὑπὸ λύχνον, ἄχρι ἂν ἐκκαῇ. δεῖ δὲ
μετὰ τὴν τελείαν καῦσιν πωματίζειν τινί, μέχρι ἂν οὗ σβεσθῇ·

8 SIM. Cels. V 2; D. eup. I 162 (177) — Cels. V 1; eup. I 109 (203) I 219 (208) I 161 (176) I 176 (185) I 178 (187) I 181 (190) I 105 (146) I 191 (194) I 57 (121) I 25 (106).

24 EXC. Orib. XI s. v. *λιβανωτός* (*καίεται — κατακεκαυμένος*).

1 *ἐν ἀμήλω* H: *ἐνσμίλωτος* F: *ἐν σμίλῳ* Di: *μιλιωτός* cod. Salm.: corr. Salm. l. s. *μικρότατος καὶ κιρότατος* (sic) *ὢν* Orib. 2 *δέ* om. Orib. *ἀμωμίτις* Orib. 3 *μασᾶσθαι* Orib. *πᾶσα* Orib. 4 *μεθοδευόμενος* HDi: om. Orib. 6 *μέντοι*] *δὲ* Di *λίβανος* Di 7 *τοιοῦτον* Orib. 8 *θερμαίνειν στύφειν* Di 9 *κατουλοῦν* p 10 *καὶ* om. Orib.Di *κολλᾶν τε* (om. *τὰ*) Di 11 *ἐπέχει* H *καὶ παρηγορεῖ* Orib. 12 *ἕλκη* e v. 14 huc transposui (e mg. alieno loco in text. irr.) 15 *χηνείῳ ἢ χοιρείῳ* Q: *χοιρείῳ ἢ χηνείῳ* Di: *χηνείῳ ἢ* fort. del. coll. Dl *combustis et pregnonibus cum absungia porcina medetur*: *σὺν στέατι ἀρκείῳ* D. eup. I 181 (190) post *νίτρῳ* add. *καὶ ὕδατι* D. eup. I 105 (146) 16 *καὶ* addidi 21 *δέ*] *τε* H 22 *ὑπὸ* vulgo: *ἐπὶ* libri *πλείω* F 24 quae sec. om. Dl *ὁ λίβανος* Orib. 25 *καὶ ἀναφθέντι* Orib. *ἀπὸ* Orib. *ἄχρις ἂν* Hv 26 *πωματίζειν* F: *πωμάζειν* reliqui *τινί* om. Orib.Di *ἄχρι ἂν οὗ* Orib.: *μέχρι ἂν συσβεστῇ* (= *μέχρι ἂν οὗ σβ.*) F: *ἄχρις ἂν* reliqui

οὕτως γὰρ οὐκ ἐκτεφροῦται. ἔνιοι δὲ καὶ περιτιθέασι τῷ λοπαδίῳ ἀγγεῖον χαλκοῦν κοῖλον, κατατετρημένον μέσον, εἰς ἔκληψιν τῆς λιγνύος, ὡς ὑποδείξομεν ἐν τῷ περὶ αἰθάλης λιβάνου λόγῳ (64, 5). οἱ δὲ εἰς ὠμὴν χύτραν βαλόντες καὶ περιπλάσαντες πηλῷ καίουσιν ἐν καμίνῳ. φώγνυται δὲ ἐπ' ὀστράκου καινοῦ καὶ ἀνθράκων διαπύρων, ἕως οὗ μηκέτι πομφολυγίζῃ μηδὲ λιπαρίαν τινὰ ἢ ἀτμίδα ἀνιῇ. θρύπτεται δὲ εὐχερῶς [μὴ] κατακεκαυμένος.

φλοιὸς δὲ λιβάνου διαφέρει ὁ παχὺς καὶ λιπαρὸς καὶ 5
εὐώδης, πρόσφατος, λεῖος, καὶ μὴ λεπρώδης ἢ ὑμενώδης. δολοῦται δὲ μειγνυμένου αὐτῷ φλοιοῦ στροβιλίνου ἢ πιτυίνου. ἔλεγχος δὲ καὶ τούτων τὸ πῦρ· οἱ μὲν γὰρ λοιποὶ θυμιαθέντες οὐκ ἀνάπτονται, καπνιζόμενοι δὲ δίχα εὐωδίας ἐκτυφοῦνται, ὁ μέντοι τοῦ λιβάνου φλοιὸς ἀνάπτεται καὶ μετ' εὐωδίας ἐκθυμιᾶται. καίεται δὲ καὶ οὗτος ὡς καὶ ὁ λίβανος.

δύναμιν δὲ ἔχει ἣν καὶ ὁ λίβανος, ἐνεργέστερος ὢν καὶ στυπτικώτερος, ὅθεν ποθεὶς αἱμοπτυικοῖς μᾶλλον καὶ ῥοικοῖς ἁρμόζει ἐν προσθέτῳ· ποιεῖ καὶ πρὸς οὐλὰς ⟨τὰς⟩ ἐν ὀφθαλμοῖς καὶ κοιλώματα καὶ ῥυπαρίας. φωχθεὶς δὲ καὶ πρὸς ψωροφθαλμίας ποιεῖ.

μάννα δὲ λιβάνου δόκιμός ἐστιν ἡ λευκὴ καὶ καθαρά, 6
ἔγχονδρος. δύναμιν δὲ ἔχει ἣν καὶ ὁ λιβανωτός, ὑπανειμένην δὲ μᾶλλον. μίσγουσι δὲ ἔνιοι δολίζοντες αὐτὴν ῥητίνην πιτυίνην σεσησμένην καὶ γῦριν ἢ φλοιὸν λιβανωτοῦ κεκομμένον. ἐλέγχει δὲ καὶ ταῦτα τὸ πῦρ· οὔτε γὰρ κατ' ἴσον καὶ ἰσοτόνως θυ-

9 EXC. Orib. XI s. v. (φλοιὸς — λίβανος); Orib. t. V 74.
21 Orib. XI s. v. λιβανωτός (μάννα — ἀποφοράν); cf. Gal. XVII A 359; X 322.
21 SIM. Pl. XII 62.

1 οὕτω HDi (de F non constat) οὐκ om. Orib.Di ἔνιοι — καμίνῳ om. Orib. καὶ om. Di 2 κατὰ μέσον τετρημένον Di εἰς] πρὸς Di 4 κύθραν Q: χύτραν Di βαλλόντες F: βάλλοντες reliqui: correxi περιπλάσσοντες HDi 6 ἕως ἂν Di οὗ om. Orib.Di 7 τινὰ om. Orib. ἀνείη Orib. μὴ seclusi Sar. duce 9 nov. cap. ($\overline{ξη}$) περὶ φλοιοῦ λιβάνου inc. Di: mg. add. περὶ φλοιοῦ λιβάνου H: post c. 63 transp. Dl (num. cap. ο') δὲ om. FDiOrib.V 74 καὶ (alt.) om. Orib. 10 μηδὲ πυρώδης Orib. ἢ om. Orib. ὑμενοειδής Orib. 12 λειποθυμηθέντες Q 13 ἐκτύφονται Orib.Di 14 φλοιὸς τοῦ λιβάνου Orib. ἀνάπτεται Orib.: ἅπτεται QDi 15 ὡς λιβανωτός Orib. 18 τὰς addidi 21 nov. cap. περὶ μάννης λιβάνου ($\overline{ξη}$) inc. Di: οδ' Dl 22 καὶ om. Orib. ὑπανειμένως Orib.HDi: comp. scr. F *cui virtus est similis libanotidi et paulo fortius* Dl, cf. Gal. l. s. 23 αὐτὴν om. HDi 24 σεσησμένην om. Orib. γύλιν Orib. (mg. γύριν add. m. rec.) λιβάνου Orib. ἐλέγξει Orib. 25 ἐκθυμιαθήσεται Orib.

μιαθήσεται ἀερίζοντι τῷ ἀτμῷ, ἀσβολώδει δὲ καὶ οὐ καθαρῷ, ἥ τε εὐωδία μεικτὴν ἔχει τὴν ἀποφοράν.

7 αἰθάλην δὲ λιβανωτοῦ ποίει οὕτως· λαβιδίῳ καθ' ἕνα χόνδρον τοῦ λιβάνου ἅπτων προστιθεὶς λύχνῳ ἐπιτίθει εἰς κοῖλον λοπάδιον ὀστράκινον καινόν, εἶτα περικάλυψον χάλκωμα ἔγκοιλον, τετρημένον κατὰ μέσον καὶ ἐσμηγμένον ἐπιμελῶς, ὑποτίθει τε κατὰ τὸ ἕτερον αὐτοῦ μέρος ἢ ἀμφότερα λιθάρια ὕψει τετραδακτυλιαῖα, πρὸς τὸ διαφαίνειν εἰ καίεται καὶ ἵνα χώρα ᾖ ὑποτιθέναι ἑτέρους χόνδρους ἀεί, πρό ⟨τε⟩ τοῦ τὸν πρῶτον χόνδρον παντελῶς σβεσθῆναι ἕτερον προσυποτίθει, ἕως ἂν αὐτάρκη λιγνὺν δόξῃς συναγηοχέναι. συνεχῶς μέντοι σπόγγῳ ἐξ ὕδατος ψυχροῦ περίμασσε τὰ ἐκτὸς μέρη τοῦ χαλκώματος· οὕτως γὰρ προσκαθίζει πᾶσα λιγνὺς μὴ ἄγαν αὐτοῦ πυρουμένου, ἐπεὶ ἀποπίπτουσα διὰ τὴν κουφότητα μείγνυται τῇ τοῦ

8 λιβάνου σποδῷ. ἀποψήσας οὖν τὴν πρώτην λιγνὺν ποίει τὸ αὐτὸ ἐφ' ὅσον ἂν δοκῇ, ἀναιροῦ δὲ καὶ τὴν ἐκ τοῦ κατακαέντος λιβάνου σποδὸν ἰδίᾳ.

δύναμιν δὲ ἔχει πραυντικὴν τῶν ἐν ὀφθαλμοῖς φλεγμονῶν, σταλτικὴν τῶν ῥευμάτων, ἀνακαθαρτικὴν ἑλκῶν, πληρωτικὴν κοιλωμάτων, σταλτικὴν καρκινωμάτων.

---

3 EXC. Orib. XI s. v. *λιβανωτός* (*αἰθάλην — λάμβανε*); Aet. I s. v. *λιβανωτός*; Gal. XII 61.
18 SIM. D. eup. I 189 (193).

---

1 *σἀρίζοντι* (sic) F *δὲ*] *τε* Orib. 2 *τε*] *δὲ* Orib.: *καὶ τῇ εὐωδίᾳ* H *ἕξει* Orib.
3 nov. cap. (*ξη̅*) *περὶ αἰθάλης λιβάνου* inc. Di: om. Dl: *περὶ αἰθάλης λιβάνου* mg. add. H *οὕτως* F: *οὕτω* reliqui *καθ'* om. Orib. 4 *προστιθεὶς λύχνῳ* Q: *πρὸς λύχνον* Di: *εἰς λύχνον* Orib.: *ἀπὸ λύχνου* Aet. *ἐντίθει* Orib. 5 *κοῖλον*] *καινὸν* H *καινόν*] *κενόν* H *περικάθαψον* Orib. 6 *τετριμμένον* H *καὶ ἐσμηγμένον* om. Orib. ad rem cf. p. 63 v. 4 7 *ὑποτίθει* Aet.: *ἐπιτίθει* Q: *ὑποτίθεις* (sic) Orib.: *ὑποθεὶς* Di *τε* QOrib.: *δὲ* Aet.: om. Di *μέρος*] *χεῖλος* Orib.Di: *κατὰ τὰ ἀμφότερα χείλη τοῦ πώματος* Aet. *ἢ εἰς* Di 8 *τῷ ὕψει* Orib. *τετραδάκτυλα* Orib. 9 *ὑποτιθέναι* HOrib.Aet.: *ὑποτίθεται* F: *ὑποτίθεσο* Di *ἕτερον χόνδρον* HAet. post *χόνδρους* add. *ἀδροὺς* Orib. *ἀεί*] *εἶτα* Di *τε* addidi 10 *ἀποσβεσθῆναι παντελῶς* Di *προσυποτιθεὶς* F: *προσεπίθεις* Orib.: *προσεπιτίθει* Di: correxi 11 *δόξῃς αὐτάρκη* Orib.: *αὐτάρκη δόξῃς* H *συναγιοχέναι* F: *συναγηωχέναι* H: *συναγειοχέναι* Orib. *συνεχῶς*] *πυκνῶς* Orib. 13 *οὕτω* HDiAet. *προσκαθίσει* Orib.Aet. *ἡ λιγνὺς* Orib.Aet. 14 *ἐκ τοῦ* Orib. (corr. pr. m.) 15 post *λιγνὺν* add. *πτερῷ* Aet.: fort. recte 16 *κατακαέντος* F: *καέντος* reliqui 17 *κατ' ἰδίαν* Aet. post *ἰδίᾳ* add. *κρείττων δὲ ἡ λιγνύς* Aet. 19 *τῶν* F: om. reliqui

τὸν αὐτὸν τρόπον σκευάζεται καὶ ἐκ τῆς σμύρνης καὶ ἐκ τῆς ῥητίνης καὶ ἐκ τοῦ στύρακος λιγνύς. ἁρμόζουσι δὲ πρὸς τὰ αὐτά. καὶ ἐκ τῶν λοιπῶν δὲ δακρύων ὁμοίως τὴν λιγνὺν λάμβανε.

69 πίτυς γνώριμον δένδρον. ἔστι δὲ τοῦ αὐτοῦ γένους
καὶ ἡ λεγομένη πεύκη, εἴδει διαφέρουσα. ἀμφοτέρων δὲ ὁ
φλοιὸς στυπτικός, ἁρμόζων πρός τε παρατρίμματα λεῖος κατα-
πλασσόμενος καὶ πρὸς τὰ ἐπιπόλαια τῶν ἑλκῶν καὶ κατακεκαυ-
μένα σὺν λιθαργύρῳ καὶ μάννῃ. ἀναλημφθεὶς δὲ κηρωτῇ μυρ-
σίνῃ ἀπουλοῖ τὰ ἐπὶ τῶν τρυφεροχρώτων ἕλκη καὶ τὰ ἑρπυστικὰ
ἐπέχει μετὰ χαλκάνθου λεῖος, ἔμβρυά τε καὶ δεύτερα [ὑστέρα]
ὑποθυμιαθεὶς ἐκβάλλει, κοιλίαν τε ποθεὶς ἐφίστησι καὶ οὖρα
κινεῖ. καὶ τὰ φύλλα δὲ αὐτῶν καταπλασθέντα λεῖα φλεγμονὰς 2
παρηγορεῖ καὶ τραύματα ἀφλέγμαντα διατηρεῖ, λειανθέντα δὲ
καὶ ἑψηθέντα ἐν ὄξει διακλυζόμενα θερμὰ ὀδονταλγίας πραΰνει·
ἁρμόζει δὲ καὶ ἡπατικοῖς τῶν φύλλων ὁλκὴ μία σὺν ὕδατι ἢ
μελικράτῳ ποθεῖσα. ποιεῖ δὲ τὰ αὐτὰ καὶ ὁ τῆς στροβίλου
φλοιὸς καὶ τὰ φύλλα ποθέντα, καὶ τὸ ἐξ αὐτῶν δὲ δᾳδίον σχι-
σθὲν εἰς λεπτὰ καὶ συνεψηθὲν ὄξει ὀδονταλγίας παύει κρατου-
μένου τοῦ ἀφεψήματος κατὰ τοῦ πεπονθότος ὀδόντος, καὶ
σπάθη δὲ ἐξ αὐτῶν γίνεται εἰς ἀκόπων σκευασίαν καὶ πεσσῶν
ἐπιτήδειος. ἡ δὲ ἐξ αὐτῶν λιγνὺς καιομένων ἐκλαμβάνεται πρὸς 3
μέλανος γραφικοῦ κατασκευήν, ποιοῦσα καὶ πρὸς καλλιβλέφαρα
καὶ κανθοὺς βεβρωμένους πρός τε πτίλα βλέφαρα καὶ ὀφθαλ-
μοὺς δακρύοντας.

πιτυΐδες δὲ καλοῦνται ὁ καρπὸς τῶν πιτύων καὶ τῆς πεύκης ὁ εὑρισκόμενος ἐν τοῖς κώνοις. δύναμιν δὲ ἔχουσι

5 SIM. Pl. XXIV 28; D. eup. I 178 (188) I 182. 183 (190) I 170 (182) II 79 (292) II 112 (312) I 69 (127) II 58 (270) II 58 (271).
5 EXC. Gal. XII 103 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.) cf. Isid. XVII 7, 31.
26 SIM. Pl. XV 36.
26 EXC. Gal. XII 102 (unde Paul. Aeg. VII 3 s. v.).

1 ξη´· περὶ λιγνύος Di αὐτὸν δὲ Di ἡ ἐκ Orib. καὶ (alt.) — ῥητίνης om. Orib. 2 ἡ ἐκ Orib. 3 ἐκ om. Orib. ὁμοίως om. H
5 num. cap. ξθ QDi: ος´ Dl 7 φλοιός ἐστι Di 8 κεκαυμένα HDi 11 χαλκάνθης F, at cf. Dl *calcantum mixtum*, D. eup. I 170 (182) πίτυος φλοιοῦ <β´ μετὰ χαλκάνθου <α´ σὺν κηρωτῇ (sc. ἕρπητας ὠφελεῖ) ὑστέρα delevi (dittogr.) 12 θυμιαθεὶς libri: correxi 14 λειωθέντα H 15 καὶ διακλυζόμενα H: διακλυζόμενα θερμὰ post πραΰνει colloc. Di 18 δαλίον F 19 ἑψηθὲν σὺν Di παύει] πραΰνει H 21 ἐξ αὐτῶν om. H σκευασίας H: σκευασίαν comp. scr. F 26 καὶ τῆς πεύκης delebat Math. 27 ὁ om. F ταῖς H

στυπτικήν, θερμαίνουσαν πως· βοηθοῦσι δὲ βηξὶ καὶ τοῖς περὶ θώρακα πάθεσι καθ' ἑαυτὰς καὶ μετὰ μέλιτος λαμβανόμεναι.

4 *στρόβιλοι δὲ καθαροὶ ἐσθιόμενοι ἢ μετὰ γλυκέος καὶ σικύου σπέρματος πινόμενοι οὐρητικοί, ἀμβλυντικοὶ τῶν περὶ κύστιν καὶ νεφροὺς δριμυτήτων· παρηγοροῦσι δὲ καὶ στομάχου δηγμοὺς μετὰ ἀνδράχνης χυλοῦ λαμβανόμενοι, ἐξερείδουσί τε ἀτονίαν σώματος καὶ τὰς τῶν ὑγρῶν διαφθορὰς ἐξαμβλύνουσιν. ὅλοι δὲ οἱ στρόβιλοι ἀπὸ δένδρου πρόσφατοι θλασθέντες καὶ ἑψηθέντες ἐν γλυκεῖ ἁρμόζουσι παλαιαῖς βηξὶ καὶ φθίσεσι, τοῦ ἐξ αὐτῶν ὑγροῦ καθ' ἑκάστην ἡμέραν λαμβανομένου κυάθων τὸ πλῆθος τριῶν.*

70 *σχῖνος δένδρον γνώριμον, στυπτικὸν ὅλον· καὶ γὰρ ὁ καρπὸς αὐτῆς καὶ τὸ φύλλον καὶ ὁ φλοιὸς τῶν κλάδων καὶ τῆς ῥίζης ἰσοδυναμεῖ. γίνεται δὲ καὶ χύλισμα ἐκ τοῦ φλοιοῦ καὶ τῆς ῥίζης καὶ τῶν φύλλων ἑψομένων σὺν ὕδατι ἐφ' ἱκανόν, εἶτα μετὰ τὸ ψυγῆναι τῶν φύλλων ῥιπτομένων, τοῦ ὕδατος δὲ πάλιν ἑψομένου ἄχρι μελιτώδους συστάσεως.*

ποιεῖ δὲ στῦφον πρὸς αἵματος ἀναγωγὰς καὶ ῥύσεις κοιλίας καὶ δυσεντερίας πινόμενον, καὶ πρὸς τὰς ἐκ μήτρας αἱμορραγίας καὶ προπτώσεις ὑστέρας καὶ δακτυλίου, καὶ καθόλου ἀντὶ ἀκακίας καὶ ὑποκιστίδος ἔνεστιν αὐτῷ χρῆσθαι· καὶ ὁ

2 *χυλὸς δὲ τῶν φύλλων ἐκθλιβέντων τὰ αὐτὰ ποιεῖ. καὶ τὸ ἀφέ-*

---

4 SIM. Diphil. (Ath. II 57 c) Mnesith. (Ath. l. s); Pl. XXIII 142 sq. D. eup. II 112 (312) II 1 (226) II 38 (251).

4 EXC. Gal. XII 55 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.); Sim. S. s. v. *κωνάρια* (51 L).

13 SIM. Theophr. h. pl. IX 9, 1; Pl. XII 72; XXIV 42 sq. (e S. N.).

13 EXC. Orib. XII s. v. (*σχῖνος — συστάσεως*); Gal. XII 135 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.); Isid. XVII 7, 51·

19 SIM. Pl. XXIV 42 sq. D. eup. II 69 (283) II 82 (293) I 200 (197).

---

1 *στυπτικήν*] *πεπτικήν* Spr., at cf. Dl *virtus ei stiptica*, Gal. XII 102 2 *αὐτὰς* Fv 4 tit. *περὶ στροβίλων· ξθ'* add. Di *καὶ*] *ἢ* HDl 6 *στομάχων* H 7 *ἐξαίρουσι* Di 9 *δένδρου* F: *δένδρων* reliqui *καὶ ἑψηθέντες* om. F: post *γλυκεῖ* coll. Di: correxi coll. Dl *strobili virides cocti in dulcore* 11 *καὶ τοῦ* Di *ἡμέραν* om. Spr.

13 num. cap. $\bar{o}$ QDi: *οζ'* Dl *σχοῖνος* Q 14 *καὶ τῆς ῥίζης* om. H 15 *ἰσοδυναμοῖ* Di *καὶ* (alt.) om. Orib. 16 *ἑψημένων* HDi 17 *ψυγῆναι* Orib.: *ἑψηθῆναι* reliqui: *cum friguerit* Dl *τοῦ δὲ* Orib. 18 *μέχρι* vulgo 19 *δὲ* om. H *στύφων* QDi: correxi 20 *πινόμενος* Spr.: *πινόμενον* comp. scr. F 22 *ὑποκυστίδος* F: *ὑποκισθίδης* p

ψῆμα δὲ αὐτῶν καταντλούμενον τὰ ἀσυμπλήρωτα πληροῖ καὶ τὰ ἀπώρωτα πωροῖ ὀστέα καὶ τὰς ἐκ μήτρας ῥύσεις στέλλει καὶ τῶν νομῶν ἀποτρεπτικὸν καὶ οὐρητικόν ἐστιν· ἵστησι δὲ καὶ σειομένους ὀδόντας διακλυζόμενον. τὰ δὲ ξυλάρια χλωρὰ ἀντὶ καλαμίδων παρατριβόμενα τοῖς ὀδοῦσι σμήχει τούτους. γίνεται δὲ καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ ἔλαιον στυπτικόν, ἁρμόζον πρὸς τὰ στύψεως δεόμενα.

γεννᾶται δὲ καὶ ῥητίνη ἐξ αὐτῆς, καλουμένη σχινίνη, 3
ὑπ' ἐνίων δὲ μαστίχη, χρησιμεύουσα πρὸς αἵματος ἀναγωγὰς καὶ πρὸς παλαιὰν βῆχα πινομένη. ἔστι δὲ εὐστόμαχος, ἐρευκτική· μείγνυται δὲ καὶ σμήγμασιν ὀδόντων καὶ ἐπιχρίσμασι προσώπου στιλβοποιοῦσα, ἀνακολλᾷ δὲ καὶ τρίχας ἐν ὀφθαλμοῖς, στόματός τε εὐωδίας παρασκευαστική ἐστι διαμασωμένη καὶ οὔλων σταλτική. γεννᾶται δὲ καλλίστη καὶ πλείστη ἐν Χίῳ τῇ νήσῳ. διαφέρει δὲ αὐτῆς ἡ λαμπυρίζουσα καὶ Τυρρηνικῷ κηρῷ ὁμοία τῇ λευκότητι, ἁδρὰ καὶ καπυρὰ καὶ εὔθρυβής, εὐώδης, ἡ δὲ χλωρὰ ἥττων. δολοῦται δὲ λιβάνῳ καὶ ῥητίνῃ στροβιλίνῃ μειγνυμένη.

71 τέρμινθος γνώριμον δένδρον, ἧς τὰ φύλλα καὶ ὁ καρπὸς καὶ ὁ φλοιὸς στυπτικὰ ὄντα ἁρμόζει πρὸς ἃ καὶ ἡ σχῖνος, σκευαζόμενα ὁμοίως καὶ λαμβανόμενα. ὁ δὲ καρπὸς αὐτῆς ἐστιν ἐδώδιμος, κακοστόμαχος, θερμαντικός, οὐρητικός. ἔστι δὲ ἄριστος πρὸς ἀφροδίσια, σὺν οἴνῳ δὲ ποθεὶς πρὸς φαλαγγίων δήγματα ἁρμόζει.

---

8 SIM. Pl. XIV 122; XXIV 36. 43 (e S. N.); D. eup. II 30 (240) II 31 (242) I 76 (132) I 110 (149) I 53 (117) I 79 (134).

8 EXC. Orib. XII s. v. (*ῥητίνη — μειγνυμένη*); Gal. XII 113; Isid. XVII 7, 71. 8, 7.

19 Theophr. h. pl. III 15, 3 (unde Pl. XIII 54); Pl. XXIV 27 (e S. N.); D. eup. II 96 (300) II 121 (320).

19 EXC. cf. Gal. XII 137; Isid. XVII 7, 52.

---

2 *ἀπόρωτα* F *ποροῖ* F 5 *ἀντὶ ἐπὶ* F (var. lectio) *καλαμίδος* H: *καλαμίδ'* F ad rem cf. Mart. XIV 22, 1 6 cf. D. I 41 8 tit. *περὶ ῥητίνης σχινίνης* add. Di *ῥητίνη γίνεται ἐκ τῆς σχίνου ἡ καλουμένη σχινίνη* (*σχινίνη* superscr.) Orib. *σχινίνη* (*σχοινίνη* H) *καλουμένη* HDi 9 *χρησιμεύουσα — σταλτική* om. Orib. 10 *ἐρευτική* H 13 *εὐωδίαν ποιεῖ διαμασσωμένη* Di 14 *οὔλων ἐστὶ* Di *γεννᾶται — μειγνυμένη* om. Dl 16 *τῷ* H *πυρρὰ* Orib. Di *καὶ* (alt.) om. Orib. *καὶ εὐώδης* Di 17 *ἧττον* F *λιβάνου καὶ ῥητίνης στροβιλίνης μιγνυμένων* H *στροβιλίνῃ* om. Di: *στροβιλίνῳ* Orib. 18 *μιγνυμένη αὐτῇ* Di

19 num. cap. *οα* QDi: *οη'* Dl *καὶ ὁ φλοιὸς καὶ ὁ καρπὸς* F, at cf. Dl *folia semen et corium*

ἡ δὲ ἐξ αὐτῆς ῥητίνη κομίζεται μὲν ἐξ Ἀραβίας τῆς ἐν
Πέτρᾳ, γεννᾶται δὲ καὶ ἐν Ἰουδαίᾳ καὶ Συρίᾳ καὶ ἐν Κύπρῳ
καὶ ἐν Λιβύῃ καὶ ἐν ταῖς Κυκλάσι νήσοις, ἣ δὴ καὶ διαφέρει
διαυγεστέρα οὖσα, λευκή, ὑελίζουσα τῷ χρώματι [καὶ κυανίζουσα],
2 εὐώδης, τερμίνθου πνέουσα. προάγει δὲ πασῶν τῶν ῥητινῶν
ἡ τερμινθίνη καὶ μετὰ ταύτην ἡ σχινίνη, εἶτα ἡ πιτυίνη καὶ
ἐλατίνη, μεθ᾽ ἃς ἀριθμοῦνται ἥ τε πευκίνη καὶ ἡ στροβιλίνη.
ἔστι δὲ πᾶσα ῥητίνη θερμαντική, μαλακτική, διαλυτική,
ἀνακαθαρτική, βῆξιν ἁρμόζουσα καὶ φθίσεσιν ἐν ἐκλεικτοῖς
καθ᾽ ἑαυτὴν ἢ μετὰ μέλιτος, ἀνακαθαίρουσα καὶ τὰ ἐκ θώρα-
κος. ἔστι δὲ καὶ οὐρητικὴ καὶ πεπτικὴ κοιλίαν τε μαλάσσει,
ἔν τε ἀνακολλήσει τριχῶν ἁρμόζει τῶν ἐν βλεφάροις, καὶ πρὸς
λέπρας σὺν ἰῷ χαλκοῦ καὶ χαλκάνθῳ καὶ νίτρῳ, πρός τε τὰ
ἰχωρορροοῦντα ὦτα σὺν μέλιτι καὶ ἐλαίῳ καὶ πρὸς κνησμὸν
3 αἰδοίου. μείγνυται δὲ καὶ ἐμπλάστροις καὶ μαλάγμασι καὶ ἀκό-
ποις, καὶ πλευροῦ ἀλγήμασι βοηθεῖ καθ᾽ ἑαυτὴν ἐπιχρισθεῖσα
καὶ ἐπιτιθεμένη.

γίνεται δὲ ῥητίνη ὑγρὰ πιτυίνη καὶ πευκίνη, κομιζόμεναι
ἀπὸ Γαλλίας καὶ Τυρρηνίας· καὶ ἀπὸ Κολοφῶνος ⟨δὲ⟩ πάλαι ποτὲ

---

1 SIM. Theophr. h. pl. IX 1, 6. 2, 1sq.; Pl. XIV 122. XVI 38sq. 54. XXIV 32sq. (e S. N.).

1 EXC. Orib. XII s. v. (*διαφέρει — στροβιλίνη, γίνεται — λιβάνου*); Orib. t. V 77; Gal. XII 113 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.); Isid. XVII 7, 71 (e Dl.) cf. Gal. XIII 955.

5 TEST. Gal. XIII 589: *δόξει δέ τις ἡμῖν διαφέρεσθαι κατὰ τὸν περὶ ῥητινῶν λόγον Διοσκουρίδην τὸν Ἀναζαρβέα γράψαντα τήνδε τὴν ῥῆσιν ἐν τῷ πρώτῳ περὶ ὕλης· ʻπροάγει δὲ πασῶν τῶν ῥητινῶν ἡ τερμινθίνη καὶ μετὰ ταύτην ἡ σχινίνη, εἶτα ⟨ἡ⟩ πιτυίνη καὶ ἐλατίνη, μεθ᾽ ἃς ἀριθμοῦνται ἥ τε πευκίνη καὶ ἡ στροβιλίνη.ʼ*

8 SIM. Cels. V 4. 5. 6; Pl. XXIV 32sq. D. eup. II 32 (245) II 39 (253) II 112 (312) I 128 (157) I 60 (123) I 35 (248).

---

1 *μὲν καὶ* F (dittogr.?)   3 *ἡ* Spr.   4 *ὑαλίζουσα* Orib.Di   *καὶ κυανίζουσα* om. Orib.Dl: seclusi (var. lectio)   5 *τερμίνθου δὲ* Orib : fort. recte   *ποιοῦσα* F   *προέχει* H   *δ᾽ ἁπασῶν* Orib.   *τῶν* om. Orib.   6 *σχοινίνη* F   7 *ἡ ἐλατίνη* Di   *τε* om. Spr.   8 *θερμαντικὴ καὶ* (ditt.) H: *μαλακτική, θερμαντική* Di   *διαχυτική* libri: correxi (vitio sollemni cf. D. III 84, 2), ad rem cf. Dioclis frg. 140   11 *καὶ λίαν δὲ* F (*κοιλίαν* corr. pr. m.?): mg. add. m. rec. *σημειωτέον· τοῦτο τὸ φάρμακόν ἐστι εὔθετον πρὸς λέπρας*   12 *τε* om. H   14 *ἰχωρορροοῦντα* Fv: *ἰχωρροοῦντα* p: *ἰχωρορροῦντα* H   16 *πλευρᾶς* Di   17 *καὶ*] *ἡ* vulgo   18 nov. cap. *οβʹ περὶ ῥητίνης κολοφωνίας* incip. Di: *οθʹ* Dl   *κομιζομένη* Orib.: *κομιζόμεναι* (ut videtur) reliqui   19 *Γαλλία ἐντὸς Ἄλπεων χώρα* Steph. B. s. v.   *δὲ* addidi e H

ἐκομίζετο, ἔνθεν καὶ τὴν ἐπωνυμίαν ἔσχε Κολοφωνία κληθεῖσα, καὶ ἀπὸ Γαλατίας τῆς πρὸς ταῖς Ἄλπεσιν, ἣν ἐπιχωρίως οἱ τῇδε ἔνοικοι λάρικα ὀνομάζουσιν, ἐξόχως ποιοῦσα πρὸς τὰς χρονίους βῆχας ἐν ἐκλεικτῷ καθ᾽ ἑαυτήν. διάφοροι δέ εἰσι τῷ χρώματι καὶ αὗται· ἡ μὲν γάρ τίς ἐστι λευκὴ ἡ δὲ ἐλαιώδης ἡ δὲ μέλιτι ἔοικεν ὥσπερ ἡ λάριξ. γίνεται δὲ καὶ κυπαρισσίνη 4 ῥητίνη ὑγρά, ἥτις ποιεῖ πρὸς τὰ αὐτά. τῆς μέντοι ξηρᾶς ἡ μέν τίς ἐστι στροβιλίνη ἡ δὲ ἐλατίνη ἡ δὲ πευκίνη ἡ δὲ πιτυίνη. ἐκλέγου δ᾽ ⟨ἐκ⟩ πασῶν τὴν εὐωδεστάτην καὶ διαυγῆ καὶ μὴ καπυρὰν καὶ μὴ κάθυγρον, κηροειδῆ δὲ καὶ εὔθρυπτον. διαφέρει δὲ αὐτῶν ἡ πιτυίνη καὶ ἐλατίνη· εὐώδεις τε γάρ εἰσι καὶ λιβανίζουσαι. κομίζονται δὲ διάφοροι ἐκ Πιτυούσης τῆς νήσου, ἥτις κεῖται κατὰ τὴν Σπανίαν. ἡ δὲ πευκίνη καὶ στροβιλίνη καὶ κυπαρισσίνη ἐνδεέστεραί τέ εἰσι καὶ οὐχ ὁμοίαις κέχρηνται ταῖς δυνάμεσι, παραλαμβάνονται δὲ πρὸς ὅσα καὶ ἐκεῖναι. ἡ μέντοι σχινίνη ἀναλογεῖ τῇ τερμινθίνῃ.

καίεται δὲ πᾶσα ῥητίνη ὑγρὰ ἐν τετραπλασίονι ἀγγείῳ 5 κατὰ τὸ τοῦ ἐγχεομένου ὑγροῦ πλῆθος· δεῖ γὰρ χοῦν μὲν τῆς ῥητίνης, δύο δὲ χοέας ὀμβρίου ὕδατος ἐμβαλόντας εἰς χαλκεῖον ἕψειν ἐπ᾽ ἀνθράκων πραέως, διηνεκῶς κινοῦντας, ἄχρις οὗ ἄνοσμος γένηται καὶ εὔθρυπτος καὶ καπυρά, ὡς ⟨μὴ⟩ τοῖς δακτύλοις εἴκειν, λοιπὸν δὲ ψύξαντας εἰς κεραμεοῦν ἀγγεῖον ἀκώνη-

17 EXC. Aet. I s. v. *ῥητίνη* (*καίεται — βλέφαρα*); Gal. XII 62 s. v. *λιγνύς* (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

1 *προσωνυμίαν* Orib. *κληθεὶς* F 2 *γαλλίας* Orib. *τῆς*] *ταῖς* F 3 *τῆδε ἔνοικαι* (*οι* superscr.) Orib.: *τῆοδε ἔποικοι* reliqui (ut videtur) *λαρίκα* Orib : *δαλρικαὶ* F: *δαλακὰ* H, cf. Gal. XIII 955. 1011 *ποιοῦσαν* Orib. *καὶ πρὸς* H 4 *χρονίας* Orib., at cf D. II 153. IV 150 (saepius) *καὶ καθ᾽* HDi (dittogr.) 5 *καὶ αὗται τῷ χρ.* H *τίς* om. Orib. 6 *λάριγξ* Orib. *δὲ* (alt.) om. Orib. *καὶ* om. Q 7 *ῥητίνη* om. DiOrib. 8 *τίς* om. Di *ἡ δὲ* (pr.)] *καὶ* Di: *καὶ ἐλατίνη* Orib. (post *πιτυίνη* coll.) 9 *ἐκ* addidi ex Orib. *καὶ* (alt.) om. Orib. 10 *καὶ μὴ*] *μηδὲ* Orib.HDi *δὲ* om. Orib.: *τε* Spr. 11 *ἡ ἐλατινη* Orib. *τε* om. p 12 *πιτουήσης* Orib. 13 *σπανίαν* Orib.F: *ἱσπανίαν* reliqui 14 *τέ εἰσι* Orib.: *τέ* om. reliqui *ὁμοίως* H: *ὁμοίᾳ κέχρηνται τῇ δυνάμει* Orib. 15 post *δυνάμεσι* add. *ὡς ἐκεῖναι* Di *κἀκεῖνα* Orib. 17 tit. *πῶς δεῖ καίειν τὴν ῥητίνην* Aet. I s. v. 19 *ὀμβρίου ὕδατος*] *τοῦ ἐγχεομένου ὕδατος* Q: *aquae caelestis* Dl: *ὕδατος ὀμβρύου* Orib.: *τοῦ ὀμβρίου ὕδατος* Aet. cf. Pl. XVI 55 *resinae albae congium in duobus aquae pluviae cocunt* *ἐμβάλλοντας* Q: *βάλλοντας* Orib.: *βαλόντας* reliqui *χαλκεῖον*] *ἀγγεῖον* Di: *τῇ κακάβῃ* Aet. 20 *πράως* Orib.Di *ἄχρι ἄνοσμος* Orib.: *ἄχρις ἂν ἄνοσμος* Aet. 21 *γένηται* post *καπυρά* colloc. Orib. *καὶ ὡς* Di: *ὡς καὶ* Orib.: *ὥστε καὶ* Aet. *μὴ* add. Sarac. ex Aetio *ὥστε καὶ τοῖς δακτύλοις ἀποκλᾶσθαι* 22 *λεπτὸν* F *δὲ*] *δεῖ* Di *ψύξαντα* p

τον [τουτέστιν ἀπίσσωτον] ἀποτίθεσθαι. γίνεται δὲ ἐξόχως λευκή· δεῖ μέντοι προδινλίζειν πᾶσαν ῥητίνην τήκοντας, ἵνα χω-
6 ρισθῇ τὸ ῥυπῶδες αὐτῆς. καίονται δὲ καὶ δίχα ὕδατος ἐπ' ἀνθράκων κούφως τὸ πρῶτον· ὅταν δὲ μέλλωσι συστρέφειν, ἀθρόως [καὶ] πολλοὺς ὑποθετέον τοὺς ἄνθρακας καὶ ἑψητέον ἀδιαλείπτως ἐπὶ ἡμέρας καὶ νύκτας τρεῖς, ἄχρι ἂν τὸ προειρημένον ἰδίωμα ἀπολάβωσιν· ἀποτίθεσο δέ, ὡς εἴρηται. τὰς μέντοι ξηρὰς ἀρκέσει δι' ὅλης ἡμέρας ἑψήσαντας ἀποτίθεσθαι. εὐχρηστοῦσι δὲ αἱ κεκαυμέναι εἴς τε τὰ εὐώδη τῶν μαλαγμάτων καὶ ἄκοπα καὶ εἰς χρωματισμοὺς μύρων. ἐκλαμβάνεται δὲ καὶ λιγνὺς ῥητίνης, ὥσπερ ἐπὶ τοῦ λιβάνου, ἥτις χρησιμεύει πρός τε καλλιβλέφαρα καὶ περιβεβρωμένους κανθοὺς καὶ μυδῶντα βλέφαρα καὶ δακρύοντας ὀφθαλμούς. γίνεται δὲ ἐξ αὐτῆς καὶ μέλαν, ᾧ γράφομεν.

72 πίσσα ἡ μὲν ὑγρά, ἣν ἔνιοι κῶναν καλοῦσι, συνάγεται μὲν ἐκ τῶν λιπαρωτάτων ξύλων πεύκης καὶ πίτυος· ἔστι δὲ καλὴ ἡ στίλβουσα καὶ λεία καὶ καθαρά.

ποιεῖ δὲ πρὸς θανάσιμα φάρμακα, φθισικούς, ἐμπυικούς, βῆχας, ἄσθματα, δυσανάγωγα τῶν ἐν θώρακι ὑγρῶν ἐκλειχομένη κυάθου πλῆθος μετὰ μέλιτος· ποιεῖ δὲ καὶ πρὸς τὰς τῶν παρισθμίων καὶ σταφυλῆς φλεγμονὰς καὶ συνάγχας διαχριομένη, καὶ πρὸς τὰ πυορροοῦντα ὦτα σὺν ῥοδίνῳ, πρός τε ἑρπετῶν δήγ-
2 ματα σὺν ἁλσὶ λείοις καταπλασσομένη. κηρῷ δὲ ἴσῳ μιγεῖσα λεπροὺς ὄνυχας ἀφίστησι, φύματά τε ὑστέρας καὶ σκληρίας δακτυλίου διαφορεῖ. σὺν κριθίνῳ δὲ ἑψηθεῖσα ἀλεύρῳ καὶ παι-

15 SIM. Pl. XVI 52 sq. XXIV 37 sq. (e. S. N.); D. eup. II 135 (326) II 38 (251) II 32 (245) II 39 (253) I 85 (136) I 88 (137) I 60 (123) I 130 (160) I 215 (206) I 221 (209) I 199 (196).

15 EXC. Orib. XII s. v. (*πίσσα — καθαρά*); Gal. XII 101 (unde Act. I s. v. Paul. Aeg. VII 3 s. v.); Isid. XVII 7, 72 cf. Gal. VIII 709. 629.

1 glossam delevi: om. Orib. *ἀποθέσθαι* Orib. 2 *προυλίζειν* Orib. *καὶ χωρίζον⟨τας⟩* Orib. 4 *συντρέχειν* Orib.Di (*υ* in ras.). 5 *ἀθρόους* Q *καὶ* (pr.) om. Orib.: seclusi *ὑποθετέον* post *ἄνθρακας* transpos. Orib. 6 *ἀδιαλείπτους* H *ἄχρι ἂν* FOrib : *ἄχρις ἂν* reliqui 7 *ἀπολάβωσιν* Orib.: *ἀπολλπωσιν* QDi 9 *εὐχρηστοῦσι — μύρων* om. Orib. 10 *λαμβάνεται* Orib. 11 *ἐπὶ*] *ἐκ* Orib. post *λιβάνου* add. *προείρηται* Act.: *ἐπαιωρουμένου κοίλου ἀγγείου* Orib. cf. Dl *eius resine fumus excipiendus est ut odorem turis accipi solet* 12 *καὶ* (pr.) — *βλέφαρα* om. H

15 num. cap. *οβ* QDi: *π'* Dl tit. *περὶ πίσσης* QDi *κῶν'* F: *κῶνον* reliqui: *cladonia* Isid. 16 *καὶ*] *ἢ* Orib. 21 *σταφυλῶν* H *κυνάγχας* F: *συνάγχας* reliqui: *sinanticis* Dl 22 *καὶ πρός τε* F: *καὶ πρὸς* reliqui: correxi 24 *φύματα* suspectum: *duritiastericas* Dl 25 *διαφέρει* F *δὲ ἀλεύρῳ ἑψηθ.* H

δὸς οὔρῳ χοιράδας περιρρήττει, μετὰ δὲ θείου ἢ πίτυος φλοιοῦ ἢ πιτύρων ἕρπητας ἐπέχει καταχριομένη, μάννῃ δὲ καὶ κηρωτῇ μιγεῖσα τὰς ὑποφορὰς παρακολλᾷ, πρός τε τὰς ἐν ποσὶ καὶ δακτυλίῳ ῥαγάδας ἁρμόζει καταχριομένη, πληροῖ τε τὰ ἕλκη καὶ ἀποκαθαίρει σὺν μέλιτι, σὺν σταφίδι δὲ καὶ μέλιτι ἄνθρακας καὶ σηπεδόνας περιχαράσσει· μείγνυται δὲ καὶ σηπταῖς χρησίμως.

3 γίνεται δὲ καὶ πισσέλαιον ἐκ τῆς πίσσης χωριζομένου τοῦ ὑδατώδους αὐτῆς. ἐφίσταται δὲ τοῦτο καθάπερ ὀρρός, καὶ ἐκλαμβάνεται δὲ ἐν τῇ ἑψήσει τῆς πίσσης ὑπεραιωρουμένου ἐρίου καθαροῦ, ὅπερ, ὅταν ἐκ τοῦ ἀναφερομένου ἀτμοῦ γένηται διάβροχον, ἐκθλίβεται εἰς ἀγγεῖον, καὶ τοῦτο γίνεται ἐφ᾽ ὅσον ἂν χρόνον ἡ πίσσα ἕψηται. ποιεῖ δὲ πρὸς ὅσα καὶ ἡ ὑγρὰ πίσσα· δασύνει δὲ καὶ ἀλωπεκίας καταπλασθὲν μετὰ κριθίνου ἀλεύρου. θεραπεύει δὲ τοῦτο καὶ ἡ ὑγρὰ πίσσα καὶ τὰ ἐπὶ τῶν κτηνῶν ἕλκη καὶ ψώρας ἐπιχριομένη.

4 γίνεται δὲ καὶ λιγνὺς ἐκ τῆς ὑγρᾶς πίσσης οὕτως· εἰς λύχνον καινὸν ἐλλυχνιασμένον ἀποδούς τι τῆς πίσσης ἅψον καὶ πωμάσας τὸν λύχνον καινῷ ἀγγείῳ κεραμεῷ κλιβανοειδεῖ, ἄνωθεν μὲν περιφερεῖ καὶ στενῷ, κάτωθεν δὲ τρήματα ἔχοντι, καθάπερ οἱ κλίβανοι, ἔα καίεσθαι· ὅταν δὲ ἀναλωθῇ τὸ πρῶτον ὑγρόν, ἄλλο ἐπίχεε, ἕως ἂν αἰθαλώσῃς λιγνὺν αὐτάρκη, καὶ χρῶ. δύναμιν δὲ ἔχει δριμεῖαν καὶ στυπτικήν. χρηστέον δὲ αὐτῇ εἰς καλλιβλέφαρα καὶ περίχριστα καὶ ὅπου μεμυδηκότα βλέφαρα τριχοφυῆσαι δεῖ, καὶ πρὸς ἀσθενέστερα καὶ μὴ δακρυρροοῦντα, ἔτι δὲ ἑλκώδη ὄμματα χρήσιμος.

---

8 SIM. Pl. XVI 52; XXIV 40 (e S. N.); D. eup. I 95 (141) I 41 (113).
8 EXC. Orib. XII s. v. *πίσσα* (*γίνεται — ἕψηται*, *γίνεται δὲ καὶ — χρῶ*) cf. Gal. XII 102.

---

2 *ἕρπητας* om. H *δὲ*] *τε* Q 4 *δακτυλίου* H: *δακτυλίοις* (comp. scr.) F: *ragadia pedum vel ani* Dl: *δακτύλοις* Spr. 5 *σταφίσι* H 6 *παραχαράσσει* F 8 mg. add. *οβ´· περὶ πισσελαίου* Di: nov. cap. *πα´* inc. Dl 9 post *ὀρρός* add. *γάλακτι* Di 10 *δὲ* om. Orib. 13 *χρόνον* om. Orib. *καὶ* om. H 14 *καταπλασθέντος* (comp. scr.) F: *καταχρισθὲν* H: *καταπλασσόμενον* Di: correxi 16 *καταχριομένη* H 17 mg. add. *οβ´· περὶ λιγνύος πίσσης* Di *γίνεται*] *συνάγεται* Orib. 18 *ἐλλελυχνιασμένον* Orib. *ἀποδούς* Orib.: *δούς* reliqui 19 *τὸν λύχνον* om. Orib. *καινῷ* om. Orib. *κεραμέῳ ἀγγείῳ* Orib. 20 *τρῆμα* libri: correxi coll. D. II 71 21 *πρότερον* Orib. 22 *τὸ πρὸς τὴν λιγνὺν αὔταρκες* Orib. 25 *μὴ* om. H 26 post *δὲ* add. *εἰς* HDi

5 ἡ δὲ ξηρὰ πίσσα ἑψομένης τῆς ὑγρᾶς γίνεται· καλεῖται δὲ αὕτη ὑπ᾽ ἐνίων παλίμπισσα. γίνεται δὲ αὐτῆς ἡ μέν τις ἰξώδης, βοσκὰς καλουμένη, ἡ δὲ ξηρά. ἔστι δὲ καλὴ ἡ καθαρὰ καὶ λιπαρὰ καὶ εὐώδης καὶ ὑπόκιρρος καὶ ῥητινώδης. τοιαύτη δέ ἐστιν ἡ Λυκιακὴ καὶ ⟨ἡ⟩ Βρυττία, δύο φύσεων ἐχόμεναι, πίσσης ἅμα καὶ ῥητίνης. δύναμιν δὲ ἔχει θερμαντικήν, μαλακτικήν, πυοποιόν, διαφορητικὴν φυμάτων καὶ φυγέθλων καὶ πληρωτικὴν ἑλκῶν. μείγνυται δὲ καὶ τραυματικοῖς χρησίμως.

ζώπισσαν δὲ οἱ μὲν εἶπον εἶναι τὴν τῶν πλοίων ξυομένην ῥητίνην μετὰ τοῦ κηροῦ, καλουμένην ὑπ᾽ ἐνίων ἀπόχυμα, οὖσαν διαχυτικὴν διὰ τὸ ἐν τῇ θαλάσσῃ βρέχεσθαι, οἱ δὲ τὴν πιτυίνην ῥητίνην οὕτως ὠνόμασαν.

73 ἄσφαλτος διαφέρει ἡ Ἰουδαικὴ τῆς λοιπῆς. ἔστι δὲ καλὴ ἡ πορφυροειδῶς στίλβουσα, εὔτονος τῇ ὀσμῇ καὶ βαρεῖα, ἡ δὲ μέλαινα καὶ ῥυπώδης φαύλη· δολοῦται γὰρ πίσσης μειγνυμένης. γεννᾶται δὲ καὶ ἐν Φοινίκῃ καὶ ἐν Σιδῶνι καὶ ἐν Βαβυλῶνι καὶ ἐν Ζακύνθῳ· γίνεται δὲ καὶ κατὰ τὴν Ἀκραγαντίνων χώραν τῆς Σικελίας ὑγρὸν ἐπινηχόμενον ταῖς κρήναις, ᾧ χρῶνται εἰς τοὺς λύχνους ἀντὶ ἐλαίου, καλοῦντες αὐτὸ Σικελὸν ἔλαιον πλανώμενοι· ἔστι γὰρ ἀσφάλτου ὑγρᾶς εἶδος.

καλεῖται δέ τις καὶ πιττάσφαλτος, γεννωμένη ἐν Ἀπολλωνίᾳ τῇ πρὸς Ἐπιδάμνῳ, ἥτις ἐκ τῶν Κεραυνίων ὀρῶν συγκαταφέρεται τῇ τοῦ ποταμοῦ ῥύμῃ καὶ ἐκβράσσεται εἰς τὰς

---

1 SIM. Pl. XXIV 40. 37 (e S. N.) cf. Strab. VI 261.
1 EXC. Orib. XII s. v. (*ἡ δὲ — ῥητίνης*).
9 SIM. Pl. XVI 56. XXIV 41 (e S. N.).
13 SIM. Strab. XVI 763 (e Posid.); Ant. Car. 151. Diod. XIX 98; Pl. XXXV 178 (e S. N.) cf. V 72.
13 EXC. Orib. XI s. v. (*ἄσφαλτος — Ζακύνθῳ*); Orib. t. V 70 (unde Aet. II 196); Gal. XII 375.
21 EXC. Orib. XII s. v. *πίσσα ὑγρά* (*καλεῖται — ἀσφάλτῳ*).
21 SIM. Pl. XXIV 41.

---

1 mg. add. *οβ΄ · περὶ ξηρᾶς πίσσης* Di: nov. cap. *πβ΄* inc. Dl post *πίσσα* add. *ἔτι* Spr. 2 *ἐνίων δὲ* F *γίνεται*] *ἔστι* Orib. 3 *καλὴ δ᾽ ἔστιν* Orib. *ἡ λιπαρὰ καὶ καθαρὰ* Orib. 4 *εὐώδης*] *ἰξώδης* Orib.: *εὐώδης τε καὶ* Di *καὶ* (quart.) om. Orib. 5 *ἡ* add. vulgo: om. libri 9 mg. add. *οβ΄ περὶ ζωπίσσης* Di *οἱ μὲν* post *εἶναι* colloc. H *ἐκ τῶν* Spr.

13 num. cap. *ογ* QDi: *πγ΄* Dl 14 *ἡ* om. Orib. *πορφυροειδ*^s F (*πορφυροειδὴς?*): *πορφυροειδῶς* reliqui *ἐν τῇ ὀσμῇ* Orib. 16 *δὲ* om. H *καὶ* (pr.) om. Orib. *ἐν* (alt. et tert.) om. Orib. *Σιδόνι* H 17 *ἐν* om. Orib. 21 mg. add. *περὶ πιττασφάλτου* Di 22 *ἐπιδάμνῳ* Orib: *ἐπιδαύρῳ* QDi, superscr. O^2 cf. Steph. B. s. v. *Ἀπολλωνία* 23 *εἰς*] *κατὰ* H

ἠιόνας βωλοειδῶς συμπεπηγυῖα, ὄζουσα πίσσης μεμειγμένης ἀσφάλτῳ.

καλεῖται δέ τις καὶ νάφθα, ὅπερ ἐστὶ τῆς Βαβυλωνίου 2
ἀσφάλτου περιήθημα, τῷ χρώματι λευκόν, εὑρίσκεται δὲ καὶ μέλαν. δύναμιν δὲ ἔχει ἁρπακτικὴν πυρὸς ὥστε καὶ ἐκ διαστήματος ἁρπάζειν τοῦτο, ὅπερ πρὸς ὑποχύσεις χρησιμεύει καὶ λευκώματα.

δύναμιν δὲ ἔχει πᾶσα ἄσφαλτος ἀφλέγμαντον, κολλητικήν, διαφορητικήν, μαλακτικήν, ποιοῦσα πρὸς πνίγας ὑστερικὰς καὶ προπτώσεις προστιθεμένη καὶ ὀσφραινομένη καὶ ὑποθυμιωμένη· ἐλέγχει δὲ καὶ ἐπιληπτικοὺς ὑποθυμιαθεῖσα καθάπερ καὶ ὁ γαγάτης λίθος. πινομένη δὲ μετ' οἴνου καὶ καστορίου 3
ἔμμηνα κινεῖ καὶ βηξὶ χρονίαις καὶ ἀσθματικοῖς καὶ δυσπνοίαις βοηθεῖ καὶ ἑρπετῶν δήγμασι καὶ ἰσχίων πόνοις καὶ πλευρᾶς. δίδοται δὲ καὶ κοιλιακοῖς καταπότιον, καὶ θρόμβους αἵματος διαλύει σὺν ὄξει ποθεῖσα, ἐγκλύζεταί τε ἐπὶ δυσεντερικῶν σὺν πτισάνῃ ταχεῖσα, καὶ κατάρρους ὑποθυμιωμένη θεραπεύει, καὶ ὀδόντων ἀλγήματα περιπλασθεῖσα πραΰνει· ἀνακολλᾷ δὲ καὶ τρίχας ἡ ξηρὰ διὰ μηλωτίδος θερμανθεῖσα, ἀρήγει δὲ καὶ ποδαγρικοῖς καὶ ἀρθριτικοῖς σὺν ὠμῇ λύσει καὶ κηρῷ καὶ νίτρῳ καταπλασθεῖσα. ἡ δὲ πισσάσφαλτος δύναται ὅσα πίσσα καὶ ἄσφαλτος μιγέντα.

74 κυπάρισσος στύφει, ψύχει, ἧς τὰ φύλλα ποθέντα

3 EXC. Orib. XI s. v. ἄσφαλτος (καλεῖται — λευκώματα).

3 SIM. Pl. II 235 XXXV 179; Strab. XVI 743 (ex Eratosthene); Plut. Alex. 35.

8 SIM. Pl. XXXV 180 (e S. N.); schol. Nic. Th. 44 (e Plut. — S. N.); D. eup. II 87. 88 (296) II 69 (284) I 21 (105) II 76 (287) II 31 (241) II 39 (252) Nic. Th. 44 (ex Apollod.) D. II 47 (259) II 52 (265) I 7 (97) I 71 (129) I 53 (117) I 235 (216).

23 SIM. Pl. XXIV 15; D. eup. II 107 (305) 109 (307) II 29 (239) II 39 (253) I 159 (176) I 130 (160) II 133 (325) I 162 (178) I 169) (181) I 200 (197) I 29 (107) II 12 (231).

23 EXC. Gal. XII 52.

1 ἠόνας F: ᾐόνας Orib.: ἠιόνας reliqui   πεπηγυῖα Orib.: συμπεπηγεῖσα H   3 mg. add. περὶ νάφθας Di   δέ τις] τι Orib.   νεπτα (superscr. αν) ἤτοι ἄφθα Orib.   ἐστὶ om. p   5 δύναμιν — λευκώματα om. H   δὲ ἔχει] ἔχον Orib.Di   τοῦ πυρὸς Di   6 καὶ λευκώματα χρησιμεύει Orib.   10 προπτώσεις sc. ὑστερικάς   16 τε F: καὶ reliqui   post τε haec habet F ρικῶν (comp scr.) ταχεῖσα cf. D. eup. II 52 (265)   20 post ἀρθριτικοῖς add. καὶ ληθαργικοῖς HDi   21 post καταπλασθεῖσα haec habet Di ἡ δὲ πίσσα καὶ ἄσφαλτος γίνεται (aberravit librarius): verba ἡ δὲ — μιγέντα non recte post ἀσφάλτῳ (v. 2) transpos. Spr.

23 num. cap. οδ QDi: οε Dl   καὶ ψύχει H

μετὰ γλυκέος καὶ σμύρνης ὀλίγης κύστει ῥευματιζομένῃ καὶ δυσουρίᾳ βοηθεῖ. τὰ δὲ χλωρὰ σφαιρία κοπέντα καὶ σὺν οἴνῳ πινόμενα ἁρμόζει πρὸς αἵματος ἀναγωγὴν καὶ δυσεντερίαν καὶ κοιλίας ῥευματισμόν, ὀρθόπνοιαν, βῆχας· καὶ τὸ ἀφέψημα δὲ αὐτῶν τὸ αὐτὸ ποιεῖ. μαλάττει δὲ καὶ σκληρίας κοπέντα μετὰ
2 σύκου καὶ πολύπους τοὺς ἐν τοῖς μυκτῆρσιν ἰᾶται. ἐκβάλλει δὲ καὶ λεπριῶντας ὄνυχας σὺν ὄξει καθεψηθέντα καὶ λειανθέντα μετὰ θέρμων, στέλλει δὲ καὶ ἐντεροκήλας καταπλασθέντα, καὶ τὰ φύλλα δὲ τὰ αὐτὰ ποιεῖ· δοκεῖ δὲ καὶ κώνωπας διώκειν τὰ σφαιρία μετὰ τῆς κόμης θυμιαθέντα. τὰ δὲ φύλλα λεῖα καταπλαττόμενα τραύματα κολλᾷ, ἔστι δὲ καὶ ἴσχαιμα, σὺν ὄξει δὲ λειωθέντα τρίχας βάπτει. καταπλάσσεται δὲ καθ' ἑαυτὰ καὶ σὺν ἀλφίτῳ πρὸς ἐρυσιπέλατα καὶ ἕρπητας ⟨καὶ⟩ ἄνθρακας καὶ πρὸς ὀφθαλμῶν φλεγμονάς. κηρωτῇ δὲ μιγέντα στόμαχον κρατύνει ἐπιτιθέμενα.

75 ἄρκευθος· ἡ μέν τίς ἐστι μεγάλη ἡ δὲ μικρά. ἀμφότεραι δὲ θερμαίνουσι καὶ λεπτύνουσι· εἰσὶ δὲ καὶ οὐρητικαί,

---

75 RV: ἄρκευθος· οἱ δὲ ἀρκευθίδα, οἱ δὲ Μνησίθεος, οἱ δὲ ἀκακαλλίδα, Ἄφροι ζουορρινσοιπέτ, Αἰγύπτιοι λιβιούμ, Ῥωμαῖοι ζουνιπέρουμ, Γάλλοι ἰουπικέλλους. ἔστιν ἀρκευθὶς ἡ μὲν μικρὰ ἡ δὲ μεγάλη· δριμεῖαι δὲ ἀμφότεραι, διουρητικαί, πυρω-

---

16 SIM. Theophr. h. pl. III 3, 8; Pl. XXIV 54 sq. (e S. N.); schol. Theocr. I 133.

16 EXC. cf. Gal. XI 836 (= Aet. I s. v. Paul. Aeg. VII 3 s. v.); Isid. XVII 7, 35.

---

1 δυσουρίαις HDi: *durithiis* Dl 2 χλωρὰ om. HDi οἴνῳ] ὕδατι D. eup. II 29 (239) 4 ῥευματικάς H: ῥευματικόν F βῆχας F: βῆχα reliqui δὲ om. Di 5 μαλάττει — ποιεῖ (v. 9) om. H 6 πολύποδας Di τοῖς om. Di 8 καὶ μετὰ θέρμων FDi, at cf. D. eup. I 130 (160) κυπαρίσσου σφαιρία χλωρὰ καθεψηθέντα σὺν ὄξει καὶ λεανθέντα σὺν θέρμοις πικροῖς δὲ om. F 12 καθ' ἑαυτὰ post ἀλφίτῳ colloc. H 13 αὐτὰ libri: correxi καὶ (tert.) addidi

16 num. cap. $\overline{οε}$ QDi: πδ' Dl tit. περὶ μικρᾶς ἀρκεύθου Di ἀρκευθὶς μικρά Di huius cap. priorem partem (ἀρκευθίς — καρπὸς αὐτῶν) e R sumpsit Di, sequuntur verba Dioscuridea paulum immutata, quibus adduntur e R verba φύλλα δὲ — ἀναιρεῖ post μικρά syn. e R add. H 17 καὶ (alt.) om. H

18 C fol. 34r: N fol. 11 ἄρκευθος scripsi: ἀρκευθίς C: ἀρκευθὶς μικρά NDi μνησιόθεος R 19 ΑΚΑΤΛΙΔΑ (sic) R: ἀκαταλίδα p: ἀκατλίδα v: correxi coll. Ath. XV 681e ζονορρινοοιπετ C: ζονορριμοοιοτ N: ζονόρινοίπετ Di 20 ζουνιπέρουν C ἔστιν δὲ ἡ μὲν N 21 καὶ πυρωτικαί C: καὶ θερμαντικαί Di

θυμιώμεναι δὲ θηρία διώκουσι. τοῦ μέντοι καρποῦ ὁ μέν τις κατὰ καρύον Ποντικοῦ τὸ μέγεθος εὑρίσκεται, ὁ δὲ κυάμῳ ἴσος, στρογγύλος δὲ καὶ εὐώδης, γλυκὺς ἐν τῷ διαμασᾶσθαι καὶ ὑπόκιρρος, ἀρκευθὶς καλούμενος, θερμαντικὸς μετρίως καὶ στυπτικός, εὐστόμαχος, ποιῶν πρὸς τὰ ἐν θώρακι καὶ βῆχας καὶ ἐμπνευματώσεις καὶ στρόφους καὶ θηρία πινόμενος. ἔστι δὲ καὶ οὐρητικός, ὅθεν καὶ σπάσμασι καὶ ῥήγμασι καὶ ὑστερικῶς πνιγομέναις ἁρμόζει.

76 βράθυ, ⟨ὃ⟩ ἔνιοι βόρατον καλοῦσιν. ἔστι τούτου εἴδη

τικαί, θυμιώμεναι θηρία διώκουσιν. ὁ δὲ καρπὸς αὐτῶν εὐώδης, γλυκύς, θερμαντικός, διουρητικός· παραλαμβάνεται δὲ πρὸς παλαιὰς βῆχας, πνευματώσεις· ὀνομάζεται δὲ ἀρκευθίς. φύλλα δ' ἔχει δριμέα, διὸ [καὶ] καταπλασσόμενα καὶ πινόμενα καὶ αὐτὰ καὶ ὁ χυλὸς αὐτῶν μετ' οἴνου ποιεῖ πρὸς ἐχιοδήκτους. ὁ δὲ φλοιὸς καυθεὶς καὶ μετὰ ὕδατος καταχρισθεὶς λέπρας ἀφίστησι. τὸ δὲ ῥίνημα τοῦ ξύλου ποθὲν ἀναιρεῖ.

[ἀρκευθὶς μεγάλη· οἱ δὲ κυπάρισσος ἀγρία, οἱ δὲ Μνησίθεος, οἱ δὲ ἀκακαλλίδα, Ῥωμαῖοι ζουνιπέρουμ. ἔστι καὶ αὕτη γνώριμος τοῖς πλείστοις, ἐμφερὴς κυπαρίσσῳ, γεννωμένη ἐν τραχέσι καὶ παραθαλασσίοις τόποις ὡς ἐπὶ τὸ πλεῖστον. δύναμιν δὲ ἔχει τὴν αὐτὴν τῷ προειρημένῳ.]

76 RV: βράθυ· οἱ δὲ βόρατον, Ῥωμαῖοι ἕρβα Σαβίνα. δισ-

---

1 SIM. Pl. XXIV 54; D. eup. II 14 (232) II 31 (241) II 44 (257) II 47 (259) — Nic. Th. 584 (ex Apollod.) Pl. 55 eup. II 115 (315) — eup. II 112 (311) Pl. 55 — eup. II 34 (246) Pl. 55 — Pl. 55.

9 SIM. Pl. XXIV 102 (e S. N.); D. eup. I 201 (197) I 198 (196) II 76 (288); Ps. Ap. 85; Hes. s. v.

9 EXC. Orib. XI s. v. (*βράθυ — ὅμοιον*); Gal. XI 853 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

---

1 *δὲ* om. F *μέντοι*] *δὲ* H 2 *κατὰ* om. Di *Ποντικοῦ τὸ* om. Di *κυάμῳ*] *καρύον ποντικοῦ* Di 3 *τε καὶ* Di *καὶ γλυκὺς* Di *ὑπόκιρρος* Q: *ὑπόπικρος* Di 5 *πνευματώσεις* HDi 7 *ὑστερι*ˢ F *πνιγομέναις*] *πινόμενος* H: *πινόμε*(*ν* superscr.) F

9 num. cap *οϛ̄* QDi: *πε´* Dl *βράθυς* H *βράθυ· οἱ δὲ βάρυτον, οἱ δὲ βάραθρον, Ῥωμαῖοι ἕρβα σαβίνα* Di *ὃ* addidi *βάραθρον* libri: *braton* Dl: correxi Salm. duce cf. Diod. II 49 *ἔστι δὲ* Di

12 post *ἀρκευθίς* add. *μελλι* C: *μελλειν* N 13 *δ'* om. R *καὶ* seclusi (dittogr.) 15 *καθεὶς* C *μεθ' ὕδατος* N 16 *δὲ* om. C 17 cap. de iunipero maiore (*οε̄ περὶ ἀρκευθίδος μεγάλης*) addidi e Di: om. R 18 *ἀκατέρα* Di: correxi 22 C fol. 83ᵛ: N 30 *βάρυτον* libri: correxi *διττόν* N

δύο· τὸ μὲν γάρ ἐστιν αὐτοῦ τοῖς φύλλοις ὅμοιον κυπαρίσσῳ, ἀκανθωδέστερον δὲ καὶ βαρύοσμον, κολοβόν τε τὸ δένδρον καὶ εἰς πλάτος μᾶλλον ἐκχεόμενον· χρῶνται δὲ τούτου τοῖς φύλλοις ἀντὶ θυμιάματος. τὸ δὲ ἕτερόν ἐστι μυρίκῃ τοῖς φύλλοις ὅμοιον.

ἀμφοτέρων δὲ τὰ φύλλα ἵστησι νομὰς καὶ φλεγμονὰς καταπλαττόμενα πραΰνει, ἀποκαθαίρει τε μελανίας σὺν μέλιτι καταπλασσόμενα καὶ τὰς ῥυπαρίας καὶ ἄνθρακας περιρρήσσει. ποθέντα δὲ καὶ αἷμα δι' οὔρων ἄγει καὶ ἔμβρυα ἐκτινάσσει· προστεθέντα δὲ καὶ ὑποθυμιαθέντα τὸ αὐτὸ ποιεῖ. μείγνυται δὲ καὶ τοῖς θερμαντικοῖς χρίσμασιν, ἰδίως δὲ τῷ γλευκίνῳ.

77 κέδρος δένδρον ἐστὶ μέγα, ἐξ οὗ ἡ λεγομένη κεδρία συνάγεται. καρπὸν δὲ ἔχει ὥσπερ κυπάρισσος, μικρότερον μέντοι παρὰ πολύ. γεννᾶται δὲ καὶ ἄλλη κέδρος μικρά, ἀκανθώδης, καρπὸν δὲ ὥσπερ ἄρκευθος φέρουσα, μέγεθος μύρτου, περιφερῆ. τῆς δὲ κεδρίας ἀρίστη ἡ παχεῖα καὶ διαυγής, εὔτονος, βαρεῖα τῇ ὀσμῇ, ἀποχεομένη τε κατὰ σταλαγμοὺς ἐπιδιαμένουσα καὶ μὴ διαχεομένη.

δύναμιν δὲ ἔχει σηπτικὴν μὲν τῶν ἐμψύχων, φυλακτικὴν δὲ τῶν νεκρῶν σωμάτων, ὅθεν καὶ νεκροῦ ζωήν τινες ἐκάλεσαν αὐτήν, καὶ ἱμάτια δὲ καὶ δέρματα φθείρει διὰ τὸ θερμαίνειν

σόν· τὸ μὲν κόμην ἔχει ὡς μυρίκη, τὸ δὲ ὡς κυπαρίσσου, βοστρυχωδέστερον δέ ἐστι τοῖς φύλλοις καὶ ἀκανθωδέστερον, δριμύ, πυρωτικόν· διόπερ ῥήσσει τὰ νεμόμενα. σὺν οἴνῳ ⟨δὲ⟩ ποθὲν ἢ προστεθὲν ἢ ὑποθυμιαθὲν ἔμβρυα κατασπᾷ καὶ δι' οὔρων αἷμα ἄγει.

---

11 SIM. Theophr. h. pl. III 12, 3. Pl. XIII 52. XVI 52. XXIV 17 sq. (e S. N.) — Pl. XXIV 17 schol. Nic. Th. 52. Diod. I 91.

11 EXC. Orib. lat. XI s. v. (*κέδρος — διαχεομένη*); Gal. XII 16 (unde Aet. I s. v. Paul. Acg. VII 3 s. v.).

---

1 *αὐτοῦ ἐστι* Di 2 *βαρυοσμώτερον δὲ τὸ δένδρον* Orib. ' post *βαρύοσμον* e R add. *δριμύ, πυρωτικόν* HDi *κολοβόν*] *ἰσχυρόν* Q *τε*] *δὲ* HDi 3 *ἐκχεόμενον* Orib.: *χεόμενον* reliqui *οὐ χρῶνται τοῖς φύλλοις τινὲς* Orib. *τούτου*] *τινὲς* Di 4 *ἐστι* om. Di 7 *σὺν οἴνῳ ποθέντα καὶ* Di (e R) 8 *ἔμβρυά τε κατασπᾷ* Di

11 num cap. $\overline{οζ}$ QDi: $\overline{ιγ}$ V (fol. 10): πϙ' Dl *κεδρέα* Gal. 12 *κυπάρισσος — ὥσπερ* (v. 14) om. QDi *μακρότερον* vulgo 13 *γεννᾶται*] *λέγεται* vulgo 14 *ὥσπερ ἄρκευθος, καρπὸν φέρουσα* vulgo 15 mg. add. *περὶ κεδρίας* Di *εὔτονος* om. H 16 *βαρεῖα* om. Di *τε*] *δὲ* Di 19 *νεκροῦ ζωήν*] cf. schol. Nic. Th. 52 *αὐτὴν ἐκάλεσαν* QDi

21 *μυριτίκη* C 23 *δὲ* addidi 24 *ἢ προστεθὲν ἢ* om. C: *ἢ ὑποθυμιαθὲν* om. N

ἐπιτεταμένως καὶ ξηραίνειν. εὐθετεῖ δὲ εἴς τε τὰ ὀφθαλμικὰ 2
ὀξυδερκὴς οὖσα ἐγχριομένη καὶ λευκώματα καὶ οὐλὰς σμήχει.
σὺν ὄξει δὲ ἐγκλυζομένη σκώληκας τοὺς ἐν ὠσὶ κτείνει, ἤχους
τε καὶ συριγμοὺς παύει σὺν ὑσσώπου ἀφεψήματι ἐγχεομένη, εἴς
τε ἐμβρώματα ὀδόντος ἐνσταγεῖσα θραύει μὲν τὸν ὀδόντα, παύει
δὲ τὴν ἀλγηδόνα· καὶ σὺν ὄξει δὲ διακλυζομένη τὸ αὐτὸ ποιεῖ.
περιχρισθεῖσα δὲ αἰδοίῳ πρὸ τῆς συνουσίας ἀτόκιόν ἐστι, συν-
αγχικῶν τε περίχριστός ἐστι καὶ παρισθμίων φλεγμοναῖς βοη-
θεῖ, φθεῖράς τε καὶ κόνιδας φθείρει περιχρισθεῖσα, κεράστου
δὲ δήγμασι σὺν ἁλσὶ καταπλασσομένη ἀρήγει, πρός τε λαγωοῦ
θαλασσίου πόσιν σὺν γλυκεῖ λαμβανομένη βοηθεῖ. ὠφελεῖ καὶ 3
ἐλεφαντιῶντας ἐκλειχομένη ἢ περιχριομένη, καθαίρει καὶ τὰ
ἐν πνεύμονι ἕλκη καὶ ἰᾶται ⟨ταῦτα⟩ ὅσον κύαθος ῥοφουμένη,
σκώληκάς τε καὶ ἀσκαρίδας ἐγκλυζομένη φθείρει καὶ ἔμβρυα
κατασπᾷ.

γίνεται δὲ καὶ ἔλαιον ἐξ αὐτῆς, χωριζόμενον ἀπὸ τῆς
κεδρίας δι' ἐρίου ὑπεραιωρουμένου ἐν τῇ ἑψήσει, ὡς ἐπὶ τῆς
πίσσης, ποιοῦν πρὸς ὅσα καὶ ἡ κεδρία. θεραπεύει δὲ ἰδίως τὸ
ἔλαιον καὶ τὰς ἐπὶ τῶν τετραπόδων ψώρας καὶ κυνῶν καὶ βοῶν
ἀνδρικῶς καταχριόμενον, καὶ τοὺς ἐπ' αὐτῶν κρότωνας φθείρει
προσαγόμενον, καὶ τὰς ἐπὶ τῇ κουρᾷ γινομένας ἑλκώσεις αὐτῶν
ἀπουλοῖ. τὴν δὲ λιγνὺν αὐτῆς συνακτέον, ὥσπερ τὴν τῆς πίσσης, 4
δύναμιν ἔχουσαν τὴν αὐτὴν ἐκείνῃ.

κεδρίδες δὲ καλοῦνται οἱ ἐξ αὐτῆς καρποί. δύναμιν δὲ
ἔχουσι θερμαντικήν, κακοστόμαχον· βοηθοῦσι δὲ βηξί, σπάσμασι,

---

1 SIM. Pl. l. s. 18 — D. eup. I 61 (124) 63 (125) Pl. 18 — eup. I 71 (129) Pl. 17. 18 — Pl. 18 — eup. II 117 (318) — Pl. 18 eup. II 156 (333) — Pl. 18 eup. I 205 (200) — Pl. 19 — D. eup. I 223 (209).

24 SIM. Pl. l. s. 20; D. eup. II 31 (241) II 34 (247) II 109 (307) II 77 (289) II 156 (333) II 130 (323).

---

1 τὰ om. Di 3 ὄξει διακλυζομένη QDi τοὺς] δὲ V: om. F 5 βρώματα H ὀδόντος V: ὀδόντων reliqui ἐνσταγεῖσα VH: ἐνσταλαγεῖσα FDi post θραύει, extr. fol. 10ᵛ vocab., unum cod. V folium periit, incipit rursus in medio c. 79 8 περίχριστον H 12 post ἐλεφαντιῶντας interp. sustuli coll D. eup. I 205 (200) καὶ κεδρία ἐκλειχομένη (sc. ἐλεφ. ἰᾶται) 13 ταῦτα addidi 14 ἐγκλυζομένη] προστιθεμένη D. eup. I 223 (209) 18 ἰδίως post ἔλαιον transpos. Di 20 αὐτῷ Di 21 οὐρᾷ H αὐτῶν om. H 22 ἐπουλοῖ libri: correxi verba τὴν δὲ λιγνὺν — ἐκείνῃ ad calcem cap. colloc. Di συνακτέον αὐτῆς Di ὡς H 23 δύναμιν δὲ ἔχουσι Q 24 nov. cap. (πζ') incip. Di: mg. add. περὶ κεδρίδος Di ὁ ἐξ αὐτῶν καρπός F

ῥήγμασι, στραγγουρίαις, καὶ ἔμμηνα ἄγουσι μετὰ πεπέρεως λεῖαι πινόμεναι, καὶ πρὸς λαγωοῦ θαλασσίου πόσιν σὺν οἴνῳ λαμβάνονται· διώκουσι καὶ θηρία χριομένου τοῦ σώματος σὺν ἐλαφείῳ στέατι ἢ μυελῷ. μείγνυνται δὲ καὶ ἀντιδότοις.

78 δάφνη· ἡ μέν τίς ἐστι λεπτόφυλλος ἡ δὲ πλατυτέρα. θερμαντικαὶ δὲ ἀμφότεραι καὶ μαλακτικαί, ὅθεν τὸ ἀφέψημα αὐτῶν εἰς ἐγκαθίσματα ταῖς περὶ κύστιν καὶ μήτραν ἁρμόζει διαθέσεσι. τὰ δὲ χλωρὰ τῶν φύλλων ἠρέμα ὑποστύφει· ὠφελεῖ δὲ λεῖα καταπλασθέντα σφηκῶν καὶ μελιττῶν πληγάς, δύναται δὲ καὶ πᾶσαν φλεγμονὴν πραΰνειν σὺν ἄρτῳ καὶ ἀλφίτῳ καταπλασθέντα, ποθέντα δὲ ἀμβλύνει τὸν στόμαχον καὶ ἐμέ-
2 τους κινεῖ. αἱ δὲ δαφνίδες θερμαντικώτεραι τῶν φύλλων εἰσί. ποιοῦσι δὲ ἐκλειχόμεναι λεῖαι σὺν μέλιτι ἢ γλυκεῖ πρὸς φθίσιν καὶ ὀρθόπνοιαν καὶ τοὺς περὶ θώρακα ῥευματισμούς. πίνονται δὲ σὺν οἴνῳ πρὸς σκορπιοπλήκτους, καὶ ἀλφοὺς δὲ σμήχουσι. τὸ δὲ πίεσμα αὐτῶν ὠταλγίαις καὶ ἤχοις καὶ δυσηκοίαις βοηθεῖ σὺν οἴνῳ παλαιῷ καὶ ῥοδίνῳ ἐγχεόμενον· μείγνυται καὶ ἀκόποις καὶ συγχρίσμασι θερμαντικοῖς καὶ διαφορητικαῖς δυνάμεσι. ὁ δὲ φλοιὸς τῆς ῥίζης αὐτῶν λίθους θρύπτει καὶ ἔμβρυα κτείνει καὶ ἡπατικοὺς ὠφελεῖ τριωβόλου πλῆθος σὺν οἴνῳ εὐώδει πινόμενος.

79 πλατάνου τὰ τρυφερὰ τῶν φύλλων ἑψηθέντα ἐν οἴνῳ

5 SIM. Pl. XXIII 152 (e S. N.) cf. schol. Nic. Th. 574 — D. eup. II 110 (308) II 80 (293) Pl. l. s. 152 — Pl. l. s. eup. II 122 (321) — eup. I 145 (167).
5 EXC. Orib. lat. XI s. v. (*δάφνη — κινεῖ*); Gal. XI 863 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).
12 SIM. Pl. l. s. 153 — D. eup. II 38 (251) Pl. 154 — eup. II 39 (252) Pl. 153 — Nic. Th 574. 943 D. eup. II 121 (320) Pl. 154 — Pl. 154 — eup. I 59 (122) 63 (125) Pl. 154 — Pl. 153 — eup. II 78 (290) — eup. II 58 (270) Pl. 153.
21 SIM. Pl. XXIV 44 sq. (e S. N.); D. eup. I 69 (128) II 114 (314) 115 (317); Nic. Th. 584.
21 EXC. Gal. XII 104 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

1 *ῥήγμασι σπάσμασι* H 2 *λεῖον* libri: correxi coll. D. eup. II 77 (289) *κεδρίδες λεῖαι* (sc. *ἔμμηνα ἄγουσι*) 4 *μίγνυται* F
5 num. cap. *οη* QDi: *πη'* Dl 7 *τὰ περὶ μήτραν καὶ κύστιν ἁρμόζει* Di 8 post *διαθέσεσι* e R syn. lauri Alexandrinae (IV 145) add. H *φύλλων* DiDl Orib.: *ξύλων* Q 11 *ἀμβλύνει*] *πραΰνει* libri: *stomachum vertit* Dl: *stomachum subvertunt* Orib.: *βαρύνει* coni. Corn.: correxi (ΠΡΑΥΝΕΙ = ΑΜΒΛΥΝΕΙ) *τὸν* om. F 12 mg. add. *περὶ δαφνίδων* Di *θερμαντικώτεραι δὲ τῶν φύλλων εἰσὶν αἱ δαφνίδες* H 13 *δὲ*] *οὖν* Di 16 *καὶ ἤχοις* om. H 17 *ῥοδίνῳ*] *ἐλαίῳ* H 18 *διαφορητικοῖς* (om. *δυνάμεσι*) Di: *διαφορητικοῖς* (*αι* superscr.) *δυνάμεσι* H 20 *εὐώδει* om. H: *in vino odorato potu* Pl. l. s.: *δάφνης ῥίζης τοῦ φλοιοῦ* <*α' μετὰ μελικράτου* D. eup. II 58 (270)
21 num. cap. *οθ* QDi: *πθ'* Dl *τὰ* om. H *τρυφερὰ τὰ φύλλα* H

καὶ καταπλασθέντα στέλλει ῥεύματα ὀφθαλμῶν· κουφίζει δὲ καὶ [τὰ] οἰδήματα καὶ φλεγμονάς. ὁ δὲ φλοιὸς ἑψηθεὶς σὺν ὄξει ὀδονταλγίας ἐστὶ διάκλυσμα. τὰ δὲ σφαιρία χλωρὰ σὺν οἴνῳ ποθέντα ἑρπετοδήκτοις βοηθεῖ, ἀναλημφθέντα δὲ στέατι πυρίκαντα θεραπεύει. ὁ δὲ χνοῦς τῶν φύλλων καὶ τῶν σφαιρίων ἀκοὴν καὶ ὄψιν παρεμπεσὼν λυμαίνεται.

80 μελία δένδρον ἐστὶ γνώριμον, ἧς τῶν φύλλων ὁ χυλὸς καὶ αὐτὰ σὺν οἴνῳ πινόμενα καὶ καταπλασσόμενα ἐχεοδήκτοις βοηθεῖ. ὁ δὲ φλοιὸς καεὶς καὶ καταχρισθεὶς μεθ' ὕδατος λέπρας ἀφίστησι. τὰ δὲ τορνεύματα τοῦ ξύλου ποθέντα φασὶν ἀναιρετικὰ εἶναι.

81 λεύκης τοῦ δένδρου ὁ φλοιὸς ποθεὶς ὅσον οὐγγίας μιᾶς πλῆθος ἰσχιάδας ὠφελεῖ καὶ στραγγουρίας· ἱστορεῖται δὲ καὶ ἀτόκιος εἶναι ποθεὶς μετὰ ἡμιόνου νεφροῦ, καὶ τὰ φύλλα δὲ πινόμενα μετὰ ⟨τὴν⟩ κάθαρσιν σὺν ὄξει τὸ αὐτὸ δρᾶν λέγεται. ὠφελεῖ δὲ καὶ ὠταλγίαν ὁ χυλὸς τῶν φύλλων χλιαρὸς ἐνσταζόμενος. τὰ δὲ κατὰ τὴν ἐκβλάστησιν τῶν φύλλων σφαιρία λεῖα μετὰ μέλιτος ἐγχριόμενα ἀμβλυωπίας θεραπεύει. ἔνιοι δὲ ἱστοροῦσι τὸν φλοιὸν τῆς λεύκης καὶ τῆς αἰγείρου τμηθέντα εἰς λεπτὰ μεγέθη καὶ ⟨ἐν⟩σπαρέντα πρασιαῖς κεκοπρισμέναις ἐν παντὶ καιρῷ μύκητας ἐδωδίμους φύειν.

82 μάκιρ φλοιός ἐστι κομιζόμενος ἐκ τῆς βαρβάρου, ὑπό-

---

7 SIM. Pl. XXIV 46 (e S. N.) cf. XVI 64; D. eup. II 115. 117 (317); eup. I 129 (159).
7 EXC. Paul. Aeg. VII s. v. (e D.).
12 SIM. Pl. XXIV 47 (e S. N.); D. eup. II 109 (307) II 95 (299) I 57 (120) cf. Geop. XII 41.
22 SIM. Pl. XII 32 (e S. N.).
22 EXC. Orib. XI s. v. (μάκιρ — γεῦσιν); Gal. XII 66. 924 (unde Aet. et Paul. Aeg. l. s.).

---

2 τὰ seclusi   ἐν ὄξει H   3 τὰ δὲ] abhinc habemus cod. V, cuius fol. 11r incip.   6 ἐμπεσὼν Di
7 num. cap. π̅ QDi: ιδ' V: Q (sic) Dl   ἧς O: οὗ Di et Paul. Aeg.   8 πινόμενα καὶ om. H   ἐχεοδήκτοις VF: ἐχιοδήκτοις reliqui
12 num. cap. π̅α̅ QDi: ιδ' V: Qα' Dl   οὐ(γγ superscr.) α̅ Di: <οα' F: σόαν V   15 τὴν addidi   ὄξει V: οἴνῳ reliqui: ὀξυκράτῳ D. eup. II 95 (299)   16 δὲ om. VHDi   ὠταλ^S' F: ὠταλγίας HDi   18 ἀμβλυωπίας] αἰγίλωπας coni. Samb.   20 σπαρέντα libri: correxi   κεκοπρηγμέναις V
22 num. cap. π̅β̅ QDi: ιε' V: Qβ' Dl: post cap. 83 colloc. Spr.   μάκηρ F: μάκερ VHDiGal.: μάκιρ Orib.Dl Pl. l. s.: μάκειρ [Arr.] peripl. m. Eryth. 8 cf. Salm. de hom. 137

ξανθος, παχύς, στύφων ἱκανῶς κατὰ τὴν γεῦσιν. πίνεται δὲ πρὸς αἵματος πτύσιν καὶ δυσεντερίαν καὶ κοιλίας ῥευματισμόν.

83 *αἰγείρου* τὰ φύλλα μετ' ὄξους καταπλαττόμενα ποδαγρικὰς ὀδύνας ὠφελεῖ. ἡ δὲ ἐξ αὐτῆς ῥητίνη μείγνυται μαλάγμασιν. ὁ δὲ καρπὸς μετ' ὄξους πινόμενος ἐπιληπτικοὺς ἱστορεῖται ὠφελεῖν. λέγεται δ' ὅτι τὸ ἐξ αὐτῶν δάκρυον κατὰ τὸν Ἠριδανὸν ποταμὸν καταχεόμενον πήγνυσθαι καὶ γίνεσθαι τὸ καλούμενον ἤλεκτρον, ὑπ' ἐνίων δὲ χρυσοφόρον, εὐῶδες ἐν τῇ παρατρίψει καὶ χρυσοειδὲς τῷ χρώματι, ὅπερ πινόμενον λεῖον στομάχου καὶ κοιλίας ῥεῦμα ἵστησι.

84 *πτελέας* τὰ φύλλα καὶ οἱ ἀκρεμόνες καὶ ὁ φλοιὸς στυπτικά. ποιεῖ δὲ τὰ φύλλα πρὸς λέπραν λεῖα σὺν ὄξει ἐπιπλαττόμενα καὶ τραύματα κολλᾷ, μᾶλλον δὲ ὁ φλοιὸς ἀντὶ ἐπιδέσμου περιειλούμενος· ἔστι γὰρ ἱμαντώδης. ὁ δὲ παχύτερος φλοιὸς σὺν οἴνῳ ἢ ὕδατι ψυχρῷ ποθεὶς οὐγγίας μιᾶς πλῆθος ἄγει φλέγμα. τὸ δὲ ἀφέψημα τῶν ῥιζῶν ἢ τῶν φύλλων καταντλούμενον τὰ κατάγματα πωροῖ τάχιον. τὸ δὲ ἐν τοῖς θυλακίοις κατὰ τὴν πρώτην ἐκβλάστησιν εὑρισκόμενον ὑγρὸν στιλβοῖ πρόσωπον ἐπιχριόμενον, ξηραινόμενον δὲ τὸ ὑγρὸν τοῦτο ἀναλύεται
2 εἰς θηρία κωνωποειδῆ. καὶ λαχανεύεται δὲ τὰ πρόσφατα τῶν φύλλων ἑψόμενα εἰς προσοψήματα.

ἡ δὲ ἀπὸ τῶν παλαιῶν ξύλων καὶ πρέμνων *σαπρία* συνι-

3 SIM. Pl. XXIV 47 (e S. N.); D. eup. I 235 (215) I 18 (103).
3 EXC. Paul. Aeg. VII 3 s. v.
11 SIM. Theophr. h. pl. IX 1, 2; Pl. XXIV 48 sq.; D. eup. I 129 (159) I 163 (178) I 110 (148) I 184 (191) I 185 (192) I 170 (182).
11 EXC. Gal. XII 109. 118 (unde Aet. et Paul. Aeg. l. s.).

2 *δυσεντερίας* HDi
3 num. cap. $\overline{πγ}$ QDi: om. V: Qγ′ Dl *αἴγειρος· τούτου* Di 4 *ἀκόποις τε καὶ μαλάγμασιν* Paul. Aeg. l. s. 5 *ὁ καρπὸς δὲ* Di 6 *ὠφελεῖ* (om. *ἱστορ.*) Di: *ὠφελεῖν ἱστορεῖται* H 7 *ἀποχεόμενον* H *πήγνυται καὶ γίνεται* H, cf. D. I 116. II 193. III 126 ad rem cf. Pl. XXXVII 43 sq. Ovid. met. II 364 Philostr. im. I 11. Isid. XVII 7, 45
11 num. cap. $\overline{πδ}$ QDi: $\overline{ιϛ}$ V: Qδ′ Dl *πτελαίας* H *ἀκραίμονες* VHDi 15 *ψυχρῷ* om. H *ὅσον οὐγγίας* H <ο α′ F: οὐ(γγ superscr.) $\overline{α}$ Di: *σδαν* (sic) V 16 *καὶ τὸ ἀφέψημα δὲ* Di *φύλλων ἢ τοῦ φλοιοῦ τῶν ῥιζῶν* Di: *τοῦ φλοιοῦ τῶν ῥιζῶν ἢ τῶν φύλλων* H: *eius corii elixatura et fomento adibita* Dl 17 *τὰ* om. HDi *κάταγμα* HDi *ταῖς φύσαις* libri: *folliculi* Pl.: *flore* Dl: *θυλακίοις* D. eup. I 163 (178): correxi 18 *στίλβει* V 20 *θηριακῶν ἀπὸ εἴδη* V: *θηριακὰ* (comp. scr.) *δὲ ὁποειδῆ* F *καὶ* om. Di 22 nov. cap. ($\overline{ιζ}$) incip. V. mg. add. *περὶ σαπρότητος ξύλων* Di: *σαπρώτης ξύλων* H

σταμένη ὥσπερ ἄλευρον καταπασσομένη ἀνακαθαίρει καὶ ἀπουλοῖ ἕλκη. τὰ δὲ ἑρπυστικὰ ἐπέχει σὺν ἴσῳ ἀνήσσῳ φυραθεῖσα ἐλαίῳ ἐν ὀθονίῳ τε καεῖσα καὶ λεία καταπασσομένη.

85 καλάμων ὁ μέν τις καλεῖται ναστός, ἐξ οὗ τὰ βέλη γίνεται, ὁ δέ τις θῆλυς, ἐξ οὗ αἱ γλῶτται τοῖς αὐλοῖς κατασκευάζονται· ἄλλος δὲ συριγγίας, παχύσαρκος, πυκνογόνατος, εἰς βιβλιογραφίαν ἐπιτήδειος, ὁ δέ τις παχὺς καὶ κοῖλος, παρὰ ποταμοῖς φυόμενος, ὃς καὶ δόναξ καλεῖται, ὑπό τινων δὲ Κύπριος, καὶ ἕτερος φραγμίτης, ὑπόλευκος, λεπτός, πᾶσι γνώριμος, οὗ ἡ ῥίζα καταπλασθεῖσα λεία καθ᾽ ἑαυτὴν καὶ σὺν βολβοῖς ἐπισπᾶται σκόλοπας καὶ ἀκίδας, σὺν ὄξει δὲ στρέμματα καὶ ὀσφύος ἀλγήματα παρηγορεῖ. τὰ δὲ φύλλα κοπέντα χλωρὰ καὶ ἐπιτεθέντα ἐρυσιπέλατά τε καὶ τὰς ἄλλας φλεγμονὰς ἰᾶται. ὁ δὲ φλοιὸς ἀλωπεκίας θεραπεύει καεὶς καὶ μετ᾽ ὄξους καταπλασθείς. ἡ δὲ ἀνθήλη τῶν καλάμων ἐμπεσοῦσα ταῖς ἀκοαῖς κώφωσιν ἐργάζεται. δύναται δὲ τὰ αὐτὰ καὶ ὁ Κύπριος λεγόμενος κάλαμος ποιεῖν.

86 πάπυρος γνώριμος πᾶσιν, ἀφ᾽ ἧς ὁ χάρτης κατασκευάζεται, εὔχρηστος δὲ εἰς τὴν ἰατρικὴν χρῆσιν, πρὸς ἀναστόμωσιν συρίγγων σκευασθεῖσα διάβροχος περιειλουμένου λίνου ἄχρι ξηρασίας· στεγνουμένη γὰρ καὶ καθιεμένη ἐμπίπλαται ὑγρασίας καὶ ἐξοιδοῦσα διανοίγει τὰς σύριγγας. ἔχει δέ τι ἡ ῥίζα αὐτῆς

---

4 SIM. Theophr. h. pl. IV 11, 10sq. Pl. XVI 156sq. XXIV 85sq. (e S. N.); D. eup. I 167 (180) I 226 (211) I 240 (221) I 169 (181) I 145 (167).

4 EXC. Gal. XII 7 (= Aet. et Paul. Aeg. l. s.).

18 SIM. Theophr. h. pl. IV 8, 3. 4 (unde Pl. XIII 71sq.); Pl. XXIV 88 (e S. N.); D. eup. I 207 (202) I 82 (135) cf. Antyll. (Orib. II 433),

18 EXC. Gal. XII 94 (unde Aet. et Paul. Aeg. l. s.).

---

1 *καταπλασσομένη* libri: correxi coll. D. eup. I 184 (191) 2 *ἑρπηστικὰ* QDi 3 *ἐλαιῳ*] *σὺν οἴνῳ* libri: correxi coll. D. eup. I 170 (182) *ὀθόναις* HDi *καταπλασσομένη* libri: correxi coll. D. l. s.

4 num. cap. *πε* QDi: *ιη* V: Qε´ Dl *καλάμων δὲ* Di 5 post *γίνεται* deest V 6 *παχύσαρκος* libri: *robore solido et duro* Dl: *πολύσαρκος* vulgo 9 *ὑπόλευκος λεπτός* H: *ὑπόλεπτος λευκός* reliqui 10 *αὐτὴν* H 12 *χλωρὰ κοπέντα* vulgo 14 *φλοιὸς* libri: *φλέως* coni. Spr., at cf. D. eup. I 169 (181) *καλάμου φλοιὸς χλωρὸς λεῖος* (sc. *ἐρυσιπέλατα ἰᾶται*) 15 *ἀνθή* (*λ* superscr.) F: *ἀνθη* H *πεσοῦσα* H *εἰς τὰς ἀκοὰς* Di

18 num. cap. *πϛ* QDi: Qϛ´ Dl: initium cap. habet V *γνώριμός ἐστι* Di 19 *εὔχρηστος* V: *εὐχρηστεῖ* reliqui *πρὸς τὴν ἐν ἰατρικῇ χρῆσιν* Di *τέχνην* (*χρῆσιν* superscr.) V 20 *σκευασθεῖσα διάβροχος*] *σκελετευθεῖσα* coni. Marc. cf. D. eup. I 207 (202) 22 *τι* om. VF

καὶ τρόφιμον· διαμασώμενοι γοῦν αὐτὴν οἱ ἐν Αἰγύπτῳ ἀποχυλίζουσιν ἐκπτύοντες τὸ διαμάσημα, χρῶνται δὲ καὶ ἀντὶ ξύλων αὐταῖς. ἡ δὲ κεκαυμένη πάπυρος ἄχρι τεφρώσεως δύναται νομὰς ἐπέχειν τὰς ἐν στόματι καὶ παντὶ μέρει· βέλτιον δὲ ὁ χάρτης καεὶς δρᾷ τὸ τοιοῦτον.

87 μυρίκη δένδρον ἐστὶ γνώριμον, παρὰ λίμναις καὶ τοῖς στασίμοις ὕδασι φυόμενον, καρπὸν ὡσπερεὶ ἄνθος φέρουσα βρυῶδες κατὰ τὴν σύστασιν. γεννᾶται δέ τις ἐν Αἰγύπτῳ καὶ Συρίᾳ ἥμερος, κατὰ τὰ ἄλλα ὁμοία ⟨οὖσα⟩ τῇ ἀγρίᾳ, καρπὸν δὲ φέρουσα ἐμφερῆ κηκίδι, ἀνώμαλον, στύφοντα τῇ γεύσει, ἁρμόζοντά τε ἀντὶ κηκίδος εἰς τὰ ὀφθαλμικὰ καὶ στοματικὰ καὶ πρὸς αἵματος πτύσεις ἐν ποτῷ καὶ κοιλιακοῖς καὶ ῥοικαῖς γυναιξὶ καὶ ἰκτέρῳ καὶ φαλαγγιοδήκτοις, οἰδήματά τε στέλλει καταπλασθείς· καὶ ὁ φλοιὸς δὲ τὰ αὐτὰ τῷ καρπῷ ποιεῖ.
2 τῶν δὲ φύλλων τὸ ἀφέψημα σὺν οἴνῳ ποθὲν σπλῆνα τήκει, καὶ ὀδονταλγίαις βοηθεῖ διακλυζόμενον, ἐγκάθισμά τε ῥοικαῖς, καὶ περίχυμα τοῖς φθεῖρας καὶ κονίδας γεννῶσιν ἐπιτήδειον. καὶ ἡ ἀπὸ τῶν ξύλων δὲ τέφρα προστεθεῖσα ῥύσιν τὴν ἐκ μήτρας στέλλει. κατασκευάζουσι δὲ ἔνιοι ἐκ τοῦ πρέμνου καὶ κύλικας, αἷς ἐπὶ τῶν σπληνικῶν χρῶνται ἀντὶ ποτηρίων, ὡς τοῦ δι' αὐτῶν πόματος ὠφελοῦντος.

88 ἐρείκη δένδρον ἐστὶ θαμνῶδες, ὅμοιον μυρίκῃ, μικρότερον δὲ πολλῷ, οὗ τῷ ἄνθει ⟨αἱ⟩ μέλιτται χρώμεναι μέλι ἐργάζονται οὐ σπουδῇ.

ταύτης ἡ κόμη καὶ τὸ ἄνθος καταπλασσόμενα ἑρπετῶν δήγματα ἰᾶται.

---

6 SIM. Pl. XIII 116; XXIV 67 (e S. N.); D. eup. II 29 (239) II 82 (294) II 56 (268) II 121 (320) II 61 (273).

6 EXC. Orib. XI s, v. (*μυρίκη — στοματικὰ*); Gal. XII 80.

22 SIM. Pl. XXIV 64 (e S. N.) cf. XI 42 XIII 114; schol. Nic. Th. 610 cf. Nic. Th. 610 (ex Apollod.); D. eup. II 117 (318).

22 EXC. Orib. lat. XI s. v. (*ἐρείκη — ἰᾶται*) cf. Gal. XI 877.

---

6 num. cap. $\overline{\pi\zeta}$ QDi: Qζ' Dl 7 *ὥσπερ* Orib.H 8 *τις* om. Orib.H 9 *οὖσα* addidi *δὲ* om. Orib.FDi *φέρει* H: *φ*(*ερ'* superscr.) F: *φέρουσα* reliqui *ἀνωμάλως* Di 10 *τὴν γεῦσιν* Orib.: *κατὰ τὴν γεῦσιν* Di *ἁρμόζοντα κατὰ τὴν κικίδος χρῆσιν* Orib. 11 *στοματικὰ καὶ ὀφθαλμικὰ* Di 13 *ἰκτέρῳ τε* (om. *καὶ* pr.) Di 14 *ποιεῖ τῷ καρπῷ* Di 15 *φύλλων*] *ῥιζῶν* Spr.: *corium eius* Dl: *μυρίκης ἀπόζεμα ἢ τὸ σπέρμα σὺν οἴνῳ* D. eup. II 61 (273) 18 *τὴν* om. Di 19 *ἐκ τοῦ πρέμνου* post *κύλικας* colloc. Di *κοίλιδας* F 20 *δι'* om. H
22 num. cap. $\overline{\pi\eta}$ QDi: Qη' Dl *ἐρείκη ἑρμοδάκτυλος* F (ind.) 23 *αἱ* addidi 24 *οὐ* om. H *σπουδαῖον* p: *mel non probum* Orib. lat. interp.

89 ἀκακαλλὶς θάμνου καρπός ἐστι γεννωμένου ἐν Αἰγύπτῳ, ἐοικὼς κατά τι τῷ ⟨τῆς⟩ μυρίκης καρπῷ, οὗ τὸ ἀπόβρεγμα μείγνυται κολλυρίοις τοῖς πρὸς ὀξυδερκίαν ἁρμόζουσιν.

90 ῥάμνος θάμνος ἐστὶ περὶ φραγμοὺς φυόμενος, ῥάβδους ἔχων ὀρθὰς καὶ ἀκάνθας ὥσπερ ὀξυάκανθα, φύλλα ⟨δ'⟩ ὑπομήκη, ὑπολίπαρα, μαλακά. ἔστι δὲ καὶ ἑτέρα παρὰ ταύτην λευκοτέρα, ἔστι [δὲ] καὶ τρίτη μελάντερα ἔχουσα τὰ φύλλα καὶ πλατύτερα σὺν τῷ ἠρέμα ἐρυθραίνεσθαι, ῥάβδους μακρὰς πήχεων ὡς πέντε καὶ μᾶλλον ἀκανθώδεις· ἧττον δὲ στερεὰς καὶ ἐπάκμους ἔχει τὰς ἀκάνθας. καρπὸς δὲ πλατύς, λεπτός, ὡς θυλακώδης, ἐοικὼς σφονδύλῳ.

---

90 RV: ῥάμνος· οἱ δὲ Περσεφόνιον, οἱ δὲ λευκάκανθα, Ῥωμαῖοι σπίνα ἄλβα, οἱ δὲ σπίνα κερβάλις, Ἄφροι ἀταδίμ. θάμνος ἐστὶν ὀρθός, ἔχων ῥάβδους καὶ ἀκάνθας ὥσπερ ὀξυάκανθα, φύλλα μακρά, ὑπομήκη, ὑπολίπαρα, μαλακά. ἔστι δὲ καὶ ἑτέρα λευκοτέρα καὶ τὰς ῥάβδους ⟨ἔχουσα⟩ μακροτέρας μὲν καὶ ἀκανθώδεις, ἧττον δὲ στερεάς, τὸν δὲ καρπὸν λευκόν, κοινῶς λεπτόν, θυλακώδη. φύονται δὲ περὶ φραγμοῖς. τὰ δὲ φύλλα αὐτῶν λέγεται ποιεῖν καταπλασσόμενα πρὸς ἐρυσιπέλατα καὶ ἕρπητας.

---

1 EXC. Orib. XI s. v. (*ἀκακαλλὶς — καρπῷ*); Paul. Aeg. VII 3 s. v.

4 SIM. Theophr. h. pl. III 18, 2; Pl. XXIV 124 (e S. N.); carm. de h. 2; schol. Nic. Th. 860; cf. E. Rohde Psyche[2] 217, 3. 699.

4 EXC. Orib. XII s. v. (*ῥάμνος — σφονδύλῳ*); Gal. XII 111 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

---

1 num. cap. πθ̄ QDi: Qϑ' Dl *ἀκακαλὶς* QDi (*ἀκακαλλὶς* H in ind.) Orib: *ἀκαλλὶς* Paul. Aeg. l. s., cf. Ath. XV 681 E, Hes. s. v. ad *ἀκακαλλὶς* schol. Paris. Orib. (II 741 D.) *πολλὰ περὶ τῆς ἀκακαλίδος ὁ* (superscr.) *πάμφιλός φησι δεικνὺς ἠγνοηκέναι αὐτὸν τὴν βοτάνην* *θάμνου ἐστὶ* H *γεννώμενος* Orib.H 2 *τῆς* addidi ex Orib. 3 *ὀξυδορκίαν καὶ ἀμβλυωπίαν* Q, at cf. Paul. Aeg. l. s. *τοῖς πρὸς ὀξυδερκίαν κολλυρίοις μείγνυται*

4 num. cap. ϟ̄ QDi: ϙ' Dl post *ῥάμνος* syn. e R add. HDi *φραγμοῖς* Orib. 5 *καὶ ἀκάνθας* om. Orib. *ἡ ὀξυάκανθα* Di: *ὀξυάκανθος* Orib. post *φύλλα* add. *μακρά* R: *μικρά* Di *δ'* addidi *ἐπιμήκη* Orib. 6 *ἔστιν καὶ* Orib. *παρ' αὐτὴν* Orib.: om. Di, cf. Blaß Gr. d. neut. Gr. 139, 4 7 *ἔστι δὲ* Q: *ἔστι* Orib. (mg. *ἔστι — πλατύτερα* om. add. O[2]): om. Di *δὲ* seclusi *καὶ* ante *πλατ.* om. ante *ἐρυθρ.* add. Orib. 8 *ῥάβδους ἔχουσα* Orib. 9 *ὡς πέντε πήχεων* Orib. *καὶ* (pr.) om. Orib.Di 10 *ἔχει* om. Orib. *δὲ* om. Orib. *πλατὺς καὶ λεπτός* Orib. *λευκὸς* (e R) *λεπτός* Di: *λεπτὸς λευκός* H: *semen latum est et tenue et in folle reclusum sicut sfondilum* Dl 11 *σπονδυλίῳ* Orib.

12 N fol. 129: om. C 16 *ἔχουσα* addidi

ποιεῖ δὲ πασῶν τὰ φύλλα πρὸς ἐρυσιπέλατα καὶ ἕρπητας καταπλασσόμενα. λέγεται δὲ καὶ κλῶνας αὐτῆς θύραις ἢ θυρίσι προστεθέντας ἀποκρούειν τὰς τῶν φαρμάκων κακουργίας.

91 ἄλιμον θάμνος ἐστὶ φραγμίτης, ὅμοιος ῥάμνῳ, οὐκ ἔχων ἀκάνθας, φύλλα δὲ ἐλαίας παραπλήσια, πλατύτερα μέντοι· φύεται ἐν παραθαλασσίοις ⟨τόποις⟩ καὶ φραγμοῖς. λαχανεύεται δὲ αὐτῆς τὰ φύλλα ἑψόμενα εἰς βρῶσιν. τῆς δὲ ῥίζης δραχμῆς μιᾶς ὁλκὴ ποθεῖσα σὺν μελικράτῳ σπάσματα καὶ ῥήγματα καὶ στρόφους πραΰνει καὶ γάλα κατασπᾷ.

92 παλίουρος γνώριμος θάμνος ἀκανθώδης, στερεός,

---

91 RV: ἄλιμος· οἱ δὲ δαμασώνιον, οἱ δὲ ἐρυμ⟨άτι⟩ον, οἱ δὲ Βρεττανική, οἱ δὲ ῥαβδίον, οἱ δὲ βασίλειον, προφῆται Ἑρμοῦ βάσις, ὁμοίως ἀψίς, οἱ δὲ Ὀσίριδος διάδημα, οἱ δὲ ἡλίου στέφανος, οἱ δὲ ἱερὸς καλός, Πυθαγόρας ἀνθηρός, Αἰγύπτιοι ἀσφοιί, οἱ δὲ ἀσοντηρί, οἱ δὲ ἀσελλορηί, οἱ δὲ ἀσαραφί, Ῥωμαῖοι ἀλβούκιουμ, οἱ δὲ ἀμπουλλάκιαμ. θάμνος ἐστὶ φραγμίτης, ῥάμνῳ παραπλήσιος, οὐ μὴν ἀκανθώδης, ὑπόλευκος, ὅ τε σύμπας καὶ τὰ φύλλα καθάπερ ἐλαίας, πλατύτερα μέντοι καὶ ἁπαλώτερα. γεννᾶται δὲ κατὰ τὸ πλεῖστον ἐν παραθαλαττίοις τόποις καὶ φραγμοῖς. καὶ τὰ φύλλα μὲν ἐσθίεται, τῆς δὲ ῥίζης δραχμὴ μία μετὰ μελικράτου ποιεῖ πρὸς σπάσματα καὶ ῥήγματα καὶ στρόφους.

---

4 SIM. Pl. XXII 73 (e S. N.); D. eup. II 34 (246) I 138 (163).
4 EXC. Orib. XI s. v. (ἄλιμον — βρῶσιν); cf. Gal. XI 821 (= Act. I s. v. Paul. Aeg. VII 3 s. v.); Hes. s. v.
10 SIM. Theophr. h. pl. III 18, 3; Pl. XIII 111; XXIV 115 (e S. N.); D. eup. II 111 (310) cf. Ath. XIV 650a; Hes. s. v.
10 EXC. Gal. XII 93 (unde Act. I s. v. Paul. Aeg. VII 3 s. v.).

---

4 num. cap. $\overline{\text{ϙα}}$ QDi: ρα΄ Dl ἄλιμος ROrib.Di post ἄλιμον syn. e R add. HDi post ῥάμνῳ e R add. ὑπόλευκος Spr., fort. recte cf. Pl. l. s. 5 δὲ om. Orib. ἐλαίας F: ἐλαία reliqui 6 τόποις addidi e R καὶ κρημνοῖς καὶ φραγμοῖς Orib. 8 <$\overline{\alpha}$ ὁλκὴ HDi: <ο $\overline{\alpha}$ ὁλκὴ F καὶ om. HDi
10 num. cap. $\overline{\text{ϙβ}}$ QDi: ρβ΄ Dl παλλίουρος libri γνώριμός ἐστι Di θάμνος om. H
11 C fol. 35[r]: N 2 ἔρυμον libri: correxi 12 βριττανική R: βρετανική HDi: correxi προφῆται βασίλιον C (ord. syn. auctorum perturbavit) 13 σαψίς libri: correxi διάδημα om. C 14 καλός] καυλός Spr. ἀνθηνορος libri: correxi post ἀνθηρός pergit ῥωμαῖοι ἀσφηδασουκιουμ, οἱ δὲ ἀμπουλλακια C 15 ἀσφοιη N: ἄσφη HDi (post ἀσοντηρί colloc.) ἀσοντιρί Di ἀσελλορη N: ἀσελορηί H: ἀσεαλουρί Di: correxi ἀσαραφη N: ἀσαρηφί H: ἀσαριφή Di 16 ἀμπουλλακια R: ἀμπελουκιάμ HDi, cf. Pl. XV 55. 58 θάμνος δὲ C

οὗ τὸ σπέρμα λιπαρὸν καὶ γλινῶδες εὑρίσκεται· ὅπερ πινόμενον βῆξιν ἀρήγει καὶ τοὺς ἐν κύστει λίθους θρύπτει καὶ πρὸς ἑρπετῶν δήγματα ποιεῖ. τὰ δὲ φύλλα καὶ ἡ ῥίζα στυπτικά, ὧν τὸ ἀφέψημα ποθὲν κοιλίαν ἵστησιν, οὐρά τε ἄγει καὶ θανασίμοις καὶ θηριοδήκτοις βοηθεῖ. διαφορεῖ δὲ πάντα τὰ πρόσφατα φύματα καὶ οἰδήματα ἡ ῥίζα λεία ἐπιπλασθεῖσα.

93 ὀ ξ υ ά κ α ν θ α· οἱ δὲ πυρῆνα, οἱ δὲ πυρακάνθην καλοῦσι. δένδρον ἐστὶ παραπλήσιον ἀχράδι, μικρότερον δὲ καὶ ἀκανθῶδες ἄγαν· καρπὸν δὲ φέρει μύρτῳ ἐμφερῆ, ἁδρόν, ἐρυθρόν, εὔθρυπτον, ἔνδοθεν πυρῆνας ἔχοντα, ῥίζαν πολυσχιδῆ καὶ βαθεῖαν.

τούτου ὁ καρπὸς διάρροιαν ἵστησι καὶ ῥοῦν γυναικεῖον πινόμενος καὶ ἐσθιόμενος. ἡ δὲ ῥίζα καταπλασθεῖσα λεία σκόλοπας καὶ ἀκίδας ἐπισπᾶται. ἱστορεῖται δὲ δύνασθαι ἡ ῥίζα καὶ ἐκτρωσμοὺς ἐργάζεσθαι τῆς κοιλίας ἡσυχῇ τρὶς πληχθείσης ἢ χρισθείσης.

94 κ υ ν ό σ β α τ ο ς· οἱ δὲ ὀξυάκανθαν καλοῦσι. θάμνος ἐστὶ βάτου πολλῷ μείζων, δενδρώδης. φύλλα φέρει πλατύτερα μυρσίνης, ἄκανθαν δὲ περὶ ταῖς ῥάβδοις ἰσχυράν, ἄνθος λευκόν, καρπὸν ἐπιμήκη, πυρῆνι ἐλαίας ἐοικότα, ἐν τῷ πεπαίνεσθαι πυρράν, τὰ δὲ ἐντὸς ἐριώδη. ἵστησι δὲ κοιλίαν ὁ καρπὸς ξηρὸς

---

7 SIM. Pl. XXIV 114 cf. Theophr. h. pl. I 9, 3. III 3, 3. III 4. 4; D. eup. II 82 (294 erravit D.) eup. I 167 (180).

7 EXC. Orib. XII s. v. (*ὀξυάκανθος — βαθεῖαν*); Gal. XII 90 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

17 SIM. Theophr. h. pl. III 18, 4; Pl. XXIV 121 (unde?); D. eup. II 82 (294); cf. schol. Theocr. V 92; Ath. II 70 cd.

17 EXC. Ps. D. de h. f. c. 61 (cap. de cynosbato cum D. II 172 conflatum) Gal. XII 52 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

---

1 *ἐφ' οὗ* F (*ἐφ'* dittogr.) *λιγνυῶδες* HDi: *λινοειδὲς* coni. Sar. coll. Theophr. l. s. 5 *καὶ θηριοδήκτοις* om. Dl, at cf. Pl. l. s. *δὲ*] *τε* H 6 *λεία* om. H

7 num. cap. *ϛγ* QDi: *ργ'* Dl *ὀξυάκανθα* F (*ὀξυάκανθος* ind.) HDi: *ὀξυάκανθος* Theophr. Gal. D. eup. Orib. *οἱ δὲ — καλοῦσι* om. Orib. *πυρίναν* F: *πυρῆναν* H: *πυρῆνα* Di|: *damamen* (sic) Dl *πιτυάνθην* QDi: *pianthem* Dl: corr. Salm. cf. D. I 118 9 *δὲ* om. Orib. *μύρτοις* Orib.: fort. recte post *ἐρυθρόν* add. *ἀραίαν* Orib.: *ἀραιός* Gal. (varia lectio pro *ἁδρόν*) 10 *εὔθρυπτον* om. Orib. *πυρῆνα* HDi *ῥίζαν* (add. O²) *δὲ* Orib. 13 *καὶ ἐσθιόμενος* om. F, at cf. Gal. l. s. 14 *τὴν ῥίζαν* HDi

17 num. cap. *ϛδ* QDi: *ρδ'* Dl *κυνόσβατον* HDi *ὀξυάκανθα* H 18 *πολλῷ πλατύτερα* Di 19 *ἄκανθαν* (comp. scr.) F: *ἀκάνθας* reliqui 20 *πυρίνη* F

δίχα τοῦ ἐν αὐτῷ ἐριώδους — κακωτικὸν γὰρ τῆς ἀρτηρίας τοῦτο — ἐν οἴνῳ ἀποζεννύμενος καὶ πινόμενος.

95 **κύπρος** δένδρον ἐστὶ φύλλα ἔχον περὶ ταῖς ῥάβδοις ἐλαίᾳ παραπλήσια, πλατύτερα δὲ καὶ μαλακώτερα καὶ χλωρότερα, ἄνθη λευκά, βοτρυώδη, εὐώδη, σπέρμα μέλαν, ὅμοιον τῷ τῆς ἀκτῆς. γεννᾶται δὲ ἀρίστη ἐν τῇ Ἀσκάλωνι καὶ Κανώπῃ.

δύναμιν δὲ ἔχει τὰ φύλλα στυπτικήν, ὅθεν διαμασηθέντα ἄφθας ἰᾶται, καὶ τοὺς ἄνθρακας καὶ τὰς ἄλλας πυρώδεις φλεγμονὰς καταπλασθέντα ὠφελεῖ. τὸ δὲ ἀφέψημα αὐτῶν πυρικαύτων κατάντλημα. ξανθίζει δὲ καὶ τρίχας στρουθίου χυλῷ λεῖα τὰ φύλλα βραχέντα καὶ ἐγχρισθέντα. τὸ δὲ ἄνθος ἐπιπλασθὲν τῷ μετώπῳ λεῖον μετ᾽ ὄξους κεφαλαλγίας παύει. τὸ δὲ σκευαζόμενον ἐξ αὐτῆς χρῖσμα κύπρινον θερμαντικὸν γίνεται καὶ μαλακτικὸν νεύρων, εὐῶδες, προσλαμβάνον πυρωτικὰ μείγματα.

96 **φιλύρα** δένδρον ἐστὶν ὅμοιον κύπρῳ κατὰ μέγεθος, φύλλα δὲ ἐλαίας ὅμοια, πλατύτερα δὲ καὶ μελάντερα. καρπὸν δὲ ἔχει σχίνῳ ἐμφερῆ, μέλανα, ὑπόγλυκυν, ὡς ἐν βότρυσι κείμενον. ἐν τραχέσι δὲ τόποις γεννᾶται.

ταύτης τὰ φύλλα στύφει ὡς ἀγριελαία, ποιοῦντα πρὸς τὰ στύψεως δεόμενα, μάλιστα τοῖς ἐνστομίοις ἕλκεσι διαμάσημα καὶ διάκλυσμα τὸ ἀφέψημα, καὶ πινόμενον δὲ οὖρα καὶ ἔμμηνα ἄγει.

---

3 SIM. Pl. XII 109. XXIII 90 (c S. N.); D. eup. I 82 (135) I 200 (197) I 97 (142).

3 EXC. Orib. XI s. v. (*κύπρος — ἀκτῆς*); Gal. XII 54 (cf. Act. I s. v. Paul. Aeg. VII 3 s. v.).

16 SIM. Theophr. h. pl. III 10, 4; Pl. XXIV 50.

16 EXC. Orib. XII s. v. (*φιλύρα — γεννᾶται*); Paul. Aeg. VII 3 s. v.

---

2 *ἀποζεννύμενον ἐν οἴνῳ καὶ πινόμενον* Di: *ἐν οἴνῳ ἀποζεννύμενον καὶ πινόμενον* Q: corr. e cod. suo Lac.

3 num. cap. *ϙε* QDi: *ρε* Dl *τὰς ῥάβδους* Orib. 4 *ἐλαίας* H *καὶ μαλακώτερα* om. Orib.H 5 *λευκὰ καὶ* Q (dittogr.) *βρυώδη* QDi *καὶ εὐώδη* Q 6 *ἀσκαλωνικῇ* F (dittogr.) 8 *τοὺς ἄνθρακας* Q: *καὶ ἄνθρακας* post *ὠφελεῖ* colloc. Di 11 *τὰ φύλλα λεῖα* HDi 13 *αὐτοῦ* HDi 14 *εὐῶδες* om. Di *ἐν τῷ προσλαμβάνειν* Di *πυρωτικὸν σμίγματος* H

16 num. cap. *ϙϛ* QDi: *ρϛʹ* Dl *φιλλύρα* F (*φιλύρα* ind.) Dl: *φίλυρις* Orib.: *φιλλυρέα* reliqui 17 *ὅμοια ἐλαίᾳ* Orib. *ἔχει καρπὸν* Orib. 18 *σχοίνῳ* H: *ἐχίνῳ* Orib. 19 *τραχέσι τόποις γεννώμενον* Orib. 23 *κινεῖ* H Paul. Aeg. l. s.: *menses sistunt* Pl. l. s.

97 κίσθος, ὃν ἔνιοι κίσθαρον ἢ κίσσαρον καλοῦσι, θάμνος ἐστὶν ἐν πετρώδεσι τόποις φυόμενος, πολύκλαδος, ξυλώδης, οὐχ ὑψηλός, φύλλα ἔχων περιφερῆ, στρυφνά, ⟨μέλανα,⟩ δασέα· ἄνθη ὥσπερ ῥόας, ⟨ἐπὶ μὲν τοῦ ἄρρενος ἐμπόρφυρα,⟩ ἐπὶ δὲ τοῦ θήλεος λευκά.

δύναμιν δὲ ἔχει στυπτικὴν τὰ ἄνθη λεῖα πινόμενα σὺν οἴνῳ αὐστηρῷ, ὅθεν δυσεντερικοῖς ἁρμόζει λαμβανόμενα δὶς τῆς ἡμέρας. καθ' ἑαυτὰ δὲ καταπλασθέντα νομὰς ἐφίστησι, σὺν κηρωτῇ δὲ πυρίκαυτα καὶ παλαιὰ ἕλκη ἰᾶται.

φύεται δὲ παρὰ τὰς ῥίζας τοῦ κίσθου ἡ λεγομένη ὑποκιστίς, ὑπ' ἐνίων δὲ ὀρόβηθρον ἢ κύτινος καλουμένη, ὁμοιόν 2

97 RV: ὑποκισθίς· οἱ δὲ ὑποκυσθίν, οἱ δὲ ὀρόβηθρον, οἱ δὲ θορύβηθρον, οἱ δὲ κύτινος, οἱ δὲ λεοντιάς, οἱ δὲ Διονυσιάς, οἱ δὲ θύρσιον.

ὑποκισθὶς ἑτέρα· οἱ δὲ αἰείβιον, οἱ δὲ κύτινον ἄφυλλον, οἱ δὲ θύρσιον, οἱ δὲ θορύβηθρον, οἱ δὲ καὶ ὀρόβηθρον, Ἄφροι βιλλεσαδέ.

---

1 SIM. Theophr. h. pl. VI 2, 1 (cf. Hes. s. v.); Pl. XXIV 81 (e S. N.).

1 EXC. Orib. XI s. v. (κίσθος — λευκά); Gal. XII 27 (unde Act. I s. v. Paul. Aeg. VII 3 s. v.).

10 SIM. Pl. XXVI 49 (e S. N.); D. eup. II 51 (264) II 48 (260) II 30 (239) II 82 (293).

10 EXC. Orib. XII s. v. (φύεται — λυκίου); Gal. XII 27 (cf. Paul. Aeg. s. v. ὑποκιστίς).

---

1 num. cap. $\overline{϶ζ}$ QDi: ϙζ Dl tit. περὶ κίσθου FDi: περὶ κίσθου ἐν ᾧ καὶ περὶ λαδίνης H (κίσθος τοῦ λαδάνου τὸ βότανον ind. F) κίστος ἢ κίσθαρον Gal.: κίσθος libri ἢ κίσσαρον om. Dl, cf. D. II 178 2 ξυλώδης F: φυλλώδης reliqui, cf. Theophr. l. s. 3 στρυφνά om. H μέλανα addidi e H 4 ἄνθη ἄρρενος vulgo: at ἄρρενος om. libri, ergo ἐπὶ μὲν — ἐμπόρφυρα addidi (vers. om. libri, quem 24—26 litteras amplexum esse statui cf. D. vol. II praef. 21), ad rem cf. Theophr. l. s. Pl. l. s. 6 post στυπτικὴν colloc. ὅθεν Di λεῖα om. Di πιν. δὶς τῆς ἡμέρας ἐν οἴνῳ αὐστηρῷ Di 7 δυσεντερίαις Di 8 αὐτὰ libri: correxi 9 δὲ om. F 10 mg. add. περὶ ὑποκισθίδος HDi ταῖς ῥίζαις ROrib. κοστοῦ Orib.: κησσου C: κισσου (i. e. κίσθου) N ὑποκυστίς FOrib.N: ὑποκισσις C: *hypoquistis* Dl: ὑποκιστίς D. eup. l. s. Gal.: hypocisthis Pl. 11 ὑπ' ἐνίων — ῥόας om. R καλούμενος H

12 C fol. 354v: N 145 ὑποκισθίς scripsi: ὑποκισσιν C: ὑποκυστις N οἱ δὲ ὑποκυσσιν N: om. C: correxi 13 κυταμινος λεων R: correxi οἱ δὲ λεοντιάς om. C

15 C fol. 355r: N 145 ὑποκισσιν ἕτερον C: ὑποκυστις ἑτέρα N αιοβιον R: correxi 16 ὀροβηθρον καλοῦσιν N 17 βιλλεσαδε vel βιαλεσαδε C: φυλλεσαδέ H

τι κυτίνῳ ῥόας· καὶ τὸ μέν τι αὐτοῦ κιρρὸν [τὸ δὲ χλωρὸν] τὸ δὲ λευκόν, ὅπερ χυλίζεται ὥσπερ ἡ ἀκακία. ἔνιοι δὲ ξηράναντες αὐτὴν καὶ θλάσαντες βρέχουσί τε καὶ ἕψουσι καὶ τὰ ἄλλα ποιοῦσιν ὡς ἐπὶ τοῦ λυκίου. δύναμιν δὲ ἔχει τὴν αὐτὴν τῇ ἀκακίᾳ, στυπτικωτέραν δὲ καὶ ξηραντικωτέραν, ποιοῦσαν πρὸς κοιλιακούς, δυσεντερικούς, αἱμοπτυικοὺς καὶ ῥοῦν γυναικεῖον πινομένη καὶ ἐνιεμένη.

3 *ἔστι δὲ καὶ ἕτερον εἶδος κίσθου, καλούμενον ὑπ' ἐνίων λῆδον, θάμνος κατὰ τὰ αὐτὰ φυόμενος τῷ κίσθῳ, μακρότερα δὲ τὰ φύλλα ἔχει καὶ μελάντερα, λιπαρίαν τινὰ κατὰ τὸ ἔαρ ἐπισπώμενα, ὧν φύλλων ἡ δύναμις στυπτικὴ καθέστηκε, ποιοῦσα πρὸς ὅσα καὶ ὁ κίσθος. γίνεται δὲ ἐξ αὐτοῦ τὸ λεγόμενον λάδανον· τὰ φύλλα γὰρ αὐτοῦ νεμόμεναι αἱ αἶγες καὶ οἱ τράγοι τὴν λιπαρίαν ἀναλαμβάνουσι τῷ πώγωνι γνωρίμως καὶ τοῖς μηροῖς προσπλαττομένην διὰ τὸ τυγχάνειν ἰξώδη, ἣν ἀφαιροῦντες ὑλίζουσι καὶ ἀποτίθενται ἀναπλάσσοντες μαγίδας. ἔνιοι δὲ καὶ σχοινία ἐπισύρουσι τοῖς θάμνοις καὶ τὸ προσπλασθὲν αὐ-*
4 *τοῖς λίπος ἀποξύσαντες ἀναπλάσσουσιν. κράτιστον δέ ἐστιν αὐτοῦ τὸ εὐῶδες, ὑπόχλωρον, εὐμάλακτον, λιπαρόν, ἀμέτοχον ἄμμου ἢ ψαφαρίας, ῥητινῶδες. τοιοῦτον δέ ἐστι τὸ ἐν Κύπρῳ γεννώμενον, τὸ μέντοι Ἀραβικὸν καὶ Λιβυκὸν εὐτελέστερον.*

δύναμιν δὲ ἔχει θερμαντικήν, μαλακτικήν, ἀναστομωτικήν. ἵστησι δὲ τὰς ῥεούσας τρίχας μιγὲν οἴνῳ καὶ σμύρνῃ καὶ μυρσινίνῳ ἐλαίῳ, οὐλάς τε εὐπρεπεστέρας ποιεῖ μετ' οἴνου καταχριόμενον, καὶ ὠταλγίας μεθ' ὑδρομέλιτος ἢ ῥοδίνου ἐγχεόμενον

---

8 SIM. Herod. III 112; Pl. XII 73; XXVI 47 sq. (e S. N.).
8 EXC. Gal. XII 28 (unde Aet. I s. v.); Paul. Aeg. VII 3 s. v.
18 EXC. Orib. t. V 72 (D.) s. v. (*κράτιστον — γεννώμενον*).
18 SIM. Pl. XXVI 48. Cels. V 12 — Cels. VI 1. Pl. 48. D. eup. I 96 (141) — Pl. 48 — eup. II 70 (284) Pl. XXVI 157 — D. eup. II 31 (242) Pl. 48 — Cels. III 21 (107, 12).

---

1 post *ῥόας* Afrorum syn. add. H *καὶ* om. ROrib. *ἡ μέν τις κιρρά, πόα ἄφυλλος, ἡ δὲ λευκὴ ὁμοίως* C: *ἡ μέν τις κιρρὰ ἡ δὲ λευκὴ πόα ἄφυλλος αἵπερ* N *μέν τι* scripsi: *μέντοι* Orib.F: *μὲν* HDi *τὸ δὲ χλωρὸν* post *λευκὸν* transpos. H: om. Orib.Dl: seclusi Spr. duce coll. Pl. l. s. 2 *χυλίζονται* R 3 *αὐτὴν βρέχουσιν καὶ θλάσαντες ἕψουσι* R: *αὐτὴν βρέχουσι θλάσαντες καὶ ἕψουσι* Orib. 4 *ἐπὶ τῇ τοῦ* N 6 *πινομένη καὶ πρὸς ῥοῦν γυναικεῖον* C: *πινομένη ποιεῖ δὲ καὶ πρὸς ῥ. γ.* N *καὶ* om. HDi 7 nov. cap. (*ϙζ*) *περὶ λαδάνου* incip. Di: *περὶ λαδάνου* mg. add. H *δὲ* om. Di 10 *λιπαρίας τινὰς* HDi 11 *οὗ τῶν φύλλων* H 13 *αὐτῆς* F 20 *ψάμμου* H *ψαθαρίας* F 22 post *ἔχει* add. *στυπτικήν* HDi: om. FDl 23 *μυρσίνῳ* HDi, at cf. D. eup. I 96 (141) *σμύρνα σὺν οἴνῳ καὶ λαδάνῳ καὶ μυρσινίνῳ*

θεραπεύει. ὑποθυμιᾶται δὲ καὶ πρὸς δευτέρων ἐκβολάς, καὶ σκληρίας θεραπεύει τὰς ἐν μήτρᾳ ἐν πεσσῷ μιγέν, καὶ ταῖς ἀνωδύνοις καὶ βηχικαῖς καὶ μαλάγμασι χρησίμως μείγνυται, κοιλίαν τε ἵστησι σὺν οἴνῳ παλαιῷ ποθέν· ἔστι δὲ καὶ οὐρητικόν.

98 ἔβενος κρατίστη ἡ Αἰθιοπική, μέλαινα καὶ μὴ ἔχουσα κτηδόνας, ἐμφερὴς κέρατι εἰργασμένῳ τῇ λειότητι, θλασθεῖσα δὲ πυκνή, δηκτικὴ ἐν τῇ γεύσει καὶ ὑποστύφουσα, τεθεῖσά τε ἐπ᾽ ἀνθράκων μετ᾽ εὐωδίας καὶ δίχα καπνοῦ θυμιωμένη. ἡ δὲ πρόσφατος διὰ τὴν λιπαρίαν καὶ ἀνάπτεται πυρὶ προσαφθεῖσα, τριφθεῖσα δὲ ἐπ᾽ ἀκόνης ὑπόκιρρος γίνεται. ἔστι δέ τις καὶ Ἰνδική, ἔχουσα διαφύσεις λευκὰς καὶ κιρρὰς καὶ σπίλους ὁμοίως πυκνούς, πλὴν βελτίων ἡ πρώτη. ἔνιοι δὲ τὰ ἀκάνθινα ἢ καὶ συκάμινα καλούμενα ξύλα, ἐμφερῆ ὄντα, ἀντὶ ἐβένου πωλοῦσι· διαγινώσκεται δὲ ἐκ τοῦ χαῦνά τε εἶναι καὶ κατὰ σχίδακας μικρὰς ἀπολύεσθαι ἐμπορφύρους τῷ χρώματι, μηδὲν δὲ δηκτικὸν ἔχειν ἐν τῇ γεύσει ἢ ἐν τῇ θυμιάσει εὐῶδες.

δύναμιν δὲ ἔχει σμηκτικὴν τῶν ἐπισκοτούντων ταῖς κόραις, 2
ἀνδρικῶς δὲ ποιεῖ καὶ πρὸς τὰ παλαιὰ ῥεύματα καὶ φλυκτίδας. εἰ δέ τις ποιήσας ἐξ αὐτῆς ἀκόνιον χρῷτο εἰς τὰ κολλύρια, βέλτιον ἐνεργήσει. κατεργάζεται δὲ εἰς τὰ ὀφθαλμικὰ τῶν τορνευμάτων ἢ ῥινημάτων βρεχομένων ἐν οἴνῳ Χίῳ ἡμέραν καὶ νύκτα, εἶτα λειουμένων ἐπιμελῶς καὶ εἰς κολλύρια ἀναπλασσομένων. ἔνιοι δὲ προτρίψαντες διασήθουσιν αὐτήν, εἶθ᾽ οὕτω τὰ λοιπὰ ποιοῦσι, τινὲς δὲ ἀντὶ τοῦ οἴνου ὕδατι χρῶνται. καίεται δὲ ἐν ὠμῇ χύτρᾳ, ἕως ἂν ἀνθρακωθῇ, καὶ πλύνεται ὡς ὁ κεκαυμένος μόλιβδος. ἁρμόζει δὲ ἡ τοιαύτη πρὸς ψωροφθαλμίας καὶ ξηροφθαλμίας.

---

6 SIM. Theophr. h. pl. IV 4, 6. [Theophr.] IX 20, 4; Pl. XII 17sq. XXIV 89; D. eup. I 41 (112); Isid. XVII 7, 36.

6 EXC. Orib. lat. XI s. v. (*ἔβενος — εὐῶδες*); Gal. XI 867 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

---

6 num. cap. ϙη QDi: ρη′ Dl   *καὶ μέλαινα* vulgo   7 *ἐμφερεῖς* QDi   8 *τε* om. H   9 *ἐκθυμιωμένη* Di   10 *καὶ* om. Orib.Di   *προσαχθεῖσα* H   13 *τὰ*] *καὶ* H: om. F   14 *σισάμινα* F: *σησάμινα* H: *σησάμινα ἢ ἀκάνθινα ξύλα* Di: *συκάμινα* cod. Lac. (E): *sesamina aut spinea ligna* Orib.: *multi ligna ansamina et acantina vendunt* Dl   *καλούμενα*] *καλοῦσι* H: om. Orib. Di   16 *δὲ* om. H   17 *ἔχειν* FDi: *ἐχούσας* H   19 *ἀνδρικῶς* om. H   *δὲ* om. Q   20 *αὐτοῦ* Fv   21 *δὲ καὶ* v   *τοὺς ὀφθαλμοὺς* H   22 *ῥινισμάτων* Q   23 *λειομένων* F: *λελειωμένων* H   24 *διηθοῦσιν* Di   *αὐτά* HDi   27 *τὸ τοιοῦτον* Di   *ψωροφθαλμίας καὶ* om. Di

99 ῥόδα ψύχει, στύφει, τὰ δὲ ξηρὰ μᾶλλον στύφει. χυλίζειν δὲ δεῖ τὰ ἁπαλὰ ἀποψαλίσαντας τὸν ὄνυχα καλούμενον, ὅπερ ἐστὶ τὸ λευκὸν τὸ ἐν τῷ φύλλῳ, τὸ δὲ λοιπὸν ἐκθλίβειν καὶ τρίβειν [ἐν σκιᾷ] ἐν θυίᾳ, ἄχρις οὗ συστραφῇ, οὕτως τε ἀποτίθεσθαι εἰς τὰς ὀφθαλμικὰς περιχρίσεις. ξηραίνεται δὲ τὰ φύλλα ἐν σκιᾷ συνεχῶς στρεφόμενα, ἵνα μὴ εὐρωτιάσῃ.

ποιεῖ δὲ τῶν ξηρῶν ἑψηθέντων ἐν οἴνῳ τὸ ἀπόθλιμμα πρὸς ἄλγημα κεφαλῆς, ὀφθαλμῶν, ὤτων, οὔλων, δακτυλίου ἀπευθυσμένου, [ἐντέρου] μήτρας πτερῷ ἐγχριόμενον καὶ προσ-
2 κλυζόμενον. αὐτὰ δὲ δίχα τοῦ ἐκθλιβῆναι κοπέντα ποιεῖ ἐπιπλαττόμενα πρὸς ὑποχονδρίων φλεγμονὰς καὶ στομάχου πλάδον καὶ πρὸς ἐρυσιπέλατα. ξηρὰ δὲ λεία παραμηρίοις προσπάσσεται καὶ ἀνθηραῖς καὶ τραυματικαῖς καὶ ἀντιδότοις μείγνυται· καίεται δὲ καὶ εἰς τὰ καλλιβλέφαρα. τὸ δὲ ἐν μέσοις τοῖς ῥόδοις εὑρισκόμενον ἄνθος πρὸς οὔλων ῥευματισμοὺς ξηρὸν προσπασθὲν ποιεῖ. ⟨καὶ⟩ αἱ κεφαλαὶ δὲ ποθεῖσαι κοιλίαν ῥέουσαν καὶ αἵματος ἀναγωγὴν ἐπέχουσιν.

3 αἱ λεγόμεναι δὲ ῥοδίδες σκευάζονται τοῦτον τὸν τρόπον·

---

99 RV: ῥόδον ἢ ῥόδα, Ῥωμαῖοι ῥόσα.

---

1 SIM. Pl. XXI 121 (e S. N.); D. eup. I 2 (95) I 69 (128) I 31 (108) II 10 (231) I 169 (181) I 79 (134) II 29 (239).
1 EXC. Orib. XII s. v. (ῥόδα — εὐρωτιάσῃ); Gal. XII 114.
18 SIM. Pl. XXI 125; D. eup. I 113 (149) cf. Democr. (Gal. XIV 133).

---

1 num. cap. ϙθ QDi: ρθ' Dl ῥόδον ἢ ῥόδα ῥωμαῖοι ῥόσα Di (e R): Ῥωμαῖοι ῥόσα post στύφει add. H ψύχει καὶ στύφει HDi στύφει om. Orib.F, at cf. Pl· *rosa adstringit, refrigerat* 2 δεῖ om. R ἀποψαλλίσαντας QDi 3 ἐκθλίβειν ἐν σκιᾷ ἄχρι οὗ R 4 ἐν σκιᾷ καὶ θυείᾳ Orib.: ἐν σκιᾷ seclusi (dittogr.) καὶ οὕτως N: οὕτω HDi 5 χρίας τοῦτο (τοῦτο om. N) R 6 συνστρεφόμενα R 9 ἐντέρου om. R: glossam delevi ἢ πρωὶ ἐγχεόμενον C: ἐγχεόμενον (om. πτερῷ) N 10 τοῦ] τὰ F: πυρὸς (sic) R κοπέντα καὶ ἐπιπλασσόμενα RDi: ῥόδων ἄνθος ἐπιπασσόμενον τῷ πόματι (sc. στομάχου ῥευματισμοὺς ἵστησι) D. eup. II 10 (231): τῷ πόματι ἐπιπαττόμενα couicerem, nisi obstarct Pl. XXI 124 *stomacho inponitur, item igni sacro non veteri* 12 πρὸς om. RDi δὲ] τε R παρὰ μηροῖς HDi προσπλάσσεται C 13 ἀνθηραῖς καὶ τραυματικαῖς om. C ἀνθηρικαῖς N, ad rcm cf. Scrib. L. 61. Cels. VI 11 (249, 4). Gal. XII 957. Antyll. (Orib. II 458) 14 τὰ om. R 15 ἄνθος εὑρισκόμενον R 16 καὶ addidi e C: αἱ δὲ κεφαλαὶ N 17 post ἐπέχουσιν add. τὰ δὲ χρυσᾶ καὶ μονόφυλλα εἰς ἅπαντα ἀχρηστότερα. ἔστι καὶ ἐπίγειά τινα, μικρότερα, ἁπλᾶ, ἄγρια, εἰς πολλὰ τοῖς κηπευτοῖς εὐλαβέστερα vulgo 18 quae sequuntur om. R ῥοδίδες· αἱ λεγόμεναι δὲ F: καὶ αἱ λεγόμεναι δὲ Di τὸν τρόπον τοῦτον Di
19 C fol. 279ʳ: N 129 (*rose selvaggie* add. m. rec.)

ῥόδων χλωρῶν ἀβρόχων μεμαραμμένων δραχμὰς τεσσαράκοντα, νάρδου Ἰνδικῆς δραχμὰς πέντε, σμύρνης δραχμὰς ἓξ λεῖα ἀναπλάσσεται εἰς τροχίσκους τριωβολιαίους καὶ ἐν σκιᾷ ξηραίνεται· ἀποτίθεται δὲ εἰς κεραμεοῦν ἀγγεῖον ἀκώνητον περιεσφηκωμένον. ἔνιοι δὲ προστιθέασι καὶ κόστου δραχμὰς δύο καὶ ἴρεως Ἰλλυρικῆς τὸ αὐτὸ μίσγοντες μετὰ μέλιτος καὶ οἴνου Χίου. χρῆσις δέ ἐστιν αὐτῶν ἐπὶ γυναικῶν περιτιθεμένων τῷ τραχήλῳ ἀντὶ ὅρμου ἡδύπνου, ἀμβλυνουσῶν τὴν τῶν ἱδρώτων δυσωδίαν. χρῶνται δὲ αὐτοῖς καὶ λείοις ἐν διαπάσμασι μετὰ τὸ λουτρὸν καὶ συγχρίσμασι καὶ μετὰ τὸ ξηρανθῆναι ἐκλούονται ψυχρῷ.

100 *λύκιον, ὃ ἔνιοι πυξάκανθαν καλοῦσι, δένδρον ἐστὶν ἀκανθῶδες, ῥάβδους ἔχον τριπήχεις ἢ καὶ μείζονας, περὶ ἃς τὰ φύλλα πύξῳ ὅμοια, πυκνά. καρπὸν δὲ ἔχει ὡς πέπερι, μέλανα, πυκνόν, πικρὸν λίαν, καὶ τὸν φλοιὸν δὲ ὠχρόν, ὅμοιον τῷ διεθέντι λυκίῳ, ῥίζας δὲ πολλάς, πλατείας, ξυλώδεις. φύεται δὲ πλεῖστον ἐν Καππαδοκίᾳ καὶ Λυκίᾳ, καὶ ἐν ἄλλοις δὲ τόποις πολλοῖς· τραχέα δὲ φιλεῖ χωρία.*

2 *χυλίζεται δὲ τῶν ῥιζῶν σὺν τοῖς θάμνοις θλασθέντων καὶ βραχέντων ἐφ' ἱκανὰς ἡμέρας, εἶθ' ἑψομένων, καὶ τῶν μὲν ξύλων ῥιπτομένων, τοῦ δὲ ὑγροῦ πάλιν ἑψομένου μέχρι μελιτώδους συστάσεως. δολοῦται δὲ ἀμόργης ἅμα τῇ ἑψήσει μειγνυ-*

11 SIM. Pl. XII 30 sq. XXIV 125 sq. (e S. N.); D. eup. I 48 (115) I 31 (108) I 60 (123) I 85 (136) I 79 (134) I 217 (207) Cels. V 1; eup. II 31 (242) II 113 (313) I 98 (142) I 170 (182) II 83 (294).

11 EXC. Orib. XI s. v. (*λύκιον — δυναμικώτερον*); Gal. XII 63 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

---

1 *μεμαραμένων* F: *μεμαρασμένων* reliqui: correxi *δραχμὰς μ'* H: <ο μ̂ F: <μ' Di 2 <ο ε̂ F: <ι' reliqui *δραχμὰς* ϛ̂ F: < ϛ' reliqui 3 *ξηραίνονται* Q 4 *καὶ ἀποτίθεται* (om. *δὲ*) Di *περιεσφικωμένον* F: *περιεσφηνωμένον* Di 5 <β' libri 6 *σμίγοντες* H *μίσγοντες καὶ οἶνον χίον μετὰ μέλιτος* Di 7 *αὐτῶν ἐστιν* Di *περιτεθέντων* H 8 *δρμων* Di (om. *ἡδύπνου*) *ἀμβλύνουσαι* Di: *ἀμβλυνοῦ* F 9 *αὐτοῖς* (sc. *τοῖς φύλλοις* cf. Pl. XXI 125) F: om. Di *λείω* F *διαπλάσμασι* Q, ad rem cf. Antyll. (Orib. II 454) post *διαπ.* transp. *καὶ συγχρίσμασι* Di 10 *ἐκλύονται* H: *ἐπεκλούονται* V: *ἀπεκλούονται* vulgo

11 num. cap. ρ̄ QDi: ρι' Dl *πυξάκανθον* Gal.: *pyxacanthon Chironiam* Pl. 12 *ἢ*] *τε* H *μεῖζους* H 13 post *πυκνά* add. *μέσα θερμοῦ καὶ ψυχροῦ* H 14 *πυκνόν* post *πικρόν* transpos. Di: om. Orib. *λίαν* Orib.: *λεῖον* QDi: Pl. XII 30 *fert et in spina piperis similitudinem praecipua amaritudine* *δὲ* om. Orib. 15 *πολλάς* om. Orib. *πλαγίας* Dl 16 *δὲ* om. Orib. HDi 18 *ῥιζῶν*] *φύλλων* Q, at cf. Pl. XXIV 125 *coquuntur in aqua tusi rami radicesque summae amaritudinis* 19 *ἑψηθέντων* HDi 21 *τῇ ἑψήσει ἅμα* V

μένης ἢ ἀψινθίου χυλίσματος ἢ βοείας χολῆς. καὶ τὸ μὲν ἐπινηχόμενον ἀφρῶδες ἐν τῇ ἑψήσει ἀφελὼν ἀπόθου εἰς τὰ ὀφθαλμικά, τῷ δὲ λοιπῷ εἰς τὰ ἄλλα χρῶ. γίνεται δὲ καὶ ἐκ τοῦ καρποῦ ὁμοίως χύλισμα ἐκπιεζομένου καὶ ἡλιαζομένου. ἔστι δὲ κάλλιστον τὸ καιόμενον λύκιον καὶ κατὰ τὴν σβέσιν τὸν ἀφρὸν ἐνερευθῆ ἔχον, ἔξωθεν μέλαν, διαιρεθὲν δὲ κιρρόν, ἄβρωμον, στῦφον μετὰ πικρίας, χρώματι κροκῶδες, οἷόν ἐστι τὸ Ἰνδικόν, διαφέρον τοῦ λοιποῦ καὶ δυναμικώτερον.

3 δύναμιν δὲ ἔχει στυπτικὴν καὶ τὰ ἐπισκοτοῦντα ταῖς κόραις καθαίρει, ψωριάσεις τε τὰς ἐπὶ τῶν βλεφάρων καὶ κνησμοὺς καὶ τὰ παλαιὰ ῥεύματα θεραπεύει. ποιεῖ καὶ πρὸς ὦτα πυορροοῦντα, παρίσθμια, οὖλά τε εἱλκωμένα καὶ διερρωγότα χείλη, ῥαγάδας ἐν δακτυλίῳ, παρατρίμματα περιχριόμενον· ἁρμόζει καὶ κοιλιακοῖς καὶ δυσεντερικοῖς πινόμενον καὶ ἐγκλυζόμενον. δίδοται δὲ καὶ αἱμοπτυικοῖς καὶ βήττουσι σὺν ὕδατι, καὶ τοῖς ὑπὸ λυσσῶντος κυνὸς δηχθεῖσιν ἐν καταποτίῳ ἢ σὺν ὕδατι ποτόν. ξανθίζει δὲ καὶ τρίχας, παρωνυχίας τε καὶ ἕρπητας καὶ σηπεδόνας ἰᾶται· ἵστησι δὲ καὶ ῥοῦν γυναικεῖον προστιθέμενον.

4 λέγεται δὲ τὸ Ἰνδικὸν λύκιον γίνεσθαι ἐκ θάμνου, τῆς λεγομένης λογχίτιδος. ἔστι δὲ εἶδος ἀκάνθης, ῥάβδους ἔχον ὀρθάς, τριπήχεις ἢ καὶ μείζους, πολλὰς ἀπὸ τοῦ πυθμένος, παχυτέρας βάτου, φλοιὸς ῥαγεὶς ἐνερευθής, τὰ δὲ φύλλα ὅμοια ἐλαίας, ἧς ἡ πόα ἐν ὄξει ἑψηθεῖσα καὶ ποτιζομένη ἱστορεῖται φλεγμονὰς σπληνὸς καὶ ἴκτερον θεραπεύειν καὶ καθάρσεις γυναικῶν ἄγειν· καὶ ὠμὴ δὲ λεία ποθεῖσα τὰ αὐτὰ ποιεῖν παραδίδοται, τοῦ δὲ σπέρματος μύστρα δύο ποθέντα ὑδατῶδες καθαίρειν καὶ θανασίμοις βοηθεῖν.

101 ἀκακία φύεται ἐν Αἰγύπτῳ. ἄκανθα δέ ἐστι δεν-

28 SIM. Theophr. h. pl. IV 2, 8; Pl. XXIV 109.
28 EXC. Orib. XI s. v. (ἀκακία — γεννᾶται, πλύνεται — ἵστησι); Orib. t. V 69 (D.); Gal. XI 816.

1 χυλίσματος FOrib.: χυλίσματι reliqui   βοείᾳ χολῇ HDi: χολῆς βοείας Orib.   5 καὶ om. H   6 ἀφρὸν] καπνὸν Orib.   δὲ om. H   7 κροκοειδές Orib.   11 τὰ om. v   12 τε om Di   ἡλκωμένα FDi   ἐρρωγότα Qv   13 δακτύλοις H: δακτυλλίοις Di: δακτύ(λ superscr.) F   ἐπιχριόμενον HDi   18 δὲ om. Di   post προστιθέμενον add. βοηθεῖ δὲ καὶ λυσσοδήκτοις ποθὲν μετὰ γάλακτος ἢ ἀντὶ καταποτίου λαμβανόμενον HDi   20 ἔχον F: ἔχουσα reliqui   22 ἐνερευθεῖς F   23 ἐλαίᾳ HDi   24 θεραπεύειν] ἰᾶσθαι Di   γυναικείας Di   25 παραδέδοται Hv   26 ὑδατῶ(δ superscr.) F: ὑδατώδη reliqui   καθαίρει H   27 βοηθεῖ H
28 num. cap. ρα QDi: ρια' Dl

δρώδης, θαμνώδης, οὐκ ὀρθοφυής, ἄνθος ἔχουσα λευκόν, καρπὸν δὲ ὥσπερ θέρμιον, λευκόν, ἐν λοβοῖς κείμενον, ἐξ οὗ καὶ ἐκθλίβεται τὸ χύλισμα ξηραινόμενον ἐν ἡλίῳ, μέλαν μὲν ἐκ τοῦ πεπείρου καρποῦ, ὑπόκιρρον δὲ ἐκ τοῦ ὠμοῦ. ἐκλέγου δὲ τὸ ἠρέμα ἔγκιρρον, εὐῶδες, ὡς ἐν ἀκακίᾳ. χυλίζουσι δέ τινες καὶ τὰ φύλλα σὺν τῷ καρπῷ· καὶ τὸ κόμμι δὲ ἐκ τῆς αὐτῆς ἀκάνθης γεννᾶται.

δύναμιν δὲ ἔχει στυπτικήν, ψυκτικήν. ἁρμόζει δὲ ὁ χυλὸς 2
πρὸς τὰ ὀφθαλμικὰ καὶ ἐρυσιπέλατα, ἕρπητας, χιμέτλας, πτερύγια, τὰ ἐν τῷ στόματι ἕλκη, καὶ προπτώσεις δὲ ὀφθαλμῶν καθίστησιν. ἐπέχει δὲ καὶ ῥοῦν γυναικεῖον, καὶ τὰς προπτώσεις δὲ τῆς ὑστέρας στέλλει, κοιλίαν τε ῥέουσαν ἐπέχει πινόμενος καὶ ἐγκλυζόμενος· μελαίνει δὲ καὶ τρίχας. πλύνεται δὲ καὶ εἰς τὰ ὀφθαλμικά, τριβομένου ⟨τοῦ χυλοῦ⟩ μεθ᾽ ὕδατος ἀποχεομένου ⟨τε⟩ τοῦ ἐπιπάγου, μέχρι ἂν καθαρὸν ἐφιστῆται τὸ ὕδωρ, καὶ οὕτως ἀναλαμβάνεται εἰς τροχίσκους. καίεται δὲ ἐν 3
ὠμῇ χύτρᾳ μετὰ κερατίου ἐν καμίνῳ, ὀπτᾶται δὲ ἐπ᾽ ἀνθράκων ἐμφυσωμένων. τὸ δὲ τῆς ἀκάνθης ἕψημα καταντλούμενον ἄρθρα λελυμένα ἵστησι. τὸ δὲ κόμμι τῆς ἀκάνθης διαφέρει τὸ σκωληκοειδές, ὑελίζον, διαυγές, ἄξυλον, εἶτα τὸ λευκόν· τὸ δὲ ῥητινῶδες καὶ ῥυπαρὸν ἄχρηστον.

δύναμιν δὲ ἔχει παρεμπλαστικήν, ἀμβλυντικὴν δριμέων φαρμάκων, οἷς μείγνυται, πυρίκαυτά τε οὐκ ἐᾷ φλυκταινοῦσθαι καταχριόμενον μετ᾽ ᾠοῦ.

---

8 SIM. Pl. XXIV 110 — D. eup. I 168 (181) Pl. 110 — Pl. 110 eup. I 180 (189) — Pl. 110 eup. I 190 (193) — Pl. 110 eup. I 82 (135) — Pl. 110 eup. II 82 (293) — Pl. 110 eup. II 69 (283) — eup. II 47 (258) — Pl. 110 eup. I 99 (143) — Pl. 110 — Pl. 110 eup. I 227 (211).

---

1 *θαμνοειδής* Orib.Di *τὸν δὲ καρπὸν* Di 2 *θέρμιον* F: *θέρμος* Di: *θέρμον* reliqui *λευκὸν* om. Orib. Di ad *λοβοῖς* schol. Paris. Orib. (II 743 D.) *πολλὰ τοῦ λοβοῦ τὰ σημαινόμενα. δηλοῖ δὲ καὶ τὸ ἀγγεῖον, ὅθεν τὰ χλωρὰ ὄσπρια ἐκκομίζοντες ἐσθίομεν* *κείμενον* om. Orib. 3 *ἡλίῳ* Orib.: *σκιᾷ* QDi: *tunc densatur* (sc. sucus) *in sole mortariis in pastillos* 4 *τὸ ἐκ* Orib. 6 *τὸ* om. Di *αὐτῆς* om. QDi 8 *ψυκτικήν* om. H 9 *χιμέτλας* F: *χείμεθλας* H: *χυμέτλας* Di 10 *δὲ* om. H 13 *πλύνεται*] sc. *ὁ καρπός*: *lavantur in eos usus pastilli* Pl. 14 *καὶ* om. Orib. *τριβομένου* FDi: *τριβομένη* Orib.: *τριβόμενος* H Sarac. *τοῦ χυλοῦ* addidi 15 *τε* addidi *μέχρι ἂν* F: *μέχρις ἂν* Di: *ἄχρι ἂν* Orib.: *ἄχρις ἂν* Di *ἐφίστησι* H 16 *κυκλίσκους* Orib. 17 *κεράμου* libri: correxi. peruritur semen cum folliculo (*κεράτιον* a D. acaciae folliculus vocatur cf. D. eup. I 99, 143) 18 *ἐμφυσσωμένων* F: *ἐκφυσ(σ* add. Di)*ωμένη* Orib.Di: *ἐμφυσωμένη* H *ἀφέψημα* Orib.

4 *φύεται δὲ καὶ ἑτέρα ἀκακία ἐν Καππαδοκίᾳ καὶ ἐν Πόντῳ, παρεμφέρουσα τῇ Αἰγυπτίᾳ, ἐλάττων μέντοι παρὰ πολὺ καὶ χαμαίζηλος καὶ τρυφερωτέρα, περίπλεως δὲ ἀκάνθης σκολοποειδοῦς, φύλλα ἔχουσα ὅμοια πηγάνῳ. τῷ δὲ φθινοπώρῳ φέρει σπέρμα ἐν θυλακίοις συνεζευγμένοις, τριχώροις ἢ τετραχώροις, ἔλαττον φακοῦ. στύφει δὲ καὶ αὐτὴ χυλιζομένη σύμπασα, πλὴν ἥττων τῇ δυνάμει καθέστηκεν, εἰς τὰ ὀφθαλμικὰ ἀνεπιτήδειος οὖσα.*

102 *ἀμόργη ὑποστάθμη ἐστὶν ἐλαίας τῆς ἐκθλιβομένης, ἥτις ἑψηθεῖσα ἐν χαλκῷ Κυπρίῳ μέχρι μελιτώδους συστάσεως στύφει, ποιοῦσα πρὸς ἃ καὶ τὸ λύκιον, ἐκ περισσοῦ δὲ καὶ πρὸς ὀδονταλγίας, τραύματά τε περιχριομένη μετ' ὄξους ἢ οἴνου ἢ οἰνομέλιτος. μείγνυται δὲ καὶ ὀφθαλμικαῖς δυνάμεσι καὶ ἐμπλαστικαῖς, παλαιουμένη τε βελτίων γίνεται, ἔγκλυσμά τε αἰδοίῳ καὶ ἕδρᾳ καὶ μήτρᾳ εἱλκωμέναις ἐστὶ χρήσιμον. ἐκβάλλει δὲ καὶ τοὺς ἐφθαρμένους ὀδόντας σὺν ὀμφακίῳ ἑψηθεῖσα ἄχρι μελιτώδους συστάσεως καὶ περιπλασθεῖσα, ψώρας τε κτηνῶν σὺν θέρμων ἀποβρέγματι καὶ χαμαιλέοντος καταχριομένη θεραπεύει. ἡ δὲ ἀνέψητος καὶ πρόσφατος ποδαγρικοὺς καὶ ἀρθριτικοὺς ὠφελεῖ θερμὴ καταντληθεῖσα, ἐγχριομένη δὲ εἰς κώδιον καὶ ἐπιτιθεμένη ἐπὶ τῶν ὑδρωπικῶν στέλλει τὸν ὄγκον.*

103 *ἄγνος ἢ λύγος θάμνος ἐστὶ δενδρώδης, παρὰ ποτα-*

---

1 EXC. Orib. XI s. v. (*φύεται — αἰγυπτίᾳ, ἥττων — οὖσα*).
9 SIM. Pl. XXIII 74 sq. D. eup. I 71 (129) I 162 (177) I 222 (209) I 71 (129) I 235 (215) II 65 (280) cf. Gal. XI 824.
9 EXC. Orib. XI s. v. (*ἀμόργη — λύκιον*).
22 SIM. Theophr. h. pl. III 18, 2 (s. v. *οἶσος*); Pl. XXIV 59 (e S. N.); schol. Nic. Th. 71. 63; Ael. n. a. IX 26 (e Sostrato); schol. Il. Λ 105; Et. M. s. v.; Erot. 57, 7.
22 EXC. Gal. XI 807 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

---

1 *ἐν ἄλλῳ* (rubr.)· *φύεται* Di *γίνεται* Orib. *ἐν* (alt.) om. Orib. Di 2 *μὲν τῇ ἐν αἰγύπτῳ* Orib. 3 *σκωλοποειδοῦς* H 4 *πηγάνῳ ὅμοια* Di *τῷ — φέρει* om. H 5 *τὸ δὲ σπέρμα* H 7 *καὶ εἰς* (om. *οὖσα*) Orib.
9 num. cap. $\overline{\varrho\beta}$ QDi: *ρ ιβ'* Dl: transponendo cap. 105 inscr. Sar. *ἔλαιον ἥτις* Orib. 12 *πρὸς τραύματα* H: *καὶ τραύματα* Di (om. *τε*) *ἐπιχριομένη* Di *μετ' οἴνου ἢ ὄξους* Di 13 *ὀφθαλμικῇ* (comp. scr.) *δυνάμει* F 14 *ἕδρᾳ καὶ αἰδοίῳ* Di 15 *μήτραις* H *χρήσιμος* libri: *χρήσιμον* Spr. (Sar. duce) 16 *ὀμφακίῳ*] i. e. cum oleo omphacino cf. Dl, D. eup. I 71 (129) *ἀμόργη ἡψημένη μετ' ἐλαίου ὀμφακίνου, ἄχρις ἂν γένηται μελιτώδης*: *si vero cum omphacio recoquatur ad mellis crassitudinem cariosos dentes extrahit* Pl. l. s. 18 *ἀποβρέγματι* Q: *ἀφεψήματι* Di: fort. *ἀποζέματι* cf. Pl. *cum decocto lupinorum* *χαμαιλέοντι* Di 20 *καταπλασθεῖσα* H, at cf. D I 235 (215)
22 num. cap. $\overline{\varrho\gamma}$ QDi: *ριγ'* Dl *λύγνος* F post *λύγος* syn. e R add. HDi

μοῖς τραχέσι τε τόποις καὶ χαράδραις φυόμενος, ῥάβδους ἔχων δυσθραύστους, φύλλα δὲ ὡσπερεὶ ἐλαίας, ἁπαλώτερα δέ. τὸ δ' ἄνθος ἡ μέν τις λευκὸν σὺν τῷ ὑποπορφυρίζοντι ἡ δὲ πορφυροῦν φέρει, σπέρμα δὲ ὡς πέπερι.

δύναμιν δὲ ἔχει θερμαντικήν, μαλακτικήν. ὁ δὲ καρπὸς αὐτῆς πινόμενος βοηθεῖ θηριοδήκτοις, σπληνικοῖς, ὑδρωπικοῖς.
κατασπᾷ δὲ καὶ γάλα, καὶ ἔμμηνα ἄγει πινόμενος ὅσον δραχμῆς 2
μιᾶς πλῆθος σὺν οἴνῳ, ἐκλύει δὲ καὶ γονήν, ἅπτεται δὲ καὶ κεφαλῆς κάρον ἐπιφέρων. τὸ δὲ ἀφέψημα αὐτῆς τῆς πόας καὶ τοῦ καρποῦ εἰς ἐγκαθίσματα ταῖς περὶ ὑστέραν διαθέσεσι καὶ φλεγμοναῖς ἀρήγει. ποθὲν δὲ μετὰ γλήχωνος καὶ ὑποθυμιαθὲν

---

103 RV: ἄγνος· οἱ δὲ ἄγονον, οἱ δὲ λύγον, οἱ δὲ ἀμικτομίαινον, οἱ δὲ τριδάκτυλον, προφῆται σεμνόν, οἱ δὲ αἷμα ἴβεως, Αἰγύπτιοι σούμ, Ῥωμαῖοι σάλιξ μαρίνα, οἱ δὲ πίπερ ἀγρέστε, οἱ δὲ λουκρίφικουμ. ὠνόμασται μέντοι ἄγνος διὰ τὸ ὑποστρώννυσθαι αὐτὴν τὰς ἐν τοῖς Θεσμοφορίοις ἁγνευούσας ἢ διὰ τὸ πινόμενον, ὡς λέγουσιν, τὸ σπέρμα ἐπὶ συνουσίαν ὁρμὰς ὑπεκλύειν· καλεῖται δὲ οὕτως διὰ τὸ εὐλόγιστον. θάμνος δέ ἐστιν δενδρώδης, φυόμενος παρὰ ποταμοῖς καὶ πεδίοις ἐφύδροις, ῥάβδους ἔχων μακράς, δυσθραύστους, φύλλα μείζονα τῶν ἐλαίας καὶ ἁπαλώτερα. τὸ δὲ ἄνθος ⟨ἡ⟩ μὲν πορφυροῦν, ἡ δὲ λευκὸν ἐν τῷ πορφυρίζοντι, σπέρμα δὲ ὡς πέπερι καὶ τῇ δυνάμει θερμαντικόν· διὸ καὶ θηριοδήκτοις μεμαρτύρηται βοηθεῖν καὶ ὑδρωπικοῖς καὶ χρονίως ἐπεχομένοις τὰ ἔμμηνα· κατασπᾷ δὲ καὶ γάλα δραχμὴ ποθεῖσα σὺν οἴνῳ. τὸ δὲ ἀφέψημα πρὸς τὰ περὶ ὑστέραν ⟨εἰς⟩ ἐγκαθίσματα, πρὸς δὲ τὰς ἐν δακτυλίῳ ῥαγάδας

---

5 SIM. Nic. Th. 530 (ex Apollod.); Ael. n. a. IX 26 (e Sostr.); Pl. l. s. 61. D. eup. II 117 (318) — schol. Nic. Th. 71 eup. II 60 (272) Pl. 60 — Pl. 60 schol. Nic. l. s. eup. II 63 (276) — Pl. 61 — Pl. 62. Ael. l. s. IX 26 — Pl. 60. eup. I 25 (106) — Zop. (Orib. II 598) eup. II 70 (284) Pl. 62. — Pl. 60 schol. Nic. Th. l. s. eup. II 76 (287) — eup. I 2 (94) Pl. 62 — Pl. 63 — Nic. Th. 63. 71 (ex Apollod.) Pl. 61. eup. II 123 (323).

---

1 τε om. H 2 post δυσθρ. add. μακράς HDi ὡσπερεὶ F: ὥσπερ reliqui 5 μαλακτικήν] στυπτικήν HDi 7 <ο α̂ F: < α' reliqui 9 ἐπιφέρον H: κάρον ἐπιφέρων non recte del. Spr. αὐτῆς om. Di 10 καρποῦ] σπέρματος Di fort. ἐγκάθισμα

12 C fol. 37^{r}: om. N λυτον C 13 ἴδεως Di 14 σάλιξ μαρίνα] cf. Corp. Gl. III 536, 32. Diefenbach Nov. gl. 13 πιπράγρεστε Di: πιπράγεστρε H 15 ΛΥΚΡΙCΤΡΙΚΟΥΜ (sic) C: λεκριστικούμ Di: λικριστικούμ H: correxi cf. Pl. XXIV 59 21 ἡ addidi 24 χρονίοις C 26 εἰς addidi

τὸ σπέρμα καὶ προστεθὲν κάθαρσιν κινεῖ, λύει δὲ καὶ κεφαλαλγίας καταπλασσόμενον, καὶ ἐπὶ ληθαργικῶν τε καὶ φρενι-
3 τικῶν ἐμβρέχεται σὺν ὄξει καὶ ἐλαίῳ. καὶ τὰ φύλλα ⟨δὲ⟩ ὑποθυμιώμενά τε καὶ ὑποστρωννύμενα θηρία διώκει, καὶ καταπλαττόμενα ἐπὶ τῶν θηριοδήκτων βοηθεῖ, σκληρίας τε διδύμων μετὰ βουτύρου καὶ φύλλων ἀμπέλου μαλάττει, ῥαγάδας τε τὰς ἐν δακτυλίῳ σὺν ὕδατι ἐπιπλασθὲν τὸ σπέρμα πραΰνει, σὺν δὲ τοῖς φύλλοις στρέμματά τε καὶ τραύματα ἰᾶται. δοκεῖ δὲ καὶ κωλυτήριον εἶναι ἐν ὁδοιπορίαις παρατριμμάτων, εἴ τις ῥάβδον αὐτῆς παρὰ χεῖρα κρατοίη.

ὠνόμασται δὲ ἄγνος διὰ τὸ τὰς ἐν τοῖς Θεσμοφορίοις ἁγνευούσας γυναῖκας εἰς ὑπόστρωμα χρῆσθαι αὐτῇ· λύγος δὲ διὰ τὸ περὶ τὰς ῥάβδους αὐτῆς εὔτονον.

104 ἰτέα δένδρον ἐστὶ γνώριμον, οὗ ὁ καρπὸς καὶ τὰ φύλλα καὶ ὁ φλοιὸς καὶ ὁ χυλὸς στυπτικὴν ἔχει δύναμιν. ἁρμόζει δὲ τὰ φύλλα λεῖα μετ' ὀλίγου πεπέρεως καὶ οἴνου ποθέντα εἰλεώδεσι, καθ' ἑαυτὰ δὲ σὺν ὕδατι λημφθέντα ἀσυλλημψίαν κατεργάζεται. ὁ δὲ καρπὸς ποθεὶς αἱμοπτυικοὺς ὠφελεῖ. καὶ ὁ φλοιὸς δὲ τὰ αὐτὰ δρᾷ, καεὶς δὲ καὶ φυραθεὶς ὄξει ἥλους καὶ τύλους αἴρει καταπλασθείς. ὁ δὲ ἐκ τῶν φύλλων καὶ τοῦ φλοιοῦ χυλὸς ἐν κελύφει ῥόας θερμανθεὶς μετὰ ῥοδίνου ὠταλγίαις ἀρήγει· καὶ τὸ ἀφέψημα δὲ αὐτῶν κατάντλημα πο-

---

καὶ σκληρίας διδύμων δι' ὕδατος ἐπιπλάσσεται. ⟨καὶ⟩ τὰ φύλλα δὲ ὑποθυμιώμενα θηρία διώκει, καὶ [τοῖς] πρὸς κεφαλαλγίαν αὐτὴν ποιεῖν λέγουσιν· οὐ προσεκτέον· καρώδης γάρ ἐστιν. δοκεῖ δὲ κωλυτήριον ἐν ὁδοιπορίᾳ παρατριμμάτων εἶναι ἐν χειρὶ ῥαβδίον κατεχόμενον.

---

3 SIM. Pl. 63 D. eup. I 141 (165) — Pl. 63 — eup. I 226 (210) Pl. 63 — Pl. 63 — Pl. 59. Ael. n. a. IX 26. schol. Il. *Λ* 105. schol. Nic. Th. 71.

14 SIM. Pl. XXIV 56 sq.; D. eup. II 48 (260) II 44 (257) II 95 (299) II 30 (240) I 175 (184) I 57 (120) I 235 (218) I 105 (146) I 41 (112) cf. Ps. Democr. (Geop. XI 13, 2. Ael. IV 23. Pl. XVI 110. Isid. XVII 7, 47. schol. Od. *κ* 510).

14 EXC. Gal. XI 891 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

---

1 *κεφαλαλγίαν* Di 2 *τε* om. H 3 *δὲ* addidi 7 *δακτύλοις* H: *ragidia ani* Dl 8 *τε καὶ τραύματα* H: *τε καὶ* om. FDi 10 *αὐτοῖς* F 11 *τὸ* om. HDi 13 *αὐτοῖς* F

14 num. cap. *ρδ* QDi: om. Dl *πᾶσι γνώριμον* Di 15 *ὁ φλοιὸς καὶ* om. H 17 *αὐτὰ* H 20 *τύλους καὶ ἥλους* Di 21 *κελύφῳ* libri (ut videtur): correxi

23 *καὶ* addidi 24 *τοῖς* delevi

δάγρας ἄριστον, σμήχει δὲ καὶ πίτυρα. λαμβάνεται δὲ καὶ ὀπὸς
ἐξ αὐτῆς ἐντεμνομένου τοῦ φλοιοῦ κατὰ τὴν ἄνθησιν· ἔσω γὰρ
εὑρίσκεται συνεστώς. δύναμιν δὲ ἔχει σμηκτικὴν τῶν ἐπισκο-
τούντων ταῖς κόραις.

105 ἀγριελαία, ἣν ἔνιοι κότινον καλοῦσιν, οἱ δὲ Αἰθιο-
πικὴν ἐλαίαν, ἔχει τὰ φύλλα στυπτικά. λεῖα δὲ καταπλασθέντα
ἐφεκτικά ἐστιν ἐρυσιπελάτων, ἑρπήτων, ἐπινυκτίδων, ἀνθράκων,
νομῶν, παρωνυχιῶν, περιχαρακτικά τε ἐσχαρῶν σὺν μέλιτι
καταπλασσόμενα· ἀνακαθαίρει δὲ καὶ τὰ ῥυπαρὰ ἕλκη, δια-
φορεῖ καὶ φύγεθλα καὶ φλεγμονὰς σὺν μέλιτι καταπλασθέντα,
καὶ δέρμα κεφαλῆς ἀποσπασθὲν παρακολλᾷ· ἰᾶται δὲ καὶ τὰ
ἐν στόματι ἕλκη καὶ ἄφθας διαμασηθέντα, καὶ ὁ χυλὸς δὲ αὐ-
τῶν καὶ τὸ ἀφέψημα τὸ αὐτὸ ποιεῖ. ἐπέχει δὲ καὶ αἱμορραγίαν 2
καὶ ῥοῦν γυναικεῖον ὁ χυλὸς προστιθέμενος, καὶ τὰ ⟨φύλλα τὰ⟩
ἐν ὀφθαλμοῖς σταφυλώματα καὶ φλυκταίνας, ἔτι δὲ ἕλκη καὶ
παλαιὰ ῥεύματα στέλλει· διὸ καὶ μιγέντα κολλυρίοις πρὸς τὰς
τῶν βλεφάρων διαβρώσεις εὐθετεῖ. χυλίζοντας δὲ δεῖ κόπτειν τὰ
φύλλα καὶ παραχέοντας οἶνον ἢ ὕδωρ ἐκθλίβειν καὶ ξηράναντας
ἐν ἡλίῳ ἀναπλάσσειν· ἔστι δ' εὐτονώτερος ὁ διὰ τοῦ οἴνου ἐκ-
θλιβόμενος καὶ εἰς ἀπόθεσιν μᾶλλον τοῦ δι' ὕδατος ἁρμόζει·
ποιεῖ δὲ καὶ πρὸς ὦτα πυορροοῦντα καὶ εἱλκωμένα. τὰ δὲ
φύλλα καὶ ἐπὶ κοιλιακῶν εὐθετεῖ καταπλασσόμενα σὺν ὠμῇ
λύσει. καίεται δὲ τὰ φύλλα μετὰ τῶν ἀνθῶν καὶ εἰς ἀντίσποδα 3
ἐν χύτρᾳ ὠμῇ περιπεπλασμένῃ πηλῷ τὸ στόμα μέχρι ὀπτή-
σεως τοῦ κεράμου, ἔπειτα κατασβέννυται οἴνῳ καὶ φυραθέντα

---

5 SIM. Phylot. (Orib. I 184 sq.); Diph. (Ath. II 56 b); Pl. XXIII 69 sq. (e S. N.); D. eup. I 168 (180) I 171 (183) I 198 (195) I 200 (197) I 187 (193) I 162 (177) I 82 (135) I 209 (203) II 84 (295) I 48 (115 s. v. *θαλλία*) I 60 (123) I 105 (146) I 130 (160).

5 EXC. Orib. XI s. v. *κότινος* (*ἣν ἔνιοι — στυπτικά*) cf. Gal. XI 868. VI 608. Paul. Aeg. VII 3 s. v.

17 EXC. Orib. XI s. v. *κότινος* (*χυλίζοντας — ἐπιεικέστερον*).

---

5 num. cap. *ρε̅* QDi: *ριδ'* Dl *κότινος ἣν ἔνιοι ἀγριελαίαν* Orib. *ἐκάλεσαν* (post *ἐλαίαν* transpos.) Orib. 6 *τὰ φύλλα ἔχει* Orib. *τὰ* om. Di 8 *παρακταραχικά* (sic) F *τε*] *δὲ* F: om. Di 14 *προστιθέμενος ὁ χυλὸς* HDi *φύλλα τὰ* addidi 17 *διαθέσεις* QDi: *διαβρώσεις* corr. Di, cf. D. eup. I 48 (115) *εὐθετῶν* F *δὲ* om. Orib. 18 *περιχέοντας* HDi *ὕδωρ ἢ οἶνον* Orib. *ξηραίνοντας* Orib. 20 *ἁρμόζων* Orib. 21 *πυορροῦντα* Di *ἡλκωμένα* QDi 22 *κοιλιακοῖς* libri: correxi 23 *καὶ* om. Q *ἀντὶ σποδίου λαμβάνεται* Di: *ἐν σποδιᾷ* H, cf. D. V 86 24 *περιπεπλασμένῃ* Orib.: *περιπλασσομένῃ* reliqui *τὸ πῶμα πηλῷ* Orib. *ἄχρι* Orib.: *μέχρις* HDi

πάλιν οἴνῳ ὁμοίως καίεται, εἶτα πλύνεται ὡς τὸ ψιμύθιον καὶ
ἀναπλάσσεται. δοκεῖ δὲ ἡ τοιαύτη καῦσις μὴ λείπεσθαι τοῦ
σποδίου εἰς τὰ ὀφθαλμικά, ὅθεν καὶ τὴν δύναμιν ὁμοίαν
ἡγητέον.

δύναται δὲ τὰ αὐτὰ καὶ τὰ τῆς ἡμέρου ἐλαίας φύλλα,
λείπεται δὲ τῇ δυνάμει, ὅθεν εἰς τὰ ὀφθαλμικὰ μᾶλλον ἁρμόζει
4 διὰ τὸ ἐπιεικέστερον. τὸ δὲ ἐκ χλωροῦ τοῦ ξύλου καιομένου ἐκ-
κρινόμενον ὑγρὸν πίτυρα καὶ ψώρας καὶ λειχῆνας καταχριόμενον
ἰᾶται. καὶ ὁ καρπὸς δὲ αὐτῶν καταπλασθεὶς πίτυρα καὶ νομὰς
θεραπεύει. τὸ δὲ ἐν τοῖς πυρῆσιν ἐντὸς μετὰ στέατος καὶ
ἀλεύρου λεπροὺς ὄνυχας ἐκτινάσσει.

αἱ δὲ κολυμβάδες ἐλαῖαι λεῖαι καταπλασθεῖσαι πυρί-
καυτα οὐκ ἐῶσι φλυκταινοῦσθαι, καὶ ῥυπαρὰ δὲ ἕλκη καθαί-
ρουσιν. ὁ δὲ ἐκ τῆς ἅλμης χυλὸς αὐτῶν διακλυζόμενος οὖλα
5 ⟨οἰδοῦντα⟩ στέλλει καὶ ὀδόντας σειομένους κρατύνει. ἔστι δὲ ἡ
μὲν ὑπόκιρρος καὶ πρόσφατος ἐλαία δυσκοίλιος, εὐστόμαχος, ἡ
δὲ μέλαινα καὶ πέπειρος εὐδιάφθορος καὶ κακοστόμαχος, ὀφ-
θαλμοῖς τε ἀνεπιτήδειος καὶ κεφαλαλγής· φρυγεῖσα δὲ καὶ κατα-
πλασθεῖσα νομὰς ἵστησι καὶ ἄνθρακας περιρρήττει.

τὸ δ' ἐκ τῆς ἀγρίας ἐλαίας ἔλαιον οὔλοις διάκλυσμα
μυδῶσι καὶ σταλτικὸν ὑποσάλων ὀδόντων ἐστί, πυρία τε δι'
αὐτοῦ θερμαινομένου ἐπιτήδειος οὔλοις ῥευματιζομένοις· δεῖ δὲ
ἔριον μηλωτίδι περιτιθέντα ἀποβάπτειν εἰς τὸ ἔλαιον καὶ προσ-
άπτεσθαι τῶν οὔλων, ἄχρι οὗ ἂν λευκὰ φανῇ.

6 τὸ δὲ δάκρυον τῆς Αἰθιοπικῆς ἐλαίας ἔοικέ πως σκαμ-
μωνίᾳ, ἔγκιρρον, ἐκ μικρῶν σταγόνων συγκείμενον, δηκτικόν. τὸ

---

12 SIM. D. eup. I 178 (187) I 186 (192) I 78 (133) I 77 (132) I 43 (114) I 25 (106) I 78 (133) I 79 (134) I 41 (112) I 71 (129) I 128 (157).
25 EXC. Orib. XI s. v. *κότινος* (*τὸ δὲ — ἀγριελαία*).

---

1 *οἴνῳ* om. Orib. 3 *ὁμοίως* vulgo 6 *δὲ*] *μέντοι* Orib. *εἰς*] *πρὸς* Orib.Di 10 *ἐντὸς τοῦ πυρῆνος* Di 12 mg. add. *περὶ κολυμβάδων ἐλαιῶν* Di, ad rem cf. Orib. ed. Dar. I 609 *ἐλαῖαι κολυμβάδες* Di 13 *δὲ*] *τε* H 15 *οἰδοῦντα* addidi coll. D. eup. I 78 (133) 17 *ὀφθαλ* (*μ* superscr.) F 18 *κεφαλῆς* F 20 tit. *περὶ ἐλαίου ἀγρίας ἐλαίας* add. Di *δ' ἐκ*] *δὲ* Q *διάκλυσμα οὔλοις* Di 21 *πλαδῶσι* Di *στατικὸν* F 22 *θερμαινομένου καὶ διακλυζομένου* Di *ἐπιτήδειον* Di *οὔλοις — οὔλων* om. H 23 *μηλωτῇ* libri: correxi coll. D. eup. I 79 (134) *περιτιθέντα* F: *περιτιθέντας* reliqui, at cf. D. eup. l. s. 24 *τοῖς οὔλοις* Di *ἄχρι οὗ ἂν* F: *ἄχρις ἂν* reliqui 25 nov. cap. (*ριε'*) incip. Di: mg. add. *περὶ δακρύου ἐλαίας αἰθιοπικῆς* Di *δὲ* om. F *προσεοικὸς ἀμμωνιακῷ* Paul. Aeg.

δὲ ὅμοιον κόμμει, μελανίζον καὶ οὐ δηκτικόν, ἀχρεῖον. φέρει δὲ τὸ τοιοῦτον καὶ ἡ παρ' ἡμῖν ἐλαία καὶ ἀγριελαία. ποιεῖ δὲ ἀμβλυωποῦσι, καὶ οὐλὰς καὶ λευκώματα ἐγχριόμενον σμήχει, οὖρά τε καὶ ἔμμηνα κινεῖ· ποιεῖ καὶ πρὸς ὀδόντων πόνους ἐντιθέμενον εἰς τὸ βρῶμα. ἀναγράφεται δὲ καὶ ἐν τοῖς φθαρτικοῖς, ἄγει δὲ καὶ ἔμβρυα καὶ λειχῆνας θεραπεύει καὶ λέπραν. καλεῖται δὲ Αἰθιοπικὴ ἐλαία ἡ ἀγριελαία.

106 δρῦς πᾶσα στυπτικὴν ἔχει δύναμιν, μάλιστα δὲ αὐτῆς στύφει τὸ μεταξὺ τοῦ φλοιοῦ καὶ τοῦ πρέμνου ὑμενοειδές, ὁμοίως καὶ τὸ περὶ τῇ βαλάνῳ ὑπὸ τὸ κέλυφος. δίδοται δὲ τὸ ἀφέψημα αὐτῶν κοιλιακοῖς καὶ δυσεντερικοῖς καὶ αἱμοπτυικοῖς, καὶ ἐν πεσσοῖς ⟨δὲ⟩ λεῖον προστίθεται ῥοικαῖς γυναιξί.

καὶ αἱ βάλανοι δὲ τὰ αὐτὰ ποιοῦσιν· εἰσὶ δὲ καὶ οὐρητικαὶ καὶ κεφαλαλγεῖς βιβρωσκόμεναι καὶ πνευματοῦσαι. ἁρμόζουσι δὲ πρὸς τὰ ἰοβόλα ἐσθιόμεναι, καὶ τὸ ἀφέψημα δὲ αὐτῶν καὶ τοῦ φλοιοῦ βοηθεῖ τοξικῷ μετὰ γάλακτος βοείου πινόμενον. ὠμαὶ δὲ καταπλασθεῖσαι λεῖαι φλεγμονὰς παρηγοροῦσι, σὺν 2 στέατι δὲ χοιρείῳ ταριχηρῷ πρὸς κακοήθεις σκληρίας καὶ πρὸς πονηρευόμενα ἕλκη ἁρμόζουσιν. ἰσχυρότεραι δὲ τῶν δρυίνων αἱ πρίνιναι τῇ δυνάμει εἰσί.

καὶ ἡ φηγὸς δὲ καὶ ἡ πρῖνος εἴδη ὄντα δρυὸς ἐοικότα ἐνεργεῖ. τῆς δὲ ῥίζης τῆς πρίνου ὁ φλοιὸς σὺν ὕδατι ἑψηθείς,

---

8 SIM. Pl. XXIV 7; D. eup. II 47 (259) II 30 (240) II 83 (294) 84 (295) II 112 (311) I 25 (106) II 115 (316) II 139 (328).

8 EXC. Gal. XI 865 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.) cf. VI 621. 778.

17 SIM. D. eup. I 203 (198) I 99 (144); Pl. XXIV 7.

---

1 *ὅμοιον κόμμει* om. Orib. post *κόμμει* add. *καὶ ἀμμωνιακῷ* (e Paul. Aeg.?) Di *μελανίζον* Orib.Di: *μέγα καὶ λεῖον* reliqui 2 *καὶ* (pr.) om. Orib.: post *φέρει δὲ* colloc. Q *ἐλαία καὶ* om. Orib. *ἡ ἀγριελαία* Di *δὲ*] *καὶ* H 3 *πρὸς ἀμβλυωπίαν* Di 4 *ποιεῖ* om. FDi *πόνον* H post *πόνους* add. *ἐνεργεῖ* Di *τιθέμενον* F 7 *ἡ*] *καὶ* libri: correxi coll. Dl *ethiopica oliva oleastro nostro in virtute conparanda est*, D. eup. I 128 (157) *καλεῖται δὲ Αἰθιοπικὴ ἐλαία ἡ ἀγρία ἐλαία*

8 num. cap. *ϙϛ* QDi: *ρις'* Dl post *δύναμιν* add. *καὶ ξηραντικήν* vulgo 10 *τὴν βάλανον* H 11 *καὶ αἱμοπτυικοῖς* om. F, at cf. D. eup. II 30 (240) Gal. XI 866 12 *δὲ* addidi post *γυναιξί* add. vulgo *τὰ δὲ φύλλα νεότρητα κολλᾷ τραύματα* (e Gal.) 13 *περὶ βαλάνων* mg. add. Di *τὰ* om. Di 19 ad *πονηρευόμενα* mg. add. *γρ. πρὸς πορευόμενα* (sic) F (m. rcc.) 20 *τῇ* om F *δυνάμεις* (comp. scr.) F 21 mg. add. *περὶ φηγοῦ καὶ πρίνου* Di *φυγὸς* F 22 *τῆς ῥίζης δὲ* Di *ἑψηθεὶς σὺν ὕδατι* Di

ἄχρις οὗ ταχηρὸς γένηται, καὶ ἐπιπλασθεὶς νύκτα ὅλην τρίχας
3 μελαίνει προαποσμηχθείσας Κιμωλίᾳ γῇ. ἁρμόζει δὲ τὰ φύλλα πάντων λεῖα κοπέντα οἰδήμασι, καὶ τὰ ἄτονα δὲ μέρη κρατύνει.

αἱ δὲ Σαρδιαναὶ βάλανοι, ἅς τινες λόπιμα ἢ καστανίας ἢ μότα ἢ Διὸς βαλάνους καλοῦσι, στύφουσι καὶ αὐταί, τῶν ὁμοίων τέ εἰσι δραστικαί, καὶ μάλιστα ὁ μεταξὺ τῆς σαρκὸς καὶ τοῦ λέπους φλοιός. ἡ δὲ σὰρξ καὶ τοῖς ἐφήμερον πεπωκόσιν ἁρμόζει.

107 κηκὶς καρπός ἐστι δρυός, ἧς ἡ μέν τις ὀμφακῖτις καλουμένη μικρὰ καὶ κονδυλώδης, στιβαρά, ἀτρύπητος, ἡ δέ τις λεία καὶ κούφη καὶ τετρημένη. ἐκλέγεσθαι δὲ δεῖ τὴν ὀμφακῖτιν, ἐνεργεστέραν οὖσαν.

ἀμφότεραι δὲ στύφουσιν ἱκανῶς καὶ στέλλουσι λεῖαι τὰς ὑπερσαρκώσεις ῥευματισμούς τε οὔλων καὶ κιονίδος καὶ τὰς ἐν στόματι ἄφθας. τὸ δὲ μέσον αὐτῶν βρώματι ὀδόντων ἐντεθὲν παύει τὰς ὀδύνας, γίνονταί τε καὶ ἴσχαιμοι καεῖσαι ἐπ' ἀνθράκων ἄχρι πυρώσεως καὶ κατασβεσθεῖσαι οἴνῳ ἢ ὄξει ἢ
2 ὀξάλμῃ. τὸ δὲ ἀπόζεμα αὐτῶν ποιεῖ εἰς ἐγκαθίσματα ⟨πρὸς⟩ προπτώσεις ὑστέρας καὶ ῥευματισμούς. μελαίνουσι δὲ καὶ τρίχας ἀποβραχεῖσαι ἐν ὄξει ἢ ὕδατι· ἁρμόζουσι δὲ καὶ δυσεντερικοῖς καὶ κοιλιακοῖς ἐπιπαττόμεναι ὕδατι λεῖαι ἢ οἴνῳ καὶ πινό-

4 SIM. Pl. XXIII 150; D. eup. II 148 (331); cf. Diphil. (Ath. II 54 d) Diocl. Phylot. Mnesith. (Ath. II 53 d); schol. Nic. Al. 271; cf. Gal. VI 777. Hehn[5] 382. Blümner Maximalt. d. Diocl. 92.

4 EXC. Garg. M. 56 (203, 4sq. R.) cf. Gal. VI 621. Sim. S. s. v. *κάστανα*.

4 TEST. Garg. M. 56 (203, 10): interior membrana quae corticem fructumque discernit ad tertiam partem decocta in aqua et potui oblata mire alvum fluentem refrenat, adeo ut *Dioscorides* (?) putet etiam carthartico dato per hanc potionem iri obviam posse, si plus quam necesse sit purget.

9 SIM. Pl. XVI 26; XXIV 9sq. (e S. N.) — D. eup. I 78 (133) I 79 (134) I 86 (137) I 82 (135). Pl. XXIV 9 — Pl. l. s. 10. eup. I 71 (129) — Pl. XX 44. eup. I 209 (203) — Pl. XXIV 10. eup. II 69 (284) — Pl. l. s. 10. eup. I 99 (143) — eup. II 49 (261. 262).

9 EXC. Gal. XII 24.

3 *κοπέντα λεῖα* HDi 4 mg. add. *περὶ καστάνων* Di *λώπιμα* H cf. Nic. frg. 76 Schn. *κάστανα* Di: *καστανίας* Q: *castaneas* Dl, cf. Gal. VI 777 post *καστανίας* transp. *καλοῦσιν* Di 5 *μότα*] corruptum: *ἄμωτα* Agelochos (Ath. II 54 d, ubi vid. Kaibelii adn.) *στύφον* (*σ* superscr.; incertum utrum *στύφουσαι* an *στύφουσι*) F: *στύφουσαι* HDi 6 *τέ* om. Di *οἱ — φλοιοί* HDi

9 num. cap. *ρζ* QDi: *ριζ'* Dl *κικίς* F *ἧς* om. Di *καλεῖται* libri: correxi 11 *τετρυμμένη* H 13 *καί* om. F 17 *ἢ οἴνῳ* vulgo 18 *ποιεῖ καί* HDi *εἰς*] *πρὸς* libri: correxi *πρὸς* addidi 20 *κοιλιακοῖς καὶ δυσεντερικοῖς* HDi 21 *ἐπιπλαττόμεναι* HDi *οἴνῳ ἢ ὕδατι λεῖαι* Di

μεναι τοῖς τε προσοψήμασι μειγνύμεναι ἢ προαφεψόμεναι ὅλαι ἐν τῷ ὕδατι, εἰς ὃ μέλλει τι ἕψεσθαι τῶν ἁρμοζόντων πρὸς αὐτούς. καὶ καθόλου ὅπου τι δεῖ στῦψαι ἢ στῆσαι ἢ ἀναξηρᾶναι, παραλαμβάνεσθαι ἁρμόζει τὴν χρῆσιν αὐτῶν.

108 ῥοῦς ὁ ἐπὶ τὰ ὄψα, ὃν ἔνιοι ἐρυθρὸν καλοῦσι, καρπός ἐστι τῆς καλουμένης βυρσοδεψικῆς ῥοός, ἥτις ὠνομάσθη ἐκ τοῦ τοὺς βυρσοδέψας αὐτῇ χρῆσθαι εἰς τὴν στύψιν τῶν δερμάτων. ἔστι δὲ δενδρύφιον, φυόμενον ἐπὶ πέτραις, ὡς δίπηχυ, ἐφ' οὗ φύλλα ἐπιμήκη, ὑπέρυθρα, τὴν περιφέρειαν ἐντετμημένα πριονοειδῶς· καρπὸς δὲ βοτρυδίοις ἐοικώς, πυκνός, κατὰ μέγεθος τερμίνθου, ὑπόπλατυς, οὗ τὸ περικείμενον φλοιῶδές ἐστιν εὔχρηστον.

δύναμιν δὲ ἔχει τὰ φύλλα στυπτικήν, ποιοῦσαν πρὸς ἃ καὶ 2
ἡ ἀκακία. μελαίνει δὲ τρίχας τὸ ἀφέψημα, δυσεντερίας τέ ἐστιν ἔγκλυσμα καὶ πόμα καὶ ἐγκάθισμα, καὶ ὤτων πυορροούντων ἔγκλυσμα, πτερύγιά τε καὶ φαγεδαίνας ἐπέχει καταπλασσόμενα τὰ φύλλα μετ' ὄξους ἢ μέλιτος. καὶ τὸ χύλισμα δὲ τῶν φύλλων, ξηρῶν ἑψομένων σὺν ὕδατι ὥσπερ τὸ λύκιον ἄχρι μελιτώδους συστάσεως, ἁρμόζει πρὸς ὅσα καὶ τὸ λύκιον. καὶ ὁ καρ- 3
πός δὲ τὰ αὐτὰ ποιεῖ, ἁρμόζων ἐν προσοψήμασι κοιλιακοῖς καὶ δυσεντερικοῖς, ἀφλέγμαντά τε τηρεῖ σὺν μέλιτι καταπλασθεὶς θλάσματα, ἀποσύρματα, πελιώματα, γλώττης τε τραχύτητας σμήχει σὺν μέλιτι καὶ λευκὸν ῥοῦν ἵστησιν, αἱμορροΐδας τε θεραπεύει μετὰ δρυΐνου ἄνθρακος λείου ἐπιτιθέμενος. καὶ τούτου δὲ τὸ ἀπόβρεγμα ἑψόμενον συνίσταται, ποιοῦν βέλτιόν πως τοῦ

5 SIM. Theophr. h. pl. III 18, 5 (unde Pl. XIII 55); Pl. XXIV 91 sq.
5 EXC. Orib. XII s. v. (ῥοῦς — εὔχρηστον, καὶ τὸ χύλισμα — λύκιον); Gal. XII 115 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).
13 SIM. Pl. XXIV 93 — D. eup. I 99 (143) — eup. II 51 (264) — Pl. l. s. 92 — Pl. 92 eup. I 204 (199) — Pl. 92 eup. II 49 (261) 50 (263) — Pl. 93 eup. I 174 (184) — Pl. 93 eup. II 82 (294) — eup. I 71 (129. 130).
20 TEST. cf. Gal. XIX 135.

1 ἢ] καὶ Q 2 εἰς] ἢ F (var. lect. alieno loco inducta) ἐψεῖσθαι F 3 τι om. Di ἢ στῆσαι om. Di 4 ἁρμόζει] δεῖ Di
5 num. cap. ρη QDi: om. Dl ῥοῦς σουμάκην F (ind.): σουμάκην ῥοῦς H ὃν — καλοῦσι om. Orib. 6 ἥτις — δερμάτων om. Orib. 7 αὐτῇ F: αὐτῆς reliqui 8 δενδρίφυον corr. F: δενδρύφιον μικρὸν Orib. ἐπὶ F: ἐν reliqui 10 πριονοειδῆ F: πρινοειδῆ H 11 τερεβίνθου Di 13 καὶ om. F 16 γαγγραίνας libri: φαγεδαίνας D. eup. I 204 (199), Pl. XXIV 92: correxi 18 συστάσεως μελιτώδους Di: μελιτώδους om. Orib. 20 καὶ om. HDi 21 μέλιτι] ὕδατι libri: correxi coll. D. eup. I 174 (184), Pl. XXIV 93 22 τραχύτητα H 25 ποιοῦν post καρποῦ colloc. Di βέλτιον που (om. πως τοῦ καρ) F

καρποῦ. φέρει δὲ καὶ κόμμι, ὅπερ ἐντίθεται τοῖς βρώμασι τῶν ὀδόντων πρὸς ἀπονίαν.

109 φοῖνιξ ἐν Αἰγύπτῳ γίνεται· τρυγᾶται δὲ μεσοπορούσης τῆς κατὰ τὴν ὀπώραν ἀκμῆς, παρεμφέρων τῇ Ἀραβικῇ μυροβαλάνῳ, πτῶμα δὲ λέγεται, τῷ χρώματι χλωρός, ἐμφερὴς κυδωνίῳ κατὰ τὴν ὀσμήν· εἰ δὲ ἀφεθείη πεπαινόμενος, γίνεται φοινικοβάλανος.

ἔστι δὲ στρυφνός, στυπτικός, ⟨ὅθεν⟩ πινόμενος σὺν οἴνῳ αὐστηρῷ ⟨ποιεῖ⟩ πρὸς διάρροιαν καὶ ῥοῦν γυναικεῖον· ἵστησι δὲ καὶ αἱμορροΐδας καὶ τραύματα κολλᾷ καταπλασθείς. αἱ δὲ φοινικοβάλανοι ⟨χλωραὶ⟩ στυπτικώτεραι τυγχάνουσι τῶν ξηρῶν,
2 κεφαλαλγεῖς δέ εἰσι καὶ πλείονες βρωθεῖσαι μεθύσκουσιν. αἱ δὲ ξηραὶ βοηθοῦσιν αἱμοπτυικοῖς, στομαχικοῖς, δυσεντερικοῖς καὶ τοῖς περὶ κύστιν καταπλασσόμεναι λεῖαι μετὰ κυδωνίου καὶ κηρωτῆς οἰνανθίνης, μάλιστα δὲ αἱ καρυώτιδες ἐσθιόμεναι ἀρτηριῶν τραχύτητας ἰῶνται.

τῶν δὲ Θηβαικῶν τὸ ἀφέψημα ποθὲν παύει καύσωνα, καὶ τὰς δυνάμεις ἀνακτᾶται μετὰ ὑδρομέλιτος παλαιοῦ λαμβανόμενον· καὶ αὐταὶ δὲ βρωθεῖσαι τὸ αὐτὸ ποιοῦσι. γίνεται δὲ καὶ οἶνος ἐξ αὐτῶν τὸ αὐτὸ δυνάμενος τῷ καρπῷ· καὶ καθ' ἑαυτὸ ποθὲν τὸ ἀφέψημα αὐτῶν καὶ ἀναγαργαριζόμενον ἱκανῶς
3 στύφει καὶ στέλλει. οἱ δὲ πυρῆνες τῶν φοινίκων καίονται ἐν ὠμῇ χύτρᾳ καθάπερ καὶ τὰ ἄλλα πάντα, εἶτα σβεσθέντες οἴνῳ πλύνονται καὶ εἰς ἀντίσποδα. εὐθετοῦσι δὲ εἰς καλλιβλέφαρα, κἂν μὴ αὐτάρκως καῶσι, πάλιν τὸ αὐτὸ γίνεται.

δύναμιν δὲ ἔχουσι στυπτικήν, παρεμπλαστικήν, ποιοῦσαν πρὸς τὰς ἐν ὀφθαλμοῖς φλυκτίδας, σταφυλώματα, μίλφους σὺν

---

3 SIM. Pl. XXIII 97sq. (e S. N.); D. eup. II 85 (295), cf. Ruf. 545. Sim. S. s. v.
3 EXC. Gal. XII 151 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).
11 SIM. Pl. l. s. D. eup. II 30 (241) II 12 (231) II 50 (263) II 106 (305).

---

3 num. cap. ρθ QDi: ριη' Dl   μεσοπώρου οὔσης F: μεταπωρ^{ου}ωύσης H   5 πτῶμα Q: *tomata* Dl: πῶμα Di: πόμα Salm. cf. Harpocr. s. v.   χλωρὸς τὸ χρῶμα Di   6 ἀφεψηθείη libri: *sed cum dimissus maturaverit* Dl: correxi Marc. duce   8 ὅθεν addidi   9 ποιεῖ addidi   11 χλωραὶ addidi   13 ὠφελοῦσι βιβρωσκόμεναι αἱμοπτυικοὺς κτλ. Di   15 αἱ καρυώτιδες om. Q: *dactuli coriote comesti* Dl   17 tit. περὶ φοινίκων θηβαικῶν mg. add. Di   19 αὗται HDi   δὲ om. HDi   22 tit. περὶ πυρήνων φοίνικος mg. add. Di   24 καὶ om. F, cf. D. I 105   εἰς (pr.)] ὡς HDi   εὐθετοῦσι δὲ om. Di   εἰς τὰ Di   post καλλιβλ. add. χρησιμεύουσιν Di   27 μίλφους F D. eup. I 48 (115: μίλφας reliqui   σὺν οἴνῳ δὲ om. F

νάρδῳ· σὺν οἴνῳ δὲ στέλλουσι καὶ ὑπερσαρκώματα καὶ ἀπουλοῦσιν ἕλκη. εὐθετοῦσι δὲ μάλιστα οἱ ἀπ' Αἰγύπτου οἱ ἐκ τῶν χαμαιζήλων φοινίκων.

φοῖνιξ, ὃν ἔνιοι ἐλάτην ἢ σπάθην καλοῦσι, περι- 4
κάλυμμά ἐστι τοῦ καρποῦ τῶν φοινίκων ἀκμὴν ἀνθούντων· χρῶνται δὲ αὐτῷ οἱ μυρεψοὶ εἰς τὰς τῶν μύρων στύψεις. ἔστι δὲ αὐτῆς κρατίστη ἡ εὐώδης, στύφουσα, βαρεῖα, μεμυκυῖα, λιπαρὸν ἔχουσα τὸ ἐντός.

δύναμιν δὲ ἔχει στυπτικήν, ἐφιστῶσαν τὰ νεμόμενα τῶν ἑλκῶν, χαλάσματά τε ἄρθρων συνάγει λεία μαλάγμασι μιγεῖσα καὶ καταπλάσμασιν. ὠφελεῖ δὲ καὶ ὑποχόνδρια καὶ στόμαχον ἀτονοῦντα καὶ ἡπατικὰς διαθέσεις μειγνυμένη τοῖς ἁρμόζουσι τῶν καταπλασμάτων. μελαίνει δὲ καὶ τρίχας τὸ ἀφέψημα αὐτῆς 5
σμηχόμενον συνεχῶς, ποτιζόμενον δὲ [νευρικοῖς] νεφριτικοῖς καὶ τοῖς περὶ κύστιν καὶ σπλάγχνα ἁρμόζει, κοιλίαν τε καὶ ὑστέραν ῥευματιζομένην ἵστησιν. ἁπαλὴ δὲ σὺν ῥητίνῃ καὶ κηρῷ ἐπιτεθεῖσα καὶ ἐαθεῖσα ἡμέρας εἴκοσι ψώρας θεραπεύει. καὶ ὁ περιεχόμενος δὲ ὑπ' αὐτῆς καρπὸς ἐλάτη καλεῖται, ὑπ' ἐνίων δὲ βόρασσος, καὶ αὐτὸς [δὲ] στυπτικὸς ὑπάρχων τὸ αὐτὸ δύναται τῇ σπάθῃ χωρὶς τῆς ἐν τοῖς μύροις εὐχρηστίας. καὶ τὸ ἐγκάρδιον δὲ τοῦ πρέμνου λευκὸν πρόσφατον βιβρωσκόμενον καὶ ἀφεψόμενον ποιεῖ πρὸς ὅσα καὶ ὁ βόρασσος.

110 *ῥόα πᾶσα εὔχυλος, εὐστόμαχος, ἄτροφος. τούτων μέν-*

---

4 EXC. Orib. XII s. v. (*φοῖνιξ — ἐντός*).

4 SIM. Pl. XII 134; XXIII 99 (e S. N.); D. eup. I 228 (211) II 1 (227) 12 (231) II 48 (260) II 58 (270) I 99 (143) II 102 (303) II 107 (305).

23 SIM. [Hipp.] *π. δ.* II 55 (VI 562); Pl. XIII 112. XXIII 106; Ruf. 544 (ed. R.); D. eup. II 10 (231) II 49 (262) II 50 (263) II 30 (241) II 85 (295) I 194 (195) I 200 (197) I 77 (133) II 66 (281).

23 EXC. Garg. M. 41 (unde Isid. XVII 7, 6 ∾ Gal. VI 605); Gal. XII 115. VI 603. cf. Sim. S. s. v. (88, 13).

---

2 *οἱ ἐκ* om. Q: vulgo *καὶ οἱ ἐκ* cf. Dl *bona sunt ossa quae ex egipto venerint* 4 tit. *περὶ φοίνικος ἐλάτης* (cum num. *ρθ'*) Di: *φοῖνιξ ἐλάτη* (num. *ρθ'* add. F) Q *ὃν* F: *ἣν* reliqui 9 *ἐφιστᾶσαν* Di 10 *χαλασμούς* Di *τε* om. H 12 *μιγνυμένος* H 13 *αὐτῆς* om. Q 14 *δὲ*] *τε* Q *νευρικοῖς* om. Di: delevi 15 *τοῖς περὶ κύστιν σπλάγχνοις* Spr. *σπλάγχνοις* H 16 *σὺν*] *καὶ* Q *καὶ*] *σὺν* Q, cf. Pl. XXIII 99 *psoras cortex eius tener cum resina et cera sanat diebus XX* 17 *θεραπεύει*] *ἰᾶται* Di 19 *βόρασος* (infra v. 22 *βόρασσος*) F: *varasson* Dl 19 *δὲ* (alt.) om. Di: delevi *ὑπάρχων*] *ὢν* Di *τὰ αὐτὰ δρᾷ* Di 21 *λευκὸν καὶ αὐτὸ* Di

23 num. cap. *ρι̅* QDi: *ριθ'* Dl *εὔχυμος* Di: *efcylu* Dl cf. Gal. VI 604

τοι ἡ γλυκεῖα εὐστομωτέρα, θερμασίαν ποσὴν ἐγγεννῶσα περὶ στόμαχον καὶ πνευματοῦσα, ὅθεν ἐστὶν ἐπὶ τῶν πυρεσσόντων ἄθετος· ἡ δὲ ὀξεῖα καυσουμένῳ στομάχῳ βοηθεῖ, καὶ ἔστιν οὐρητική, ἄστομος δὲ καὶ στυπτική· ἡ δὲ οἰνώδης μέσην ἔχει
2 δύναμιν. τῆς δὲ ὀξείας ὁ πυρὴν ξηρανθεὶς ἐν ἡλίῳ καὶ ἐπιπαττόμενος προσοψήμασι καὶ συνεψόμενος κοιλίαν καὶ στομάχου ῥεῦμα ἵστησιν, ἀποβραχεὶς δὲ ἐν ὀμβρίῳ ὕδατι αἱμοπτυικοὺς ὠφελεῖ πινόμενος, καὶ εἰς ἐγκάθισμα δυσεντερικῶν καὶ ῥοικῶν ἁρμόζει. εὔχρηστον δὲ τὸ ἀπόθλιμμα τῶν πυρήνων ἑψηθὲν καὶ μιγὲν μέλιτι πρός τε τὰ ἐν στόματι καὶ αἰδοίῳ καὶ ἕδρᾳ ἕλκη καὶ πτερύγια τὰ ἐν δακτύλοις, νομάς τε καὶ ὑπεροχὰς καὶ ὠταλγίας καὶ τὰ ἐν μυκτῆρσι, καὶ μάλιστα τῆς ὀξείας.

τὰ δὲ ἄνθη αὐτῆς, ἃ καὶ κύτινοι καλοῦνται, καὶ αὐτὰ στυπτικὰ καὶ ξηραντικὰ καὶ κασταλτικὰ καὶ ἐναίμων κολλητικά, ἁρμόζοντα πρὸς ἃ καὶ ἡ ῥόα. τὸ δὲ ἀφέψημα αὐτῶν οὔλων πλαδώντων καὶ ὀδόντων σειομένων διάκλυσμα, ἀνακόλ-
3 λημά τε ἐντεροκηλικοῖς ἐν καταπλάσματι. ἱστοροῦσι δέ τινες ἀνοφθαλμιάτους παρ' ὅλον τὸ ἔτος γίνεσθαι τοὺς καταπιόντας ὑγιεῖς τρεῖς κυτίνους ὡς ὅτι ἐλαχίστους. χυλίζονται δὲ ὡς ἡ ὑποκιστίς.

καὶ τὰ λέπη δὲ τῆς ῥόας, ἅ τινες σίδια καλοῦσι, στυπτικὴν ἔχοντα καὶ αὐτὰ τὴν δύναμιν, πρὸς ὅσα καὶ οἱ κύτινοι ἁρμόζει. τὸ δὲ ἀφέψημα τῶν ῥιζῶν ἕλμεις τὰς πλατείας ποθὲν ἐκτινάσσει καὶ ἀποκτείνει.

111 βαλαύστιόν ἐστιν ἄνθος ἀγρίας ῥόας. εἴδη δέ ἐστιν

17 TEST. Garg. M. 41 (181, 1 R): ex cytinis fit remedium quod creditur tutos ab oculorum dolore praestare. Dioscorides simplicius in hunc modum tradit ut cum primum cytini crumpere incipiunt tres numero additi sine contactu dentium transvorentur.
25 SIM. Pl. XXIII 112 (e S. N.), unde Garg. M. 41 (181, 13 R).
25 EXC. Orib. XI s. v. (βαλαύστιον — κύτινος); cf. Gal. XI 847.

1 εὐστομωτέρα F: εὐστομαχωτέρα reliqui, at cf. Pl. XXIII 106, Ruf. 544 (ed. R.) ποσὴν] πολλὴν F: *ex parte calefacit stomachum* Dl γεννῶσα Di: περὶ στόμαχον om. Q, at cf. Dl 2 ἐστὶν post πυρεσσόντων colloc. Di ἐπὶ μὲν Di 4 σταλτικωτέρα καὶ οὐρητικωτέρα Di: σταλτικωτέρα superscr. H² 8 ἐγκαθίσματα vulgo 9 ἀπόθλιμμα] ἀφέψημα F 11 ἕλκη om. Q δακτύ (λ superscr.) F 13 mg. add. περὶ κυτίνων Di 14 καὶ (alt.) om. Q εἰσὶ καὶ ἐναίμων Di καὶ (tert.) om. Q 17 καταπλάσμασι HDi 18 μὴ ὀφθαλμιᾶν Di γίνεσθαι παρ' H 19 ὑγιεῖς om. Di 20 ὑποκυστίς F 21 mg. περὶ σιδίων add. Di 22 τὴν om. HDi οἱ om. F ἁρμόζουσι Di 23 ἕλμινθας HDi 24 ἀποκτενεῖ F
25 num. cap. ρια QDi: ρκ' Dl ἄνθος ἐστὶν Orib. ἐστιν (alt.) om. Orib.

αὐτοῦ πλείονα· εὑρίσκεται γὰρ καὶ λευκὸν καὶ πυρρὸν καὶ ῥοδόχρουν· ἔοικε δὲ κυτίνῳ ῥόας. χυλίζεται δὲ ὡς καὶ ἡ ὑποκιστίς.

δύναμιν δὲ ἔχει στυπτικήν, ποιοῦσαν πρὸς ἃ καὶ ἡ ὑποκιστὶς καὶ ὁ κύτινος.

112 μυρσίνη ἡ ἥμερος πρὸς μὲν τὴν ἰατρικὴν χρῆσιν ἡ μέλαινα τῆς λευκῆς ἁρμοδιωτέρα, καὶ ταύτης μᾶλλον ἡ ὀρεινή, τὸν μέντοι καρπὸν ἀτονώτερον ἔχει.

δύναμις δὲ αὐτῆς καὶ τοῦ καρποῦ στυπτική. δίδοται δὲ ὁ καρπὸς χλωρός τε καὶ ξηρὸς ἐσθιόμενος αἱμοπτυικοῖς καὶ τοῖς ἐπιδακνομένοις τὴν κύστιν· καὶ ὁ ἐκ τῶν χλωρῶν δὲ μύρτων ἐκθλιβέντων χυλὸς τὰ αὐτὰ ποιεῖ, εὐστόμαχος ὢν καὶ οὐρητικός, ἁρμόζων φαλαγγιοδήκτοις καὶ σκορπιοπλήκτοις σὺν οἴνῳ. καὶ τὸ ἀφέψημα δὲ τοῦ καρποῦ βάπτει τρίχας, ἑψηθεὶς δὲ σὺν οἴνῳ καὶ καταπλασθεὶς τὰ ἐν ἀκρωτηρίοις ἕλκη θεραπεύει, μετὰ πάλης δὲ ἀλφίτου καταπλασθεὶς φλεγμονὰς τὰς ἐν ὀφθαλμοῖς παρηγορεῖ, καὶ πρὸς αἰγιλώπια δὲ ἐπιπλάττεται. καὶ 2
ὁ ἐξ αὐτῆς δὲ γινόμενος οἶνος ἐκθλιβέντος τοῦ καρποῦ καὶ ἐπὶ ποσὸν ἀφεψηθέντος — ὀξίζει γὰρ ὁ μὴ οὕτως σκευασθείς — ἀκραίπαλός τέ ἐστι προπινόμενος, ποιῶν πρὸς ὅσα καὶ ὁ καρπός, ἐγκαθίσμά τε πρὸς μήτρας προπτώσεις καὶ δακτυλίου καὶ ῥοικαῖς ἁρμόζει. σμήχει δὲ καὶ πίτυρα καὶ ἀχῶρας καὶ ἐξανθήματα τρίχας τε ῥεούσας ἐπέχει· μείγνυται δὲ καὶ λιπαραῖς ὥσπερ καὶ τὸ ἐκ τῶν φύλλων αὐτῆς σκευαζόμενον ἔλαιον. καὶ τὸ τῶν φύλλων δὲ ἀφέψημα εἴς τε τὰ ἐγκαθίσματα ἁρμόζει καὶ πρὸς τὰ χαλατονοῦντα ἄρθρα καὶ ἀσυμπώρωτα ⟨καὶ⟩ κατεαγότα ὠφελίμως καταντλεῖται· σμήχει δὲ καὶ ἀλφοὺς καὶ πρὸς

---

5 SIM. Pl. XXIII 159 sq. (e S. N.); D. eup. II 30 (239) II 107 (305) II 121 (320) I 99 (143) I 184 (191).

5 EXC. Orib. XI s. v. (*μυρσίνη — ἔχει*); cf. Gal. XII 81. Gal. VI 592. Sim. S. s. v. *μυρσινόκοκκα* (70, 9 L.).

15 SIM. Pl. l. s. D. eup. I 54 (118) I 23 (105) II 69 (284) I 224 (210) II 84 (295) I 105 (146) I 227 (211) I 182 (190) II 49 (262) I 141 (165) I 217 (207) II 28 (238) I 178 (187) II 50 (263).

---

1 *πορφυροῦν* Orib.: *purpureum* Dl, fort. recte   2 *καὶ χυλίζεται* Orib. (om. *δέ*)   *καὶ* om. Di: post *δὲ* colloc. H   3 *ἃ*] *ὅσα* Orib.   *καὶ* om. Orib.

5 num. cap. $\overline{\rho\iota\beta}$ QDi: om. Dl   *μυρρίνη* Orib.Gal.   *ἡ* om. Orib. 10 *δακνομένος* HDi   17 *ἐκβληθέντος* H   18 *οὕτω* HDi   19 *τέ ἐστι* Q: *τε* om. Di   *πινόμενος* F, at cf. D. eup. I 23 (105)   20 *εἰς* ante *ἐγκάθισμα* addebat Sar.   *πρὸς* om. Di   *προπώσει* Di   22 *λιπαραῖς*] ad rem cf. Cels. V 19, 25   23 *αὐτῶν* H   25 *χαλαρὰ* HDi   post *ἄρθρα* inser. *καὶ ἀσυμπώρωτα ἄρθρα* HDi   *καὶ πρὸς* Di   *ἀσυμπτώροτα* F   *καὶ* addidi   *κατάγματα* Di

ὦτα πυορροοῦντα ἐγχυματίζεται καὶ μελασμοὺς τριχῶν, καὶ ὁ
3 ἐξ αὐτῶν δὲ χυλὸς τὰ αὐτὰ ποιεῖ. αὐτὰ δὲ τὰ φύλλα λεῖα
καταπλασσόμενα ἐν ὕδατι ἁρμόζει τοῖς καθύγροις τῶν ἑλκῶν
καὶ ῥευματιζομένοις τόποις πᾶσι καὶ κοιλιακοῖς, ἐλαίου ⟨δὲ⟩
ὀμφακίνου ἢ ῥοδίνου ὀλίγου καὶ οἴνου μεμειγμένου καὶ ἕρπησι
καὶ ἐρυσιπέλασι, διδύμων τε φλεγμοναῖς καὶ ἐπινυκτίσι καὶ
κονδυλώμασι. ξηρὰ δὲ λεῖα παρωνυχίαις καὶ πτερυγίοις χρη-
σίμως καταπάττεται καὶ καθύγροις μασχάλαις καὶ μηροῖς, καὶ
ἐπὶ καρδιακῶν στέλλει τοὺς ἱδρῶτας· κεκαυμένα δὲ καὶ ὠμὰ
μετὰ κηρωτῆς πυρίκαυτα καὶ πτερύγια καὶ παρωνυχίας ἰᾶται.
4 χυλίζεται δὲ τὰ φύλλα παραχεομένου οἴνου παλαιοῦ ἢ ὕδατος
ὀμβρίου καὶ ἐκθλίβεται. ἡ δὲ χρῆσις αὐτοῦ προσφάτου ὄντος·
ξηρανθεὶς γὰρ εὐρωτιᾷ καὶ ἀδυνατεῖ.

τὸ δὲ μυρτίδανον λεγόμενον ἐπίφυσίς ἐστιν ἀνώμαλος καὶ ὀχθώδης καὶ ὁμόχρους, οἱονεὶ χεῖρες περὶ τὸ τῆς μυρσίνης πρέμνον. στύφει δὲ μᾶλλον τῆς μυρσίνης· ἀποτίθεται δὲ κοπὲν καὶ μιγὲν οἴνῳ αὐστηρῷ, ἀναπλασθέν τε εἰς τροχίσκους ἐν σκιᾷ ξηραίνεται. δραστικώτερον δέ ἐστι τοῦ φύλλου καὶ καρποῦ, μειγνύμενον κηρωτῇ καὶ πεσσοῖς ἐγκαθίσμασί τε καὶ καταπλάσμασι τοῖς στύψεως δεομένοις.

113 κεράσια καὶ αὐτὰ μὲν χλωρὰ λαμβανόμενα εὐκοίλια τυγχάνει, ξηρὰ δὲ ἵστησι κοιλίαν. τὸ δὲ κόμμι τῶν κεράσων βῆχα χρονίαν ἰᾶται λαμβανόμενον μετὰ κράματος, εὔχροιάν τε καὶ ὀξυδερκίαν καὶ ὄρεξιν ποιεῖ· ὠφελεῖ δὲ καὶ λιθιῶντας μετ' οἴνου πινόμενον.

---

14 SIM. Pl. XXIII 164 (e S. N.).

14 EXC. Orib. XI s. v. *μυρρίνη* (*τὸ δὲ — καρποῦ*).

14 TEST. Gal. XIX 123: *μυρτίδανον οἱ πλεῖστοι μὲν τὸ πέπερι. Διοσκουρίδης δὲ ὁ Ἀναζαρβεὺς ἐν τῷ πρώτῳ περὶ ὕλης ἐπίφυσιν ἀνώμαλον καὶ ὀχθώδη περὶ τὸ τῆς μυρσίνης πρέμνον.*

21 SIM. Pl. XXIII 141 (e S. N.); Diphilus (Ath. II 51a); D. eup. II 31 (242) I 111 (149).

21 EXC. Gal. XII 22 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.) cf. Gal. VI 588; Garg. M. 52 (e Pl. Gal. Diosc.); Sim. S. s. v. cf. Hehn[5] 346 sq.

---

4 *τόποις* suspectum *δὲ* addidi 5 *γὰρ* post *ὀμφακίνου* add. HDi 7 *παρωνυχίσι* HDi: *παρωνυ* (*χ'* superscr.) F 8 *καταπάττεται* (e *καταπλ.* corr.) F 10 *παρωνυχίας καὶ πτερύγια* H 14 tit. *περὶ μυρτιδάνου* mg. add. Di 17 *τε*] *δὲ* Orib. 18 *τοῦ καρποῦ* Orib. Di

21 num. cap. *ριγ* QDi: om. Dl 22 *κερασίων* Q, cf. Gal. l. s. 24 *δὲ* om. F

114 *κεράτια* χλωρὰ μὲν λαμβανόμενα κακοστόμαχα τυγχάνει καὶ κοιλίας λυτικά, ξηρανθέντα δὲ ἵστησι κοιλίαν, εὐστομαχώτερα ὄντα, καὶ διουρεῖται, μάλιστα δὲ τὰ ἐκ τῶν στεμφύλων συντιθέμενα.

115 *μηλέας* πάσης τὰ φύλλα καὶ τὰ ἄνθη καὶ οἱ βλαστοὶ στύφουσι, μάλιστα δὲ τῆς κυδωνίας. καὶ ὁ καρπὸς ἔνωμος μὲν στυπτικὸς καθέστηκε, πεπανθεὶς δὲ οὐχ ὁμοίως. τὰ δὲ τοῦ ἔαρος ἀκμάζοντα μῆλα χολοποιά, ἄθετα τῷ νευρώδει παντί, ἐμπνευματοῦντα.

τὰ δὲ *κυδώνια* εὐστόμαχα, οὐρητικά — ὀπτηθέντα δὲ
προσηνέστερα γίνεται —, χρήσιμα κοιλιακοῖς καὶ δυσεντερικοῖς
καὶ αἱμοπτυικοῖς καὶ χολεριῶσι, μάλιστα ⟨δ'⟩ ὠμά· καὶ τὸ ἀπόβρεγμα
δὲ αὐτῶν ἁρμόζει τοῖς στόμαχον ἢ κοιλίαν ῥευματιζο-
μένοις ἐν ποτῷ. ὁ δὲ χυλὸς ὠμῶν αὐτῶν λαμβανόμενος ὀρθο- 2
πνοικοὺς ὠφελεῖ, τὸ δὲ ἀφέψημα πρόσκλυσμα δακτυλίου καὶ ὑστέρας προπτώσει. τὰ δὲ ἐκ τοῦ μέλιτος καὶ αὐτὰ μὲν οὐρητικά, τὸ δὲ μέλι τὴν αὐτὴν ἀναλαμβάνεται δύναμιν· στεγνωτικὸν γὰρ καὶ στυπτικὸν γίνεται· τὰ δὲ σὺν τῷ μέλιτι ἑψόμενα εὐστόμαχα μὲν καὶ εὔστομα, ἧττον δὲ στεγνωτικά. τὰ δὲ ὠμὰ

---

1 SIM. Pl. XXIII 151 (e S. N.), cf. Pl. XV 95.
1 EXC. Gal. XII 23 s. v. *κερατωνία*, cf. Garg. M. 51 (e D. Pl. Gal.).
5 SIM. [Hipp.] π. δ. VI 562 L. Pl. XXIII 100 (e S. N.); Diphil. (Ath. III 80 e); Sim. S. s. v. (63, 9).
5 EXC. Gal. XII 75. VI 594. Garg. M. 42.
7 TEST. Garg. M. 42: Dioscorides quod ad aestiva mala pertineat ita sentit ut ea crederet flegma nutrire (?), fellis ardores excitare, inflationes movere, nervosis partibus minime convenire.
10 SIM. [Hipp.] π. δ. VI 562 L. Pl. XV 37. XXIII 100 (e S. N.); Ath. III 81 a sq.; D. II 49 (262) II 30 (240) II 50 (263) II 39 (253) I 224 (209) II 12 (231) II 62 (275) I 217 (207) I 19 (107).
10 EXC. Gal. XII 76. VI 602 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.); Garg. M. 43 (e D. Pl.); Isid. XVII 7, 4; Sim. S. s. v. (48 L).
10 TEST. Garg. M. 43: cydonea plurimi medici eustomacha crediderunt. eadem *Dioscorides* et diuretica existimat, austeritatis fortasse beneficio.

---

1 num. cap. $\overline{ριδ}$ QDi: ρκα' Dl 3 *διουρεῖται* F: *διουρητικά* reliqui verba *ἐκ τῶν στεμφύλων* (*στεμφύλλων* F) *συντιθέμενα* corrupta: *maxime qui ex foliis componuntur* Dl: *τὰ ἐκτὸς τῶν στεμφύλων ἐσθιόμενα* coni. Lac., sed incerta haec
5 num. cap. $\overline{ριε}$ QDi: ρκβ' Dl 8 *εὔθετα* (*εὐ* in *ἀ* corr.) F, cf. Garg. M. l. s. 10 mg. add. *ριε'· περὶ κυδωνίων μήλων* Di: nov. cap. (ρκγ') inc. Dl 12 *ἐμπνικοῖς* HDi: *ἐμπνόοις* F: *emptoicis* Dl: *prosunt sanguinem excreantibus* Pl.: corr. Sar. *καὶ* (alt.) om. H *δ'* addidi

καταπλάσμασι μείγνυται πρὸς στέγνωσιν κοιλίας, στομάχου ἀνατροπὴν καὶ πύρωσιν, μαστοὺς φλεγμαίνοντας, σπλῆνας ἐσκιρρωμένους, κονδυλώματα. γίνεται δὲ καὶ οἶνος ἐξ αὐτῶν κοπτομένων καὶ ἐκθλιβομένων, πρὸς διαμονὴν μειγνυμένου τοῖς δέκα δύο ξέσταις τοῦ χυλοῦ μέλιτος ξέστου ἑνός, ἐπεὶ ὀξίζει.

3 ἁρμόζει δὲ πρὸς τὰ εἰρημένα πάντα. καὶ χρῖσμα δὲ ἐξ αὐτῶν σκευάζεται τὸ καλούμενον μήλινον, ᾧ χρώμεθα, ὁπόταν στυπτικοῦ ἐλαίου δεηθῶμεν. ἐκλέγεσθαι δὲ δεῖ τὰ ἀληθινά· μικρὰ δέ ἐστι καὶ περιφερῆ καὶ εὐώδη ταῦτα. τὰ δὲ λεγόμενα στρουθία καὶ μεγάλα ἧττόν ἐστιν εὔχρηστα. τὰ δὲ ἄνθη αὐτῶν ξηρά τε καὶ χλωρὰ καταπλάσμασιν εὔθετα πρὸς τὰ στύψεως χρείαν ἔχοντα καὶ πρὸς ὀφθαλμῶν φλεγμονὰς καὶ πρὸς αἵματος ἀναγωγὰς καὶ κοιλίας ῥύσιν καὶ ἐμμήνων φορὰν ἁρμόζει μετὰ οἴνου πινόμενα.

τὰ δὲ μελίμηλα κοιλίαν μαλάσσει καὶ θηρία ἐκτινάσσει, κακοστόμαχα καὶ καύσου ποιητικὰ ὄντα. καλεῖται δὲ ὑπό τινων γλυκύμηλα.

4 τὰ δὲ Ἠπειρωτικὰ λεγόμενα, Ῥωμαιστὶ δὲ ὀρβικλᾶτα, εὐστόμαχα, κοιλίας σταλτικά, οὔρων προκλητικά, ἀτονώτερα μέντοι τῶν κυδωνίων ἐστίν.

τὰ δὲ ἄγρια ἔοικε τοῖς ἐαρινοῖς στύφοντα. δεῖ δὲ πρὸς τὰ στύψεως χρῄζοντα ἀωροτέροις ἅπασι χρῆσθαι.

τὰ δὲ Περσικὰ μῆλα εὐστόμαχα, εὐκοίλια τὰ πέπειρα, τὰ δὲ ἔνωμα στεγνωτικὰ κοιλίας, ξηρανθέντα δὲ στεγνωτικώτερα γίνεται· καὶ τὸ ἀφέψημα δὲ αὐτῶν ξηρῶν λαμβανόμενον στόμαχον καὶ κοιλίαν ῥευματιζομένην ἵστησιν.

---

15 SIM. Pl. XXIII 104 (e S. N.) cf. Pl. XV 51. Isid. XVII 7, 5. Geop. X 20, 1.
18 SIM. Pl. XXIII 104 (e S. N.) cf. Pl. XV 51. Ath. III 80 f.
21 SIM. Pl. XXIII 104 (e S. N.).
23 SIM. Pl. XV 39. XXIII 132 cf. Isid. XVII 7, 7.
23 EXC. Gal. XII 76. VI 592 (unde Aet. I s. v.), Garg. M. 44 (cf. A. Mai I 394).

---

4 *μιγνύμενος* H 5 *ιϛ̄* libri: X Dl: correxi coll. D. V 28 8 *ἀληθινά*] *ἀρρενικὰ* non recte coni. Sambuc. 12 *καὶ* (alt.) om. Di 13 *ἀναγω* (*γ* superscr.) F *κοιλίας τε* (om. *καὶ*) Di 15 mg. add. *περὶ μελιμήλων* Di: nov. cap. (*ρκδ'*) inc. Dl 16 *καὶ*] *δὲ* Q *ὄντα* om. Di 18 mg. add. *περὶ ἠπειρωτικῶν μήλων* Di *ὀβρίκλατα* QDi: correxi coll. Ath. III 80 f. 21 mg. add. *περὶ ἀγριομήλων* Di 23 mg. add. *περὶ μήλων περσικῶν* Di: nov. cap. (*ρκε'*) inc. Dl 24 *καὶ στεγνωτικώτερα* vulgo 25 *γίνονται* HDi *ξηρὸν* F

τὰ δὲ μικρότερα, καλούμενα δὲ Ἀρμενιακά, Ῥωμαιστὶ δὲ βρεκόκκια, εὐστομώτερα τῶν προειρημένων ἐστίν. 5

τὰ δὲ Μηδικὰ λεγόμενα ἢ Περσικὰ ἢ κεδρόμηλα, Ῥωμαιστὶ δὲ κίτρια, πᾶσι γνώριμα· φυτὸν γάρ ἐστι καρποφοροῦν δι' ὅλου τοῦ ἔτους ἐπαλλήλως, αὐτὸ δὲ τὸ μῆλον ἐπίμηκες, ἐρρυτιδωμένον, χρυσίζον τῇ χρόᾳ, εὐῶδες μετὰ βάρους, σπέρμα ἔχον ἀπίῳ ἐοικός.

δύναμιν δὲ ἔχει ποθέντα ἐν οἴνῳ ἀντενεργεῖν θανασίμοις κοιλίαν τε ὑπάγειν, διάκλυσμά τέ ἐστι πρὸς εὐωδίαν στόματος τὸ ἀφέψημα καὶ ὁ χυλὸς αὐτῶν. βιβρώσκεται δὲ μάλιστα ὑπὸ γυναικῶν πρὸς τὴν κίσσαν· φυλάττειν δὲ καὶ ἱμάτια δοκεῖ ἄβρωτα ἐπιτιθέμενα κιβωτίοις.

116 ἀπίου δὲ πολλὰ εἴδη. πᾶσαι δὲ στύφουσιν, ὅθεν εἰς τὰ ἀποκρουστικὰ καταπλάσματα ἁρμόζουσιν. τὸ δὲ ἀφέψημα αὐτῶν ξηρανθεισῶν καὶ αὐταὶ ⟨δὲ⟩ λαμβανόμεναι ὠμαὶ κοιλίαν ἱστᾶσι· βλάπτουσι δὲ ἐσθιόμεναι τοὺς νήστεις.

ἡ δὲ ἀχρὰς εἶδός ἐστιν ἀγρίας ἀπίου βραδέως πεπαινόμενον. δύναμιν δὲ ἔχει στυπτικωτέραν τῆς ἀπίου, ὅθεν καὶ πρὸς τὰ αὐτὰ ἁρμόζει· στύφει δὲ καὶ τὰ φύλλα αὐτῆς. ἡ δὲ ἐκ τοῦ ξύλου αὐτῶν τέφρα βοηθεῖ ἐνεργῶς τοῖς ὑπὸ μυκήτων πνιγομένοις. φασὶ δέ τινες ὅτι, κἂν συνεψήσῃ τις ἀχράδας μύκησιν, ἀβλαβεῖς αὐτοὺς γίνεσθαι.

---

1 SIM. Pl. XV 40. Isid. XVII 7, 7.

1 EXC. Gal. XII 76. VI 593.

3 SIM. Theophr. h. pl. IV 4, 2. Ath. III 83 a sq. Pl. XXIII 105; D. II 135 (326); Macr. sat. III 19, 4; Isid. XVII 7, 8.

3 EXC. Gal. XII 77. VI 618; Garg. M. 45 cf. Sim. S. s. v. *κίτρα*. Serv. com. in Verg. G. II 126.

13 SIM. [Hipp.] *π. δ.* II 55 (562); Pl. XXIII 115 sq. (c S. N.).

13 EXC. cf. Gal. XI 834. VI 603 (unde Garg. M. 40); D. eup. II 47 (259). II 140 (336).

13 TEST. Garg. M. 40: pirorum naturam *Dioscorides* stypticam credidit et ideo contrita inposita impetus omnes incurrentis umoris avertere eaque ratione compescere etiam quae de tumore sublata sunt.

---

1 mg. add. *περὶ μήλων ἀρμενιακῶν* Di 2 *βρεκόκια* Di: *πρεκόκκια* Gal. *εὐστομαχώτερα* HDi, at cf. Dl *ista stomatica est* 3 mg. add. *περὶ μήλων μηδικῶν* Di 4 *κιτρία* F 8 *ποθὲν* HDi 12 *ἐπιτιθέμενα* F: *ἐπιτιθέμενον* reliqui

13 num. cap. *ρις* QDi 15 *δὲ* addidi 17 mg. add. *περὶ ἀχράδος* Di *πεπαινομένη* Di 18 *τῆς* om. Di *καὶ* om. Di 19 *τὰ αὐτ'* F 20 *ἐναργῶς* libri (ut videtur): correxi coll. Pl. XXIII 116 *pirorum ligni cinis contra fungos etiamnum efficacius proficit* *μυκήτον* HDi: *μυκή* (*τ* superscr.) F 21 ad *ὅτι* cf. D. I 83. III 126 Blaß Gr. d. neut. Gr. 238, 4

117 λωτὸς τὸ δένδρον φυτόν ἐστιν εὐμέγεθες, καρπὸν δὲ φέρει μείζονα πεπέρεως, γλυκύν, βρώσιμον, εὐστόμαχον, κοιλίας στεγνωτικόν. τῶν δὲ πρισμάτων τοῦ ξύλου τὸ ἀφέψημα πινόμενον καὶ ἐγκλυζόμενον βοηθεῖ δυσεντερικοῖς καὶ γυναιξὶ ῥοικαῖς· ξανθίζει δὲ καὶ τρίχας καὶ ἐπέχει ῥεούσας.

118 μέσπιλον τὸ δένδρον, ὃ παρ' ἐνίοις ἀρωνία καλεῖται, ἀκανθῶδές ἐστιν, ὅμοιον τοῖς φύλλοις πυρακάνθῃ, καρπὸν ⟨δὲ⟩ φέρει μικρόν, ⟨στρογγύλον⟩, μήλῳ ὅμοιον, [πλατὺν ἔχοντα τὸν πυθμένα,] ἡδύν, ἔχοντα τρία ὀστάρια ἔνδοθεν, παρ' ὃ καὶ τρίκοκκόν τινες αὐτὸν ὠνόμασαν. στύφει δὲ καὶ βιβρωσκόμενός ἐστιν εὐστόμαχος, κοιλίας στεγνωτικός.

ἔστι δὲ καὶ ἕτερον εἶδος ἐν Ἰταλίᾳ γεννώμενον, ὃ ἔνιοι ἐπιμηλίδα, οἱ δὲ σητάνιον ὀνομάζουσι· δένδρον μήλῳ ἐμφερὲς

---

1 SIM. Theophr. h. pl. IV 3, 1. Pl. XIII 104. XXIII 6 (c S. N.) cf. Polyb XII 2 (Ath. XIV 651 d); D. eup. II 51 (264) II 82 (294) I 98. 97 (142).

1 EXC. Gal. XII 65 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

6 SIM. Theophr. h. pl. III 12, 5. Pl. XV 84. XXIII 141; D. eup. II 49 (262).

6 EXC. Orib. XI s. v. (*μέσπιλον — στεγνωτικός*); Gal. XII 72, unde Garg. M. 47.

6 TEST. Garg. M. 47: mespili arborem *Dioscorides* contentus agrestem nominasse praeteriit (?).

12 TEST. Gal. XIX 99: *Διοσκουρίδης μὲν ἐν τῷ πρώτῳ περὶ ὕλης εἶδος μεσπίλου* (sc. *ἐπιμηλίδα λέγει*) *τὸ καὶ σητάνιον ὀνομαζόμενον. ἔνιοι δὲ τὰ μῆλα τὰ σμικρά, [τὰ] ἄγρια, ἅπερ καὶ ἀμαμηλίδες ὀνομάζονται* (cf. Ath. XIV 650 cd). Gal. XIX 77: *ἀμαμηλίδες· εἶδός τι μεσπίλου πλεῖστον ἐν Ἰταλίᾳ γινόμενον, ὡς καὶ Διοσκουρίδης λέγει.*

---

1 num. cap. *ρις̅* Q: *ρκη'* Dl: cap. post 119 transpos. Di 2 *βρώσιμον*] *aptu ad edendum* Dl: *βαρύοσμον* coni. Marc., at cf. Theophr. IV 3, 1 *ἐσθιόμενος δ' ὁ ἐν τοῖς Λωτοφάγοις καλούμενος γλυκὺς καὶ ἡδὺς καὶ ἀσινὴς καὶ ἔτι πρὸς τὴν κοιλίαν ἀγαθός* 4 *ἐκλειχόμενον* D. eup. II 82 (294) 5 *γαστέρα ῥεοῦσαν* QDi: corr. Corn. coll. Gal. XII 65. Pl. XXIV, 6 cf. Dl *capillis cadentibus occurrit, rufum colorem capillis facit*

6 num. cap. *ρι̅η* Q: *ρι̅ζ* Di: *ρκ̅θ* Dl *ὃ* om. Q: *ὃ — καλεῖται* om. Orib. 7 *ἐστιν* om. Q *ὅμοιον — πυρακάνθῃ* om. Orib. *πυρακάνθῃ* libri: *ὀξυακάνθῃ* Lac. (ex E?): *πυξακάνθῃ* Cornar. *δὲ* addidi 8 *φέρον* Orib.Di: *φ^ρ* F: *φέρει* H *μικρῷ* Di *στρογγύλον* addidi e Dl *semen habet rotundum et minutum* *πλατὺν — πυθμένα* om. Orib.DiDl: seclusi (e p. 111,2 huc transl.) 9 *ἔνδοθεν — ὠνόμασαν* om. Orib. *παρ' ὃ*] *ἀφ' ὧν* Di cf. Blaß l. s. 139, 4 10 *αὐτὸ* H *ὀνομάζουσι, βραδέως πεπαινόμενον* Di *καὶ* om. Di *βιβρωσκόμενος* (*εὐστόμαχος, στεγνωτικός*) Orib.: *βιβρωσκόμενον* (*εὐστόμαχον, στεγνωτικόν*) reliqui 11 *εὐστόμαχόν τέ ἐστι καὶ* Di *κοιλίας*] *καὶ λίαν* H 12 *μεσπίλου δὲ καὶ ἕτερόν ἐστιν εἶδος* Di *εἶδος*] *γένος* Q (vit. sollemne) 13 *ἐπιμηλίναν* Q: *epimelidam* Dl, cf. Pamphil. (Ath. III 82 d. XIV 650 E). Hes. s. v. *ἐπιμηλίδα καλοῦσιν* Di *σιτάνιον* QDi: *setanion* Dl, cf. Pl. l. s.: *σατάνειος* Theophr. l. s. *δένδρον ἐστὶ* Di *μηλέᾳ* H

καὶ τοῖς φύλλοις, ὅτι μὴ μικρότερον· καρπὸν δὲ ἔχει καὶ τοῦτο στρογγύλον, βρώσιμον, πλατὺν ἔχοντα τὸν πυθμένα, ὑποστύφοντα, πεπαινόμενον βραδέως.

119 *κρανία δένδρον ἐστὶν ἁδρόν, καρπὸν φέρον ὡς ἐλαίας, ἐπιμήκη, χλωρὸν τὸ πρῶτον, πεπαινόμενον δὲ ξανθὸν ἢ κηροειδῆ, ἐδώδιμον, στύφοντα, ἁρμόζοντα πρὸς κοιλίας ῥύσιν καὶ δυσεντερίαν, συντιθέμενον καὶ εἰς ἕψημα καὶ εἰς βρῶσιν· καὶ ἁλμεύεται ⟨δὲ⟩ ὡς ἐλαία. ὁ δ' ἐ⟨κ⟩ τῶν χλωρῶν ξύλων ἰχὼρ καιομένων πρὸς λειχῆνας καταχριόμενος ⟨ποιεῖ⟩.*

120 *οὖα τὰ μηλίζοντα καὶ μήπω πέπειρα τμηθέντα καὶ ξηρανθέντα ἐν ἡλίῳ σταλτικὰ γίνεται κοιλίας ἐσθιόμενα· καὶ τὸ ἐξ αὐτῶν δὲ ἄλευρον ἀλεσθέντων ἀντὶ ἀλφίτου λαμβανόμενον καὶ τὸ ἀφέψημα δὲ αὐτῶν πινόμενον τὸ αὐτὸ ποιεῖ.*

121 *κοκκυμηλέα δένδρον ἐστὶ γνώριμον, οὗ ὁ καρπὸς ἐδώδιμος, κακοστόμαχος, κοιλίας μαλακτικός· τῶν δὲ Συριακῶν καὶ μάλιστα τῶν ἐν Δαμασκῷ γεννωμένων ὁ καρπὸς ξηρανθεὶς εὐστόμαχος καὶ κοιλίας σταλτικός. τὸ δὲ ἀφέψημα τῶν φύλλων ἐν οἴνῳ σκευαζόμενον καὶ ἀναγαργαριζόμενον κιονίδα καὶ οὖλα*

---

2 TEST. Garg. M. 60: hoc pomum (sc. hypomelidem) *Dioscorides* frigidissimum adfirmat atque ideo et laborem digestionis incutere.

4 SIM. Theophr. h. pl. III 12, 1; Pl. XVI 105; XXIII 151 (e S. N.); D. eup. I 126 (156).

4 EXC. Gal. XII 41 (= Act. I s. v. Paul. Aeg. VII 3 s. v.).

10 SIM. Theophr. h. pl. III 12, 6; Pl. XV 85; XXIII 141 (e S. N.); D. eup. II 49 (212).

10 EXC. cf. Gal. XII 87; Garg. M. 50.

14 SIM. Theophr. h. pl. IV 2, 10; Diphil. (Ath. II 50 b); Pl. XXIII 132. 133 (e S. N.); Sim. S. s. v. *δαμασκηνά*; D. eup. I 86 (136) I 85 (136) II 111 (309).

14 EXC. Gal. XII 32 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.) cf. Gal. VI 613; Garg. M. 46 (aliis e Gal. Pl. additis); cf. Ps. Orib. III 7; Isid. XVII 7, 10.

17 TEST. Gal. XII 32: *Διοσκουρίδης δ' οὐκ οἶδ' ὅπως τὰ Δαμασκηνὰ κοκκύμηλα ξηρανθέντα φησὶν ἐπέχειν* (*ὑπέχειν* ed.) *γαστέρα.*

---

1 *καὶ* (pr.) om. Di   *ἔχει δὲ καρπὸν* Di

4 num. cap. *ριθ* QDi: *ρλα'* (post c. 120 colloc.) Dl   5 post *πρῶτον* habet *ἔπειτα δὲ κηροειδῆ καὶ τελευταίως πεπαινόμενον ἐρυθρόν* Sarac. cod. (E?): *viridem cum maturaverit obrufo colore est eere similem* Dl   7 *δυσεντερίας* HDi *καὶ* (alt.) om. F   8 *δὲ* addidi   *δ' ἐκ* scripsi: *δὲ* libri   *φύλλων* QDiDl: corr. Cornar., cf. D. eup. I 126 (156) *ὁμοίως καὶ ἐκ τῶν κρανείνων ξύλων* (sc. *ἰχὼρ ὁ ἀπορρέων πρὸς λ. ἁρμόζει*)   9 *ποιεῖ* addidi

10 num. cap. *ρκ* QDi: *ρλ'* Dl   12 *ἀλφίτου* QDi: *ἀλφίτων* D. eup. l. s.

14 num. cap. *ρκα* QDi: *ρλβ'* Dl   tit. *περὶ κοκκιμήλων* Di: *περὶ κοκκυμηλέας* Q   17 *κοιλίας σταλτικός*] at Gal. (XII 32) pruna Damascena ventrem subducere dicit, minus tamen quam Iberica

καὶ παρίσθμια ῥευματιζόμενα στέλλει. τὰ δὲ αὐτὰ παρέχει καὶ ὁ τῶν ἀγρίων κοκκυμηλέων καρπὸς πέπειρος ξηρανθείς, ἑψηθεὶς δὲ μετὰ ἑψήματος εὐστομαχώτερος καὶ σταλτικώτερος κοιλίας γίνεται. τὸ δὲ κόμμι τῆς κοκκυμηλέας ἐστὶ κολλητικόν, λίθων θρυπτικὸν πινόμενον σὺν οἴνῳ, σὺν ὄξει δὲ ἐπιχριόμενον λειχῆνας τοὺς ἐπὶ παιδίων θεραπεύει.

122 κόμαρος δένδρον ἐστὶ παρόμοιον κυδωνίᾳ, λεπτόφλοιον, καρπὸν ἔχον ὡς κοκκυμήλου μέγεθος, ἀπύρηνον, μεμαίκυλα καλούμενον, πεπανθέντα δὲ ὑπόκιρρον, ἐσθιόμενον ἀχυρώδη, κακοστόμαχον καὶ κεφαλαλγῆ.

123 ἀμυγδάλης πικρᾶς ἡ ῥίζα λεία ἑψηθεῖσα ἐφήλεις τὰς ἐν προσώποις ἀποκαθαίρει· καὶ αὐτὰ δὲ τὰ ἀμύγδαλα καταπλασθέντα τὰ αὐτὰ ποιεῖ. προστιθέμενα δὲ ἄγει καταμήνια, καὶ κεφαλαλγίαις ἀρήγει τοῦ μετώπου καταπλασσομένου μετ᾽ ὄξους καὶ ῥοδίνου, καὶ πρὸς ἐπινυκτίδας σὺν οἴνῳ, πρὸς

---

2 TEST. Garg. M. 46 (191, 9 R.): *Dioscorides* sicca cocta alvum restringere existimat.

7 SIM. Theophr. h. pl. III 16, 4; Pl. XV 99. XXIII 151; Ath. II 50d; D. eup. I 25 (106).

7 EXC. Orib. lat. XI s. v. (κόμαρος — κεφαλαλγῆ); Gal. XII 34 (= Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

11 SIM. [Hipp.] π. δ. II 55 (VI 564); Diocles (frg. 126 W.); Phylot., Mnesith., Diphil. (Ath. II 53f.); Plut. quaest. conv. I 6, 624c; Rufus 534 (R.); Pl. XXIII 144 (S. N.); D. eup. I 111 (149) II 78 (290) I 2 (94) I 10 (98) I 171 (183) I 128 (157) II 113 (314) II 109 (306) II 30 (239).

11 EXC. Orib. XI s. v. (ἀμυγδάλης — σὺν ὕδατι πινόμενα); Gal. XI 827 (= Aet. I s. v. Paul. Aeg. VII 3 s. v.); Garg. M. 53 (cf. A. Mai I 404); Gal. VI 611. Sim. S. s. v.

---

1 τὰ αὐτὰ δὲ Di 2 κοκκυμήλων HDi 3 εὐστομώτατος F: εὐστομαχώτατος Di 6 τὰς QDi

7 num. cap. ρκβ Di: cap. om. F, at index habet κόμαρος ρκβ': post c. 123 coll. H κυδωνέᾳ H λεπτόφυλλον Orib.HDi: corr. Sarac. (Matthiolo duce) coll. Theophr. l. s. 8 κοκκυμη(λ superscr.) H (incertum κοκκυμήλου an κοκκυμήλων) μεμαίκυλον Theophr. l. s. Pl. XV 99: μεμαίκυλα D. eup. I 25 (106): *maemeoylon* Orib.: μεμάκυλα H: ἀπομάκυλα Di: μημέκυλον Gal.: μιμαίκυλον Ath. l. s. 9 δὲ om. H ὑπόκιρρον ἢ ἐρυθρόν Orib. Di ἀχυρώδη om. H (spatio relicto): ἀχυρῶδες Di: corr. Sarac. 10 κακοστόμαχον δὲ Di κεφαλαλγές Di: corr. Sarac.

11 num. cap. ρκγ Di: (ρκγ F in ind.): ρλδ' Di tit. περὶ ἀμυγδάλων F: περὶ ἀμυγδαλῆς HDi ἀμυγδα(λ superscr.) F (κόμη ἀμυγδάλης ind.): ἀμυγδαλῆς Orib. (εας superscr. O[2]): ἀμυγδαλέας reliqui ἀφεψηθεῖσα λεία Orib.Di 12 προσώπ' (= προσώποις) F: προσώπῳ reliqui, cf. Plut. l. s. 13 τὸ αὐτὸ Orib. 14 βοηθεῖ καταπλασθέντα μετώπῳ ἢ κροτάφοις Di

δὲ σηπεδόνας καὶ ἕρπητας καὶ κυνόδηκτα σὺν μέλιτι ⟨ἁρμόζει⟩.
ἐσθιόμενα δέ ἐστιν ἀνώδυνα, μαλακτικὰ κοιλίας, ὑπνωτικά, οὐρη-
τικὰ καὶ πρὸς αἵματος ἀναγωγὴν μετὰ ἀμύλου ⟨καὶ ἡδυόσμου⟩
λαμβανόμενα, πρὸς δὲ νεφριτικοὺς καὶ περιπνευμονικοὺς σὺν
ὕδατι πινόμενα ἢ ἐκλειχόμενα σὺν ῥητίνῃ τερεβινθίνῃ, δυσου-
ροῦσι δὲ καὶ λιθιῶσι σὺν γλυκεῖ βοηθεῖ, καὶ ἡπατικοῖς καὶ βηξὶ
καὶ κόλον ἐμπνευματώσεσι σὺν μέλιτι καὶ γάλακτι ἐκλειχόμενα
καρύου Ποντικοῦ μέγεθος. ἔστι δὲ καὶ ἀμέθυστα προλαμβανό- 2
μενα ὅσον πέντε· κτείνει δὲ καὶ ἀλώπεκας βρωθέντα σύν τινι.
τὸ δὲ κόμμι αὐτῆς στύφει καὶ θερμαίνει καὶ βοηθεῖ πρὸς αἵ-
ματος ἀναγωγὴν πινόμενον, καὶ ἐπιχριόμενον δὲ σὺν ὄξει λει-
χῆνας ἐπιπολαίους αἴρει· ἰᾶται καὶ βῆχα χρονίαν μετὰ κράμα-
τος ποθέν, λιθιῶντας δὲ ὠφελεῖ σὺν γλυκεῖ πινόμενον. ἡ δὲ
γλυκεῖα καὶ ἐδώδιμος ἀμυγδάλη κατὰ πολὺ ἥσσων ἐστὶν ὡς
πρὸς ἐνέργειαν τῆς πικρᾶς· καὶ αὐτὴ δὲ λεπτυντική, οὐρητική.
βρωθέντα δὲ σὺν τῷ λέπει τὰ ἀμύγδαλα χλωρὰ στομάχου πλά-
δον ἀποκαθίστησιν.

124 πιστάκια τὰ γεννώμενα ἐν Συρίᾳ ὅμοια στροβίλοις, εὐστόμαχα. ἐσθιόμενα δὲ καὶ πινόμενα ἐν οἴνῳ λεῖα ἑρπετοδήκτοις βοηθεῖ.

---

4 SIM. D. eup. II 102 (303) II 36 (249) II 111 (309) II 58 (270) I 23 (105) II 30 (239) II 31 (242) II 111 (309) II 9 (229).

16 TEST. Garg. M. 53 (199, 7 R.): *Dioscorides* etiam prodesse stomacho arbitratur, si cum folliculo suo nucleus devorctur.

18 SIM. Pl. XIII 51. XXIII 150 (e S. N.); Ath. XIV 649d; cf. Thcophr. h. pl. IV 4, 7.

18 EXC. Gal. XII 120; Paul. Aeg. VII 3 s. v.; Garg. M. 55 (e Gal. et Diosc.); cf. Gal. VI 616.

---

1 *ἁρμόζει* addidi ex Orib. 2 *δέ*] *τε* Orib. *κοιλίας μαλακτικά* HDi 3 *ἀναγωγὰς* Orib. *καὶ ἡδυόσμου* addidi ex Orib. Dl cf. D. eup. 30 (239) *μετ' ἀμύλου καὶ ἡδυόσμου πινόμενα μεθ' ὕδατος* 4 *νεφριτικὰ* H, compend. scr. F *περιπνευμονικὰ* H, compend. scr. F 5 *ὕδατι*] *οἴνῳ* Q, at cf. D. cup. II 102 (303) *ἀμύγδαλα πικρὰ σὺν ὕδατι*, Pl. XXIII 144 *ex aqua potae* *δυσουριῶσι* Di 8 *ποντικοῦ* om. Q: *in melle sumitur nucis abellanae magnitudo* Pl. *τὸ μέγεθος* Di *καὶ* om. vulgo *ἀμέθυσα* libri: correxi cf. D. eup. I 23 (105) *πρωῒ λαμβανόμενα* H 9 *ζ' ἢ ε'* H: *ε' ἢ ζ'* Di: *quinis fere praesumptis* Pl. cf. Plut. l. s. 10 *αὐτῶν* Q *καὶ* (alt.) om. Q 11 *σὺν ὄξει δὲ ἐπιχρ.* (om. *καὶ*) Di 13 *ποθὲν ἀκράτου* Q (varia lectio), ad rcm cf. D. eup. II 31 (242) *κόμμι ἀμυγδαλῆς πικρᾶς . . . μετὰ κράματος* (sc. *βῆχας θεραπεύει*) 17 *ἀποκαθιστῶσιν* H

18 num. cap. *ρκδ* QDi: *ρλϛ'* Dl

125 κάρυα βασιλικά, ἃ ἔνιοι Περσικὰ καλοῦσιν, ἐσθιόμενα δύσπεπτα, κακοστόμαχα, χολοποιά, κεφαλαλγῆ, βήσσουσιν ἐναντία. χρήσιμα δὲ βιβρωσκόμενα πρὸς ἐμέτους νήστει, καὶ θανασίμων φαρμάκων ἀντιφάρμακον προβρωθέντα σὺν ἰσχάσι καὶ πηγάνῳ, πλείονα δὲ βρωθέντα πλατεῖαν ἕλμινθα ἐκτινάσσει· ἐπιπλάττεται δὲ καὶ μαστοῖς φλεγμαίνουσι καὶ στρέμμασι σὺν ὀλίγῳ μέλιτι καὶ πηγάνῳ. μετὰ δὲ κρομύου καὶ ἁλὸς καὶ μέλιτος πρὸς κυνόδηκτα καὶ ἀνθρωπόδηκτα ποιεῖ, πυρωθέντα δὲ σὺν τῷ κελύφει καὶ ἐπιτεθέντα τῷ ὀμφαλῷ στρόφους παύει.
2 τὸ δὲ λέπυρον καὲν καὶ τριφθὲν ἐν οἴνῳ καὶ ἐλαίῳ ⟨καὶ⟩ παιδίοις ἐπιχρισθέν, καλλίτριχόν ἐστι καὶ ἀλωπεκίας δασύνει, καὶ ἔμμηνα ἐφίστησι τὸ ἐντὸς αὐτοῦ λεῖον καὲν καὶ σὺν οἴνῳ προστιθέμενον. τῶν δὲ παλαιῶν καρύων τὰ ἐντὸς καταπλασθέντα γαγγραίνας καὶ ἄνθρακας ⟨περιχαράσσει⟩, καὶ αἰγιλώπια καὶ ἀλωπεκίας μασηθέντα καὶ ἐπιτεθέντα ἰᾶται. γίνεται δὲ καὶ ἔλαιον ἐξ αὐτῶν κοπτομένων καὶ ἐκθλιβομένων. τὰ δὲ χλωρὰ ἧττον κακοστόμαχα, γλυκύτερα ὄντα, διὸ καὶ τοῖς σκόρδοις μείγνυνται πρὸς τὸ τὴν δριμύτητα περιαιρεῖν· αἴρει δὲ καὶ πελιώματα καταπλασθέντα.
3 τὰ δὲ Ποντικά, ἃ ἔνιοι λεπτοκάρυα καλοῦσι, ⟨κεφαλῆς⟩

---

1 SIM. [Hipp.] π. δ. II 55 (VI 564); Diocles (frg. 126 W.); Phylot., Mnesith., Diphil. (Ath. II 53f sq.); Pl. XXIII 147sq. (e S. N.), unde Garg. M. 57 (aliis e Gal. additis).
1 EXC. Gal. XII 13 sq. (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.); Gal. VI 609.
6 SIM. Pl. XXIII 147 — Pl. 149 (*ἀντίδοτον* Mithridatis cf. Gal. VI 610) 147. D. eup. II 136 (327) — Pl. 148 eup. II 66 (281) — Pl. 148 eup. I 136 (162) 226 (210) — Pl. 148 eup. II 113 (314) — eup. II 43 (256) — Pl. 148 eup. I 97 (142) I 95 (141) — eup. II 83 (295) — Pl. 148 eup. I 201 (197) I 199 (196) — eup. I 54 (118) — Pl. 148 eup. I 56 (119).
20 SIM. Pl. XXIII 150; Ath. II 53d; D. eup. II 31 (241) I 95 (141).
20 EXC. Garg. M. 54 (202, 4sq.) cf. Gal. XII 14. VI 609.

---

1 num. cap. ρκε QDi: ρλζ Dl tit. *περὶ καρύων* QDi *ἔνιοι*] sc. Diocles l. s. 4 *φαρμάκων ἐστὶν* Di *ἀντιφάρμακα* Di *προβρωθέντα καὶ ἐπιβρωθέντα* Di, at cf. D. eup. II 136 (326) *ἀνενέργητα ποιεῖ τὰ θανάσιμα προπινόμενα . . . κάρυα βασιλικὰ μετὰ ἰσχάδων* 6 *ἐπιπλάσσεται* HDi post *φλεγμαίνουσι* add. *καὶ ἀποστήμασι* Di 9 *κατὰ τοῦ ὀμφαλοῦ* D. eup. II 43 (256) 10 *καὶ* addidi 12 *ἵστησι* Di *καὲν λεῖον* Di 14 *περιχαράσσει* addidi *αἰγιλόπια* QDi *καὶ ἀλωπεκίας* om. Dl, fort. delenda 15 *ἰᾶται συντόμως* Di 20 tit. mg. add. *περὶ λεπτοκαρύων* Di: *λεπτοκάρυα* H *κεφαλῆς κακωτικά* om. DiDl: *κεφαλῆς* addidi coll. Pl. *nucis abellanae capitis dolorem faciunt*, cf. Diphil. (Ath. II 54 b)

κακωτικά, κακοστόμαχα. καὶ αὐτὰ δὲ λεῖα σὺν μελικράτῳ πινόμενα βῆχα παλαιὰν ἰᾶται, φρυκτὰ δὲ ἐσθιόμενα σὺν πεπέρει ὀλίγῳ κατάρρουν πεπαίνει. ὅλα δὲ κατακαέντα λεῖα μετ᾽ ὀξυγγίου ἢ στέατος ἀρκείου ἀλωπεκίας περιχρισθέντα δασύνει. φασὶ δὲ ἔνιοι ὅτι μετὰ ἐλαίου τὰ κελύφη κεκαυμένα καὶ λειοτριβηθέντα ⟨ἐπὶ⟩ γλαυκοφθάλμων παιδίων τὰς κόρας καὶ τρίχας μελαίνει καταβρεχομένου τοῦ βρέγματος.

126 μορέα ἢ συκάμινον δένδρον ἐστὶ γνώριμον, οὗ ὁ καρ-
πὸς λυτικὸς κοιλίας, εὔφθαρτος, κακοστόμαχος· καὶ ὁ ἐξ αὐτοῦ
δὲ χυλὸς τὰ αὐτὰ δρᾷ, ἑψηθεὶς δὲ ἐν χαλκώματι ἢ ἡλιασθεὶς
στυπτικώτερος γίνεται. μιγέντος δὲ αὐτῷ ὀλίγου μέλιτος ποιεῖ
πρὸς ῥεύματα καὶ νομὰς καὶ παρίσθμια φλεγμαίνοντα· ἐπι-
τείνεται δὲ καὶ ἡ δύναμις αὐτοῦ παραμιγείσης στυπτηρίας
σχιστῆς καὶ κηκίδος καὶ κυπέρου καὶ σμύρνης καὶ κρόκου, ἔτι
δὲ καὶ μυρίκης καρποῦ καὶ ἴριδος καὶ λιβανωτοῦ. τὰ δὲ ἄωρα
μόρα ξηρὰ κοπέντα ἀντὶ ῥοὸς τοῖς ὄψοις μείγνυται καὶ κοιλια-
κοὺς ὀνίνησιν. ὁ δὲ τῆς ῥίζης φλοιὸς συνεψηθεὶς ὕδατι καὶ 2
ποθεὶς κοιλίαν λύει καὶ πλατεῖαν ἕλμινθα ἐκτινάσσει καὶ τοῖς
ἀκόνιτον πεπωκόσι βοηθεῖ. τὰ δὲ φύλλα λεῖα σὺν ἐλαίῳ κατα-
πλασθέντα πυρίκαυτα ἰᾶται, ἑψηθέντα δὲ ἐν ὀμβρίῳ ὕδατι σὺν

8 SIM. [Hipp.] π. δ. II 55 (562); Diphil. (Ath. II 51f.); Pl. XXIII 134sq. (e S. N.), unde Garg. M. 196, 14 R — Diphil. l. s. Pl. XXIII 135 — D. eup. I 85 (136) Pl. 136 cf. Gal. XII 910. 928. Orib. V 143. Act. VIII 42. 43.

8 EXC. Gal. XII 78 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.) cf. Gal. VI 584.

15 TEST. Gal. XIX 135: *τὰ ἐκ τῆς συκαμίνου μόρα τὰ ἄωρα ξηρανθέντα καὶ κοπέντα τοῖς ὄψοις ἐπιπάττεται καθάπερ καὶ ὁ κυρίως ὀνομαζόμενος ῥοῦς, ὡς καὶ ὁ Διοσκουρίδης ἐν τῷ πρώτῳ περὶ ὕλης λέγει.*

15 SIM. Pl. XXIII 135 — Pl. 140 — Diph. l. s. D. eup. II 66 (281) Pl. 135. Alex. Tr. II 594 — Pl. 135 eup. II 137 (327) — Pl. 140 eup. I 178 (186) — Pl. 135 — Pl. 135 eup. II 121 (319) — Pl. 140 eup. I 69 (127) — Pl. 139 eup. I 71 (129) — eup. I 149 (170) — Pl. 135. 140.

1 *ἔστι κακοστόμαχα* Di *πινόμενα* HDi: *καταπινόμενα* F (*κατα* e dittogr. natum) 3 *καέντα* Di *ἀξουγγίου* Di 4 *ἐπιχρισθέντα* Di 5 *δὲ καὶ* H *κελύφη* om. F *καὶ* om. F 6 *τὰ γλαυκώ*(*ό* H)*φθαλμα τῶν παιδίων* Q *ἐπὶ* addidi post *παιδίων* habet *μελαίνει τὰς κόρας* Di *τὰς κόρας*] *τοὺς ὀφθαλμοὺς* Q (i. e. gloss. in text. recept.) *τρίχα* F 7 *ἐπιβρεχομένου* Di

8 num. cap. *ρκϛ̄* QDi: *ρλη′* Dl *ἡ συκάμι* (*ν* superscr.) F (*μορέα σικαμι* (*ν* superscr.) ind.): *ἢ συκαμινέα* reliqui: *quam multi sicaminum dicunt* Dl, cf. Diph. l. s. *οὗ*] *ἧς* Di 9 *λυτικὸς κοιλίας*] cf. Dioclis frg. 140 *κακοστόμαχος*] *εὐστόμαχα* Diph. 14 *σχιστῆς*] *λευκῆς* F *καὶ κυπέρου* om. HDi: *quiperu* Dl 16 *μῶρα* F 18 *ἕλμιν* HDi

ἀμπέλου καὶ συκῆς μελαίνης φύλλοις βάπτει τρίχας. ὁ δὲ χυλὸς τῶν φύλλων φαλαγγιοδήκτοις ἀρήγει ποθεὶς κυάθου πλῆθος, τοῦ φλοιοῦ δὲ καὶ τῶν φύλλων τὸ ἀφέψημα διάκλυσμα εὔθετόν ἐστιν ὀδονταλγίας. ὀπίζεται δὲ περὶ τὸν πυραμητὸν τῆς ῥίζης περιορυχθείσης καὶ ἐκκοπείσης· εὑρίσκεται γὰρ τῇ ὑστεραίᾳ ἐπίπαγός τις, ὃς πρός τε ὀδονταλγίας ποιεῖ καὶ φύματα διαφορεῖ καὶ κοιλίαν καθαίρει.

127 συκόμορον· ἔνιοι δὲ καὶ τοῦτο συκάμινον καλοῦσι. καλεῖται δὲ καὶ ὁ ἀπ᾿ αὐτοῦ καρπὸς συκόμορον διὰ τὸ ἄστομον τῆς γεύσεως. δένδρον δέ ἐστι μέγα, ὅμοιον συκῇ, πολύοπον σφόδρα, τοῖς φύλλοις ἐοικὸς μορέᾳ. φέρει δὲ καρπὸν τρὶς ἢ τετράκις τοῦ ἔτους, οὐκ ἀπὸ τῶν ἀκρεμόνων ὡς ἐπὶ τῆς συκῆς, ἀπὸ δὲ τοῦ στελέχους, ὅμοιον ἐρινεῷ, γλυκύτερον ὀλύνθου, οὐκ ἔχοντα δὲ κεγχραμίδας μηδὲ πεπαινόμενον δίχα τοῦ ἐπι-
2 κνισθῆναι ὄνυχι ἢ σιδήρῳ. φύεται δὲ πλεῖστον ἐν Καρίᾳ καὶ ἐν Ῥόδῳ καὶ ἐν τοῖς οὐ πολυπύροις τόποις. βοηθεῖ δὲ ἐν ταῖς σιτοενδείαις διὰ τὸ διηνεκὲς τοῦ καρποῦ· ἔστι δὲ εὐκοίλιος ὁ καρπός, ἄτροφος, κακοστόμαχος. ὀπίζεται δὲ τὸ δένδρον πρὶν καρποφορεῖν ἔαρος τοῦ φλοιοῦ ἐξ ἐπιπολῆς λίθῳ θλωμένου· βαθύτερον γὰρ θλασθεὶς οὐδὲν ἀνίησι. συλλέγεται δὲ σπόγγῳ

---

8 SIM. Theophr. h. pl. IV 2, 1sq. (unde Pl. XIII 56sq.); de caus. pl. V 2, 4; Strab. XVII 823; Diod. I 34; Ath. II 51bc; cf. Isid. XVII 7, 20.
8 EXC. Orib. XII s. v. (*συκόμορον — προειρημένοις*); Paul. Aeg. VII 3 s. v. cf. Gal. VI 616 (unde Aet. I s. v.).

---

3 *ἀπόζεμα* Di 4 *ὀδονταλγίαις* libri (ut videtur): correxi 6 *τις* om. F *ὅστις* Q 7 in fine cap. Samb. aliena e cod. nescio quo add. *δοκεῖ δὲ εἶναι καί τινα μόρα ἄγρια παραπλήσια τῷ χαμαιβάτῳ, στυπτικώτερα δέ, ὧν ὁ ὀπὸς ἧττον τερηδονίζεται, κατάντλημα φλεγμονῶν καὶ ἐπουλωτικὸν τοῦ φάρυγγος, πληγῶν σαρκωτικόν. φύεται ἐν πολυσκίοις καὶ ψυχροῖς τόποις*
8 num. cap. *ρκζ* QDi: *ρλθʹ* Dl tit. *περὶ συκομορέας* F: *περὶ συκομόρου* HDi *συκόμωρον* Orib. 9 *ἄστομ᾿* F: *ἄτονον* reliqui, ad rem cf. Gal. VI 616 10 *δέ* om. H *πολύκομον* (*κομον* in ras.) HDi: *πολύοπον δὲ τὸ δένδρον σφόδρα ἐστί* Theophr. l. s. 11 *φέρον δὲ* Orib. *γʹ ἢ δʹ* Orib.F: *καὶ τοῦθ᾿ οἱ μὲν τρὶς οἱ δὲ πλεονάκις φασὶ γίνεσθαι* 12 *ἢ*] *καὶ* Di 13 *ἐρίνῳ* F, ad rem cf. Theophr. l. s. de caus. pl. V 2, 4 *ὀλύνθων* Di 14 *οὐκ*] *μὴ* Orib. 15 *ἢ* om. F post *Καρίᾳ* gloss. in text. recep. Orib. *ἐρινεὸς ἀρσενικῶς ἡ ἀγρία συκῆ παρὰ τὸ ἐριστικὸν εἶναι τὸ δένδρον καὶ τοῖς λίθοις καὶ πέτραις ἐπαναβλαστάνειν* (II 746 D.) 16 *ἐν* (alt.) om. Orib.Di *οὐ* om. F *πολυπόροις* Orib. *δὲ*] *γὰρ* Orib. 17 *σιτοενδείαις* Q: *σιτοδείαις* Orib.Di 19 *καρποφορῆσαι ἔαρος* Orib.: *καρποφορήσει νεαρόν* HDi: *καρποφορεῖν ἔαρος πρῶτον* Sar.; ad rem cf. quae Pl. XVI 182 de moro tradit *φλοῦ* Orib. *ἐπιβολῆς* Orib. 20 *οὐδὲ* Orib. *δὲ* om. Orib.

ἢ ἐρίῳ τὸ δάκρυον, καὶ ξηρανθὲν καὶ ἀναπλασθὲν ἐν ἀγγείῳ ὀστρακίνῳ ἀποτίθεται.

δύναμιν δὲ ἔχει ὁ ὀπὸς μαλακτικήν, κολλητικὴν τραυμάτων, 3
διαφορητικὴν τῶν δυσπέπτων. πίνεται δὲ καὶ συγχρίεται πρὸς ἑρπετῶν δήγματα καὶ σπλῆνας ἐσκιρρωμένους καὶ στομάχου ἀλγήματα καὶ φρικία· ταχέως δὲ τερηδονίζεται ὁ ὀπός.

γίνεται δὲ καὶ ἐν Κύπρῳ εἴδει διαφέρον· πτελέᾳ γὰρ οὐ συκαμίνῳ τὰ φύλλα ἔοικε, τὸν δὲ καρπὸν ⟨φέρει⟩ κατὰ τὸ μέγεθος κοκκυμήλων καὶ γλυκύτερον. τὰ δὲ ἄλλα πάντα ὅμοια τοῖς προειρημένοις.

128 σῦκα πέπειρα τὰ ἁπαλὰ κακοστόμαχα, κοιλίας λυτικὰ — ῥᾳδίως δὲ ὁ ἐξ αὐτῶν ῥευματισμὸς ἵσταται —, ἐξανθημάτων καὶ ἱδρώτων προκλητικά, ἄδιψα δὲ καὶ σβεστικὰ θερμασίας. τὰ δὲ ξηρὰ τρόφιμα, θερμαντικά, διψητικώτερα, εὐκοίλια, ἄθετα δὲ ῥευματισμοῖς στομάχου καὶ κοιλίας, βρόγχῳ δὲ καὶ ἀρτηρίᾳ καὶ κύστει καὶ νεφροῖς εὔθετα καὶ τοῖς ἐκ μακρονοσίας κακοχροοῦσι καὶ ἀσθματικοῖς καὶ ἐπιληπτικοῖς καὶ ὑδρωπικοῖς· ἀνακαθαίρει δὲ καὶ τὰ ἐν θώρακι ἀποζεσθέντα σὺν ὑσσώπῳ καὶ ποθέντα, ἁρμόζει δὲ καὶ παλαιαῖς βηξὶ καὶ τοῖς περὶ πνεύμονα χρονίοις πάθεσι, κοιλίαν τε μαλάσσει κοπέντα
μετὰ νίτρου καὶ κνήκου καὶ ἐσθιόμενα. τὸ δὲ ἀφέψημα 2

3 SIM. Pl. XXIII 134 (qui moro attribuit quae D. de sycomoro tradit); D. eup. II 114 (315) eup. II 24 (236).

7 SIM. Theophr. h. pl. IV 2, 3 (unde Pl. XIII 58).

11 SIM. [Hipp.] π. δ. II 55 (VI 564); Mnesith. (Ath. III 80c); Phylot. (Ath. III 79a); Diph. (Ath. III 80b); Ruf. (Orib. I 50) cf. Ruf. frg. 471 (546 R); Pl. XXIII 117 (e S. N.), unde Garg. M. 49 cf. Isid. XVII 7, 17 — Diphil. l. s. — Ruf. 546 R — Pl. XXIII 120 — D. eup. II 1 (226) — Pl. l. s. 121 — D. eup. I 87 (137) 90 (138) Pl. l. s. 121 — Pl. 121 — eup. II 102 (304) Pl. 121; Ruf. 11 R. — Pl. 120 eup. I 105 (146) — Pl. 121 — Pl. 122 — eup. II 63 (276) Pl. 122 — eup. II 37 (250) Pl. 122 — eup. II 31 (243) Pl. 122 — eup. II 35 (249) Pl. 122 — Pl. 123.

11 EXC. Gal. XII 132 (unde Paul. Aeg. VII 3 s. v.) cf. VI 570 (unde Garg. M. 49); Sim. S. s. v. (e Gal.).

2 *ὀστρακίνῳ ἀποτίθεται ἀγγείῳ* Orib. 3 *δύναμιν — ὀπός* om. Orib. 4 *τῶν δυσπέπτων*] *ὄγκων* Paul. Aeg. l. s. 5 *σπλῆνας* post *ἐσκιρρ.* colloc. Di, at cf. Paul. Aeg. l. s. *στομάχου τε* (om. *καί*) Di, at cf. Paul. Aeg. l. s. 6 *φρικίας* H: *φρικώδη* Paul. Aeg. l. s., cf. D. IV 14 7 *γενᾶται* (sic) Orib. *διαφέρουσα* F: *διαφέρων* Orib. *οὖσα συκαμίνῳ* QDi 8 *φέρει* addidi *τό* om. Orib. 9 *κοκκυμήλω* Orib.

11 num. cap. *ρκη* QDi: *ρμ′* Dl 12 *ὁ* om. vulgo 15 *βρόχῳ* HDi 18 *ἀποζεσθέντα* Di: *ἀναζεσθέντα* reliqui 20 *κοπέντα* om. H 21 *κνήκου*] *κνίκου* F: *nicu* (i. e.) cnicu Dl: *κρόκου* vulgo: correxi coll. D. IV 188

αὐτῶν ταῖς περὶ ἀρτηρίαν καὶ παρίσθμια φλεγμοναῖς ἁρμόζει
εἰς ἀναγαργάρισμα, καὶ εἰς τὰς ὠμηλύσεις δὲ μείγνυται καὶ εἰς
γυναικείας πυρίας μετὰ τήλεως ἢ πτισάνης, σὺν πηγάνῳ δὲ
στρόφων ἐστὶν ἔγκλυσμα. καταπλαττόμενα δὲ ἑφθὰ λεῖα δια-
φορεῖ σκληρίας, παρωτίδας, δοθιῆνας μαλάττει, φύγεθλα πε-
παίνει, καὶ μᾶλλον σὺν ἴριδι ἢ νίτρῳ ἢ ἀσβέστῳ· καὶ ὠμὰ δὲ
κοπέντα σὺν οἷς εἴρηται τὰ αὐτὰ δρᾷ. σὺν σιδίῳ δὲ ῥόας
πτερύγια ἀνακαθαίρει, μετὰ χαλκάνθου δὲ τὰ ἐν κνήμαις δυσ-
3 αλθῆ καὶ ῥευματικὰ καὶ κακοήθη θεραπεύει. ἑψηθέντα δὲ
ἐν οἴνῳ καὶ μιγέντα ἀψινθίῳ καὶ κριθίνῳ ἀλεύρῳ ὑδρωπικοὺς
ὠφελεῖ καταπλασθέντα· κεκαυμένα δὲ καὶ μιγέντα κηρωτῇ χι-
μέτλας ἰᾶται, λεῖα δὲ ὠμὰ σὺν νάπυι ὑγρῷ ἀναλημφθέντα καὶ
ἐντεθέντα ἐν ὠσὶν ἤχους καὶ κνησμοὺς θεραπεύει.

ὁ δὲ ὀπὸς τῆς ἀγρίας καὶ τῆς ἡμέρου συκῆς πηκτικός ἐστι
γάλακτος ὥσπερ ἡ πιτύα· λύει δὲ καὶ τὸ πεπηγὸς ὥσπερ καὶ
τὸ ὄξος, ἑλκωτικός τε σωμάτων καὶ ἀναστομωτικός, κοιλίας τε
λυτικὸς καὶ ὑστέρας ἀναχαλαστικὸς μετὰ ἀμύλου λείου πινό-
μενος, καὶ ἐμμήνων ἀγωγὸς προστεθεὶς σὺν ᾠοῦ λεκίθῳ ἢ κηρῷ
Τυρρηνικῷ, ποδαγρικοῖς τε καταπλάσμασι χρήσιμος μετὰ τη-
4 λίνου ἀλεύρου καὶ ὄξους. σμήχει δὲ καὶ λέπρας καὶ λειχῆνας,
ἐφήλεις, ἀλφούς, ψώρας σὺν ἀλφίτῳ, καὶ σκορπιοπλήκτοις κατὰ
τῆς πληγῆς ἐπισταζόμενος καὶ ἰοβόλοις καὶ κυνοδήκτοις βοηθεῖ,

1 SIM. Pl. 122 — D. eup. II 45 (257) Pl. 123 — eup. I 153 (172) — Pl. 122. 123 — eup. I 144 (166) Pl. 122 — eup. I 190 (194) Pl. 123 — eup. I 185 (192) Pl. 123 — eup. II 65 (280) Pl. 123. — D. eup. I 181 (190) — eup. I 63 (124) 64 (126) — Pl. XXIII 117. 126 — D. eup. II 76 (288) Pl. 117. 126 — D. eup. I 235 (216) Pl. l. s. 117. 126.

20 SIM. Pl. XXIII 117. 126 D. eup. I 118 (151) — Pl. 118. 126 eup. II 122 (321) — Pl. l. s. 126 eup. II 113 (314) — Pl. l. s. 127 eup. I 71 (129) — Pl. l. s. 118 eup. I 176 (185) — Pl. 126 — Pl. 127 — Pl. 126.

3 *γυναικείους* HDi: compend. scr. F *δὲ ἀφεψημένα* HDi 5 fort. *σκληρίας καὶ μαλάσσει* HDi 8 *χαλκάνθου* FDl: *καλαμίνθης* Serap., at cf. Pl. XXIII 123 *tibiarum ulceribus cum aeris flore* (sc. prosunt) 9 *ῥευματικὰ δυσαλθῆ* Di: *ῥήγματα* coni. Serap.: fort. *καὶ κακοήθη καὶ ῥευματικὰ* coll. Dl *ἰᾶται* Di 11 *καὶ* om. Di 12 *νάπυι*] *νίτρῳ* non recte coni. Marc. cf. D. eup. I 63 (124) *σῦκον λεῖον ἀναλημφθὲν σὺν σινήπει καὶ νίτρῳ* (sc. *ἤχους θεραπεύει*) 13 *κνησμοὺς*] *συρισμοὺς* coni. Marc.: *pruriginem* Dl 14 nov. cap. (*ρμα'*) inc. Dl 15 *καὶ* (alt.) om. Di 16 ad *ἀναστομωτικός* cf. Gal. XI 751 17 *ἀμυγδάλου* libri: *ἀμύλου* Dl: corr. Samb. coll. Pl. XXIII 117 *siccatur* (sc. fici sucus) *ad aperienda ulcera, cienda menstrua adpositu cum luteo ovi aut potu cum amylo* 19 *χρήσιμον* Q *τηλίνου*] *σηταν́ιου* D. eup. I 235 (216): *cum farina Graeci feni* Pl. l. s. 20 *καὶ* (pr.) om. HDi 21 *ψώρας ἀχῶρας* HDi 22 *τιθέμενος* (*ἐπισταζό* superscr.) Di

καὶ ὀδονταλγίας ὠφελεῖ ἐρίῳ ἀναλημφθεὶς καὶ εἰς τὸ βρῶμα ἐντιθέμενος, καὶ μυρμηκίαν αἴρει στέατι περιπλασθείσης τῆς ἐν κύκλῳ σαρκός. τὰ αὐτὰ δὲ καὶ ὁ χυλὸς ποιεῖ τῶν ἀπὸ τῆς ἀγρίας συκῆς ἁπαλῶν κλάδων, ἡνίκα ἂν ἔγκυοι ὦσι, μηδέπω δὲ τοῦ ὀφθαλμοῦ βεβλαστηκότος. κοπτόμενοι δὲ ἐκθλίβονται, καὶ ὁ χυλὸς ξηραινόμενος ἐν σκιᾷ ἀποτίθεται. λαμβάνεται δὲ καὶ εἰς ἑλκωτικὰς δυνάμεις ὅ τε ὀπὸς καὶ ὁ χυλός. αἱ δὲ κράδαι 5 ⟨ἁπαλαὶ⟩ βοείοις κρέασι συγκαθεψόμεναι εὐέψητα ταῦτα ποιοῦσι, καὶ τὸ γάλα δὲ λυτικώτερον ἐν τῇ ἑψήσει κινούμενον αὐταῖς ἀντὶ σπάθης παρασκευάζουσιν.

οἱ δὲ ὄλυνθοι, ὑπὸ δέ τινων ἐρινεοὶ καλούμενοι, ἑφθοὶ καταπλασθέντες πᾶσαν συστροφὴν καὶ χοιράδας ἐκμαλάσσουσιν, ὠμοὶ δὲ μυρμηκίας καὶ θύμους σὺν νίτρῳ καὶ ἀλεύρῳ καταπλασθέντες αἴρουσι. καὶ τὰ φύλλα δὲ τὰ αὐτὰ δύναται· σὺν ὄξει δὲ καὶ ἁλσὶ καταπλασθέντα ἀχῶρας, πίτυρα, ἐπινυκτίδας ἰᾶται. παρατρίβεται δὲ αὐτοῖς καὶ τὰ συκώδη καὶ τραχέα τῶν βλεφάρων, καὶ λεῦκαι δὲ καταπλάσσονται τοῖς τῆς μελαίνης συκῆς φύλλοις ἢ τοῖς κλάδοις· ποιεῖ καὶ πρὸς τὰ κυνόδηκτα σὺν μέλιτι καὶ πρὸς τὰ κηρία. ἀνάγουσι δὲ οἱ ὄλυνθοι καὶ 6 ὀστᾶ σὺν μήκωνος ἀγρίας φύλλοις, δοθιῆνάς τε σὺν κηρῷ διαλύουσι, σὺν ὀρόβῳ δὲ καὶ οἴνῳ καταπλασθέντες πρὸς μυογαλῆς δήγματα καὶ σκολοπένδρας ἁρμόζουσι.

γίνεται δὲ καὶ κονία ἀγρίας συκῆς καὶ ἡμέρου, καέντων τῶν κλάδων, ἐκ τῆς τέφρας· πολύβροχον δὲ αὐτὴν δεῖ ποιεῖν καὶ παλαιοῦν. ἁρμόζει δὲ εἰς τὰ καυστικὰ καὶ γαγγραινούμενα· ἀνακαθαίρει δὲ καὶ ἀναλίσκει τὰ περισσά. χρῆσθαι δὲ αὐτῇ δεῖ σπόγγον βρέχοντας συνεχῶς καὶ ἐπιτιθέντας, ἐφ' ὧν δὲ καὶ

---

11 SIM. Pl. XXIII 127 D. eup. I 154 (173) — eup. I 176 (185) — Pl. l. s. 127 — D. eup. I 47 (115 ubi ὀλύνθου pro συκῆς corrige) — eup. I 118 (151) — Pl. 128 eup. II 113 (314) — Pl. 128 eup. I 172 (183) — Pl. 128 eup. I 166 (179) — eup. I 144 (166) — Pl. 129 eup. II 123 (322).

11 EXC. Gal. XII 88.

23 SIM. Pl. XXIII 124 sq. D. eup. I 211 (204) II 47 (259) II 161 (336) II 121 (320).

---

4 μήπω HDi δὲ om. HDi 7 κράδοι HDi 8 ἁπαλαὶ addidi καθεψόμεναι HDi 10 ἀντὶ σπάθης αὐταῖς HDi 11 mg. add. ρκη περὶ ὀλύνθων Di: cap. ρμβ' inc. Dl ὄλυνθοι (ἄγριοι superscr.) H 12 καὶ om. H 14 δύνανται F 15 καταπλασθέντες QDi: corr. Sarac. καὶ ἐπινυκτίδας Di 16 ἰῶνται Di 18 τοῖς κράδοις FDi: fort. ταῖς κράδαις coll. D. eup. I 118 (151) συκῆς μελαίνης κράδαι ποιεῖ δὲ καὶ Spr. 21 μυογαλῆς F: μυγαλῆς reliqui cf. D. II 68 23 cap. ρμγ' inc. Dl 24 κλάδων libri: fort. κραδῶν 25 δὲ καὶ HDi 26 δὲ (pr.)] γὰρ Di

ἐγκλύζοντας, ὡς ἐπὶ δυσεντερικῶν καὶ παλαιῶν ῥευμάτων καὶ κόλπων ὑπονόμων καὶ μεγάλων· καθαίρει γὰρ καὶ κολλᾷ καὶ
7 σαρκοῖ καὶ συμφύει ἐοικότως τοῖς ἐναίμοις. καὶ ποτίζεται δὲ πρὸς αἵματος ἐκθρόμβωσιν καὶ πτώματα, ῥήγματα, σπάσματα, ⟨αὐ⟩τῆς σὺν ὕδατος ἑνὶ κυάθῳ προσφάτου διυλισμένης καὶ ἐλαίου μιγέντος ὀλίγου, κοιλιακοῖς δὲ καὶ δυσεντερικοῖς καθ᾽ ἑαυτὴν κυάθου πλῆθος βοηθεῖ διδομένη, καὶ τοῖς νευρικοῖς δὲ καὶ σπαστικοῖς σύγχρισμα ἁρμόδιον σὺν οἴνῳ ἱδρῶτας κινοῦσα, καὶ πρὸς γύψου πόσιν καὶ φαλαγγίων δήγματα πίνεται. παρέχουσι δὲ τὰ αὐτὰ καὶ αἱ λοιπαὶ κονίαι, μάλιστα δὲ ἡ δρυίνη, στυπτικαὶ δέ εἰσι πᾶσαι.

129 περσαία δένδρον ἐστὶν ἐν Αἰγύπτῳ, καρπὸν φέρον ἐδώδιμον, εὐστόμαχον, ἐφ᾽ οὗ καὶ τὰ λεγόμενα κρανοκόλαπτα φαλάγγια εὑρίσκεται, μάλιστα δὲ ἐν τῇ Θηβαΐδι.

δύναμιν δὲ ἔχει τὰ φύλλα λεῖα ἐπιπαττόμενα ξηρὰ αἱμορραγίας ἱστᾶν. τοῦτο δὲ ἱστόρησάν τινες ἐν Περσίδι ἀναιρετικὸν εἶναι, μετατεθὲν δὲ εἰς Αἴγυπτον ἀλλοιωθῆναι καὶ ἐδώδιμον γενέσθαι.

---

12 SIM. Theophr. h. pl. IV 2, 5 III 3, 5. Pl. XV 45 sq. XIII 63; Strab. XVII 822. 823; Diod. I 34, Plut. de Is. et Osir. 68; Paus. V 14, 3; schol. Nic. Th. 764; Al. 101 cf. Orib. I 581 (Dar.).

12 EXC. Orib. XII s. v. (*περσαία — αἰγύπτῳ*); Gal. XII 97 (unde Aet. I s. v. aliis aliunde additis. Paul. Aeg. VII 3 s. v.) Gal. VI 617.

---

1 *ἐγκλύζονται* Di 5 *σὺν ὕδατος κυάθῳ προσφάτως διυλισμένη* Di: *σὺν ὕδατι ἴσα* (= *ὕδατος ᾱ*) *κυάθῳ τῆς προσφάτου* (*προσφάτως* H) *διυλισμένης* (*διυλυσμένης* F) Q: *datur cyato uno* Dl: correxi 7 *βοηθεῖ διδομένη* om. Q 8 *σπαστικοῖς* F: *σπάσμασι* reliqui

12 num. cap. *ρκθ* QDi: *ρμα´* Dl *περσαία* F (*περσέα* ind.): *περσέα* reliqui 13 *κρανιόκομα* F: *craniocolla* Dl, cf. schol. Nic. Th. 764 15 *ἐπιπλαττόμενα* HDi *αἱμορραγίαν* HDi 18 in fine add. Di cap. de Iberide cf. II 174 subscr. *τέλος τοῦ πρώτου λόγου* H: *πεδακίου διοσκουρίδου ἀναζαρβέως περὶ ὕλης ἰατρικῆς λόγος πρῶτος* F

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ

Ἐν μὲν τῷ πρὸ τούτου βιβλίῳ, φίλτατε Ἄρειε, ὄντι πρώτῳ τῶν περὶ ὕλης ⟨ἰατρικῆς⟩ ἡμῖν συντεταγμένων, παρεδώκαμεν τὸν περὶ ἀρωμάτων καὶ ἐλαίου καὶ μύρων καὶ δένδρων καὶ τῶν γεννωμένων ἐξ αὐτῶν ὀπῶν τεκαὶ δακρύων καὶ καρπῶν λόγον, ἐν δὲ τούτῳ δευτέρῳ ὄντι ἐπελευσόμεθα περί τε ζῴων καὶ μέλιτος καὶ γάλακτος καὶ στέατος καὶ τῶν λεγομένων σιτηρίων, ἔτι δὲ λαχάνων, ὑποτάξαντες αὐτοῖς ὅσα δριμείᾳ τῶν βοτανικῶν κέχρηται δυνάμει διὰ τὸ συγγένειαν ἔχειν αὐτά, ὥσπερ τὰ σκόρδα καὶ τὰ κρόμυα καὶ νᾶπυ, ἵνα μὴ διαζευχθῇ τῶν ὁμογενῶν ἡ δύναμις.

1 *ἐχῖνος θαλάσσιος εὐστόμαχος, εὐκοίλιος, οὐρητικός, οὗ τὸ ὄστρακον ὠμὸν μείγνυται χρησίμως τοῖς πρὸς τὰς ψώρας ἁρμόζουσι σμήγμασι, κεκαυμένον δὲ καθαίρει τὰ ῥυπαρὰ ἕλκη καὶ καταστέλλει τὰ ὑπερσαρκοῦντα.*

2 *καὶ τοῦ χερσαίου δὲ ἐχίνου τὸ δέρμα καὲν πρὸς ἀλωπεκίας μετὰ πίσσης ὑγρᾶς καταχριόμενον ἁρμόζει. ἡ δὲ σὰρξ*

---

11 SIM. Diph. (Ath. III 91a); Ael. n. a. XIV 4 — Pl. XXXII 127 D. eup. I 186 (192) Ael. l. s. — eup. I 189 (193).

13 EXC. Gal. XII 355: *ἔνιοι γοῦν αὐτῷ πρός τε τὰ ὑπερσαρκήσαντα καὶ τὰ ῥυπαρὰ τῶν ἑλκῶν ἐχρήσαντο.* cf. Aet. I s. v. Paul. Aeg. VII 3 s. v.

15 SIM. Asclep. (Gal. XII 413); Ael. n. a. XIV 4; D. eup. I 95 (140); II 102 (303); II 63 (277); I 229 (212).

15 EXC. Gal. XII 321: *ἔγραψαν δὲ καὶ ἄλλων ζῴων ἔνιοι σάρκας ὠφελεῖν ἐσθιομένας τε καὶ κατὰ πεπονθότων μερῶν ἐπιτιθεμένας, οἷον τὴν τοῦ χερσαίου ἐχίνου σκελετευθεῖσαν, εἰ ποθείη, ἐλεφαντιῶσιν καὶ καχέκταις καὶ σπασμώδεσιν καὶ νεφριτικοῖς, ἔτι τε τοῖς τὸν ἀνὰ σάρκα προσαγορευόμενον ὕδερον ἔχουσιν.*

---

1 tit. *πεδακίου διοσκουρίδου ἀναζαρβέως περὶ ὕλης ἰατρικῆς λόγος δεύτερος* QDi 2 *μὲν* om. Di *πρὸ τούτου*] *πρώτῳ* HDi *ἰατρικῆς* add. Treu 8 *δριμείᾳ* F: *δριμέα* reliqui 9 *σκόροδα* HDi 10 *κρόμμυα* HDi

11 num. cap. *ρλ* QDi tit. *περὶ ἐχίνου* F: *περὶ ἐχίνου θαλασσίου* reliqui *θαλάττιος* HDi 12 post *χρησίμως* add. *ὀπτηθὲν* Di: *cuius corium crudum miscetur medicaminibus* Dl 13 *μίγμασι* Q

15 num. cap. *ρλα* QDi tit. *περὶ ἐχίνου* Q: *περὶ ἐχίνου χερσαίου* Di

σκελετευθεῖσα καὶ πινομένη μετὰ ὀξυμέλιτος βοηθεῖ νεφριτικοῖς καὶ τοῖς ὑπὸ σάρκα ὕδρωψι καὶ σπασμώδεσιν, ἐλεφαντιῶσι, καχέκταις· ξηραίνει δὲ καὶ τοὺς περὶ τὰ σπλάγχνα ῥευματισμούς. καὶ τὸ ἧπαρ δὲ αὐτοῦ ξηρανθὲν ὑπ' ὀστράκου ἡλιοκαύστου καὶ ἀποτεθὲν πρὸς τὰ αὐτὰ ὁμοίως διδόμενον ἁρμόζει.

3 ἱππόκαμπος θαλάσσιόν ἐστι ζῷον μικρόν, οὗ καέντος ἀναλημφθεῖσα ἡ τέφρα πίσσῃ ὑγρᾷ ἢ ὀξυγγίῳ ἢ ἀμαρακίνῳ μύρῳ καὶ καταχρισθεῖσα ἀλωπεκίας δασύνει.

4 πορφύρα καεῖσα δύναμιν ἔχει ξηραντικήν, σμηκτικὴν ὀδόντων, ὑπερσαρκωμάτων δὲ κατασταλτικήν, ἀνακαθαρτικὴν ἑλκῶν καὶ ἀπουλωτικήν.

τὰ δὲ αὐτὰ ποιοῦσι καὶ οἱ κήρυκες καέντες, καυστικώτεροι ὄντες, ἐὰν δέ τις ἅλων πληρώσας αὐτοὺς ἐν ὠμῇ χύτρᾳ πάλιν καύσῃ, ἁρμόζουσι πρὸς σμῆξιν ὀδόντων καὶ κατακαύματα ἐπιπλασθέντες. ἐᾶν δὲ δεῖ ἀποστρακοῦσθαι τὸ φάρμακον· ἀπου-
2 λωθέντος γὰρ τοῦ κατακαύματος αὐτόματον ἀποπίπτει. γίνεται δὲ καὶ ἄσβεστος ἐξ αὐτῶν, ὡς ὑποδείξομεν ἐν τῷ περὶ ἀσβέστου λόγῳ (V 132).

κιόνια δὲ καλεῖται τὰ ἐπὶ τῶν πορφυρῶν καὶ κηρύκων μέσα, περὶ ἃ ἡ ἕλιξ ἐστὶ τοῦ ὀστράκου. καίεται δὲ ὁμοίως,

---

7 SIM. Zop. (Orib. II 578); D. eup. I 95 (140); Pl. XXXII 67; Archig. (Gal. XII 406); Asclep. (Gal. XII 413).

1 EXC. Gal. XII 362: *καὶ τὸν ἱππόκαμπον δὲ τὸ θαλάττιον ζῷον ὅλον καυθὲν ἔγραψάν τινες ἀλωπεκίας ὠφελεῖν . . . μειγνύουσι δ' αὐτὴν τινὲς μὲν ἀμαρακίνῳ μύρῳ, τινὲς δ' ὑγρᾷ πίσσῃ, τινὲς δὲ παλαιῷ στέατι ὑός* (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

10 SIM. Pl. XXXII 68.

10 EXC. Gal. XII 344.

13 SIM. Zop. (Orib. II 579) Pl. XXXII 98 — Pl. l. s. 82 D. eup. I 76 (132) — eup. I 178 (187).

13 EXC. cf. Gal. XII 344.

---

4 *ἐπ' ὀστράκου ἡλιοκαοῦς* Di cf. Ael. l. s. 6 *ἁρμόζει διδόμενον* Di
7 num. cap. *ρλβ* QDi tit. *περὶ ἱπποκάμπου* QDi
10 num. cap. *ρλγ* QDi tit. *περὶ πορφύρας* QDi 11 *ὑπερσαρκωμάτων δὲ κατασταλτικήν* om. Q, at cf. Dl *pluri carni id est vulneri incongrua creberit* 12 *καὶ* om. HDi post *ἀπουλωτικήν* cap. 7 non recte transpos. Samb. 13 tit. *περὶ κηρύκων* (cap. num. om.) Di *τὰ αὐτὰ δὲ* Di *εἰσὶ δὲ μᾶλλον καυστικοί* Di 14 *αὐτοὺς πληρώσας* Di *πάλιν* om. Di 16 *μετὰ δὲ τὴν ἀπούλωσιν τοῦ τραύματος* Di 17 *αὐτόματον*] *αὐτὸ* Di 20 *ἰόνια* HDi: *ἰκίονα* F (e ΛΟΓΩΙΚΙΟΝΙΑ in archet. scripto natum): *ρλγ΄ κιόνια* F (ind.) *κηρύκων καὶ πορφυρῶν* HDi 21 *ἃ*] *οἷς* HDi: *οἷς ἃ* (var. lect.) F

δύναμιν ἔχοντα καυστικωτέραν τῶν κηρύκων καὶ τῆς πορφύρας διὰ τὸ ἐπιπιέζειν αὐτῶν τὴν φύσιν. αἱ δὲ σάρκες τῶν κηρύκων εὔστομοι καὶ εὐστόμαχοι, κοιλίαν δὲ οὐ μαλάσσουσιν.

5 *μύακες* διαφέρουσιν οἱ Ποντικοί. καέντες δὲ τὸ αὐτὸ δρῶσι τοῖς κήρυξιν· ἰδιαίτερον δὲ πλυθέντες ὡς μόλιβδος χρησιμεύουσιν εἰς τὰ ὀφθαλμικὰ σὺν μέλιτι, ἐκτήκοντες παχύτητας βλεφάρων καὶ σμήχοντες λευκώματα καὶ τὰ ἄλλως ἐπισκοτοῦντα ταῖς κόραις. ἡ δὲ σὰρξ αὐτῶν κυνοδήκτοις ὠφελίμως ἐπιτίθεται.

6 *τελλῖναι* νεαραὶ εὐκοίλιοι, μάλιστα δὲ ὁ ἐξ αὐτῶν ζωμός. ταριχηραὶ δὲ καεῖσαι καὶ τριβεῖσαι λεῖαι καὶ μετὰ κεδρίας ἐπισταζόμεναι τὰς ἐκτιλθείσας ἐκ τῶν βλεφάρων τρίχας οὐκ ἐῶσιν αὖθις φυῆναι.

καὶ ὁ ἐκ τῶν *χημῶν* δὲ καὶ ἐκ τῶν ἄλλων κογχαρίων ζωμὸς κινεῖ κοιλίαν ἑψόμενος μετὰ ὀλίγου ὕδατος. λαμβάνεται δὲ μετ' οἴνου.

7 *πορφύρας πώματα* σὺν ἐλαίῳ ἑψηθέντα καὶ ἐπαλειφόμενα τρίχας ῥεούσας ἵστησι, ποθέντα δὲ σὺν ὄξει σπλῆνα

---

2 SIM. Xenocr. (Orib. I 142).

4 SIM. Pl. XXXII 98, D. eup. II 113 (314) cf. Hic. (Ath. III 87c); Diph. (Ath. 90d).

4 EXC. Gal. XII 322: *τῶν δὲ μυάκων* (sc. *τὴν σάρκα*) *ἁρμόττειν ἕλκεσιν ὑπὸ κυνὸς δάκνοντος γεγονόσιν* (sc. *φασίν*). Paul. Aeg. VII 3 s. v. *μύακες καέντες τὰ αὐτὰ δρῶσι τοῖς κήρυξιν, ἰδιαίτερον δὲ πλυθέντες τραχύτητα βλεφάρων καὶ λευκώματα σμήχουσι σὺν μέλιτι. ἡ δὲ σὰρξ αὐτῶν τοῖς κυνοδήκτοις ὠφελίμως ἐπιτίθεται.*

10 SIM. D. eup. I 52 (116) Pl. XXXII 70 — Xenocrates (Orib. I 153).

10 EXC. Gal. XII 362 (unde Paul. Aeg. VII 3 s. v.).

17 SIM. D. eup. I 96 (141) — II 61 (274) — II 88 (216) — II 79 (292).

17 EXC. Gal. XII 348: *πώματα πορφυρῶν δι' ὄξους ποθέντα σπλῆνας οἰδαλέους ἔγραψάν τινες ἰᾶσθαι, θυμιώμενα δὲ τὰς πνιγομένας ὑστερικῶς ὠφελεῖν ἐκβάλλειν τε τὰ κατεχόμενα χόρια.* Paul. Aeg. VII 3 s. v. (e D.).

---

2 *πιέζειν* HDi: *ὀπιέζειν* F

4 num. cap. *ρλδ* QDi tit. *περὶ μυκῶν* F: *περὶ μυάκων* reliqui *μύκες* F (*ρλδ' μύακες* ind.) 6 *τραχύτητα* Paul. Aeg. l. s. 8 *ἐπιτίθεται ὠφελίμως* HDi

10 num. cap. *ρλε* QDi *τελλῖναι δὲ* Di *εὐκοίλιαι* HDi 11 *καὶ* (alt.) om. Q 12 *ἐκταλθεῖσας* F *ἐκ* om. HDi 14 nov. cap. *ρλϛ*· *ζωμὸς κογχαρίων* incip. Di *χιμῶν* F *ἐκ* (alt.) om. HDi 15 *κοιλίαν κινεῖ* Di 16 *μετ' οἶνου δὲ λαμβάνεται* HDi

17 num. cap. *ρλϛ* Q: om. Di tit. *περὶ πορφύρας* Q (*πορφύρας πῶμα* ind. F) 18 *ἵστησι*] *τηρεῖ* Q: *κρατύνει* Paul. Aeg. l. s.: correxi *σπλῆνας οἰδοῦντας* Gal. Paul. Aeg.

οἰδοῦντα στέλλει, ὑποθυμιαθέντα δὲ ἐγείρει τὰς ὑστερικῶς πνιγομένας καὶ τὰ δεύτερα ἐκβάλλει.

8 ὄνυξ ἐστὶ πῶμα κογχυλίου, ὅμοιον τῷ τῆς πορφύρας, εὑρισκόμενον ἐν τῇ Ἰνδίᾳ ἐν ταῖς ναρδοφόροις λίμναις· διὸ καὶ ἀρωματίζει νεμομένων τῶν κογχυλίων τὴν νάρδον. συλλέγεται δὲ ἐπειδὰν ὑπὸ τῶν αὐχμῶν ἀναξηρανθῶσιν αἱ λίμναι. διαφέρει δὲ ὁ ἀπὸ τῆς Ἐρυθρᾶς κομιζόμενος, ὑπόλευκος ὢν καὶ λιπαρός· μέλας δὲ ὁ Βαβυλώνιος καὶ μικρότερος. ἀμφότεροι δὲ εὐώδεις θυμιώμενοι, καστορίζοντες ποσῶς τῇ ὀσμῇ.

ἐγείρουσι δὲ καὶ οὗτοι ὑποθυμιαθέντες τὰς ὑστερικῶς πνιγομένας καὶ ἐπιληπτικούς, ποθέντες δὲ κοιλίαν μαλάσσουσιν. αὐτὸ δὲ τὸ κογχύλιον καὲν ποιεῖ ὅσα καὶ ἡ πορφύρα καὶ ὁ κῆρυξ.

9 κοχλίας χερσαῖος εὐστόμαχος, δύσφθαρτος. ἄριστος δὲ ὅ τε ἐν Σαρδῶνι καὶ Λιβύῃ καὶ Ἀστυπαλαίᾳ καὶ Σικελίᾳ καὶ Χίῳ γεννώμενος καὶ ὁ ἐν ταῖς κατὰ Λιγυρίαν Ἄλπεσι καλούμενος πωματίας. καὶ ὁ θαλάσσιος δὲ εὐστόμαχος καὶ εὐέκκριτος, ὁ δὲ ποτάμιος βρωμώδης, καὶ ὁ ταῖς ἀκάνθαις καὶ τοῖς θαμνίσκοις προσκεκολλημένος ἄγριος, ὃν τινες σέσιλον ἢ σεσέλιτα καλοῦσι, ταρακτικὸς κοιλίας καὶ στομάχου, ἐμετοποιός.

2 δύναται δὲ πάντων τὰ ὄστρακα κεκαυμένα θερμαίνειν καὶ καίειν, σμήχειν λέπρας, ἀλφούς, ὀδόντας. οὐλὰς δὲ τὰς ἐν ὀφθαλμοῖς καὶ λευκώματα καὶ ἐφήλεις καὶ ἀμβλυωπίας μετὰ τῆς σαρκὸς ὅλοι καέντες καὶ λειανθέντες καὶ ἐγχριόμενοι σὺν μέλιτι

---

3 SIM. D. eup. II 88 (296); Pl. XXXII 134.

3 EXC. Orib. V 77; Gal. XIII 320. Paul. Aeg. VII 3 s. v. *ὄνυχες· πώματά εἰσι κογχυλίων Ἰνδικῶν, οἳ θυμιαθέντες ἐγείρουσι τάς τε ὑστερικῶς πνιγομένας καὶ ἐπιληπτικούς, ποθέντες δὲ κοιλίαν μαλάσσουσιν* (*ταράσσουσιν* ed.).

13 SIM. Pl. XXX 44 sq. cf. VIII 139; Xenocr. (Orib. I 143); Ath. II 63 c) — Pl. XXX 29 D. eup. I 128 (158) 131 (160) 119 (152) — eup. I 76 (132) — Pl. XXIX 127 D. eup. I 41 (111).

13 EXC. Gal. XII 322.

20 SIM. D. eup. II 65 (280) — Pl. XXX 77 sq. — Pl. XXX 122 eup. I 167 (180) — Pl. XXX 126 — Pl. XXX 116 — Pl. XXX 112 eup. I 210 (204) — Pl. XXVIII 211 eup. II 9 (230) — eup. II 44 (257) — eup. I 53 (117) cf. Pl. XXX 136. XXIX 116.

---

1 *τὰς ὑστερικὰς πνίγας* Paul. Aeg. 2 *τὰ* om. Paul. Aeg.

3 num. cap. *ρλζ* QDi tit. *περὶ ὄνυχος* QDi 5 *τῇ νάρδῳ* H 9 *θυμιώμενοι δὲ* Q

13 num. cap. *ρλη* QDi 15 *τοῖς* F 16 *πωματίας καλούμενος* Di 17 *βρομώδης* H 18 *προκεκολλημένος* HDi 18 *σέσιλον*] cf. Ath. II 63 c Hes. s. v. *σέσηλοι* *ἢ σεσέλιτα* om. Di: fort. glossema 19 *ταρακτικός ἐστι* Di

ἀποκαθαίρουσιν. ὠμοὶ δὲ σὺν τοῖς κελύφεσι καταπλασθέντες ἐξικμάζουσι τὰ ὑδρωπικὰ οἰδήματα καὶ οὐκ ἀφίστανται, πρὶν ἢ πᾶν ἀνικμασθῆναι τὸ ὑγρόν· καὶ ποδαγρικὰς δὲ φλεγμονὰς πραΰνουσι, καὶ σκόλοπας ἕλκουσιν ὁμοίως καταπλασθέντες, καὶ ἔμμηνα ἄγουσι λεῖοι προστιθέμενοι. αἱ δὲ σάρκες αὐτῶν λεῖαι 3 σὺν σμύρνῃ καὶ λιβανωτῷ καταπλασθεῖσαι τραύματα καὶ μάλιστα τὰ κατὰ τὰ νεῦρα κολλῶσι, καὶ τὰς ἐκ μυκτήρων αἱμορραγίας σὺν ὄξει λειανθέντες ἐπέχουσι. ζῶσα δὲ ἡ σὰρξ καταποθεῖσα, τοῦ Λιβυκοῦ μάλιστα, ἀλγηδόνας στομάχου παύει. μετὰ δὲ τοῦ ὀστράκου ὅλος τριβεὶς καὶ μετ᾽ οἴνου καὶ σμύρνης ὀλίγης ποθεὶς κολικοὺς θεραπεύει καὶ κύστεως ἀλγήματα. ἀνακολλᾷ δὲ καὶ τρίχας ὁ χερσαῖος, ἐάν τις βελόνην κατὰ τῆς σαρκὸς αὐτοῦ φέρων τῷ προισταμένῳ γλοιώδει προσάπτηται τῆς τριχός.

10 καρκίνων ποταμίων καέντων ἡ τέφρα κοχλιαρίων δυεῖν πλῆθος σὺν γεντιανῆς ῥίζης κοχλιαρίῳ ἑνὶ καὶ οἴνῳ ποθεῖσα ἐπὶ ἡμέρας τρεῖς βοηθεῖ λυσσοδήκτοις ἐνεργῶς, σὺν δὲ μέλιτι ἑφθῷ ῥαγάδας τὰς ἐν ποσὶ καὶ τὰς ἐν δακτυλίῳ καὶ χιμέτλας καὶ καρκινώματα παρηγορεῖ. λεῖοι δὲ ὠμοὶ σὺν γάλακτι ὀνείῳ ποθέντες βοηθοῦσι δήγμασιν ἑρπετῶν, φαλαγγίων ⟨καὶ⟩ σκορπίων πληγαῖς. ἑφθοὶ δὲ σὺν ζωμῷ ἐσθιόμενοι φθισικοὺς ὠφελοῦσι καὶ τοὺς λαγωὸν θαλάσσιον πεπωκότας. τριφθέντες δὲ σὺν ὠκίμῳ καὶ προσαχθέντες σκορπίους κτείνουσι. δύνανται δὲ τὰ αὐτὰ καὶ οἱ θαλάσσιοι, πλὴν ἧττον τούτων ἐνεργοῦσιν.

11 σκόρπιος χερσαῖος ὠμὸς λεῖος ἐπιτεθεὶς βοήθημα

---

15 SIM. Pl. XXXII 54; D. eup. II 113 (313) — eup. I 206 (200) — Pl. XXXII 105 eup. I 221 (209) — Pl. l. s. 111 eup. I 181 (190) — Pl. XXXII 125 — Nic. Th. 606. Pl. XXXII 54 eup. II 115 (316) — Pl. l. s. 118 eup. II 38 (251) — Pl. l. s. 54 eup. II 156 (334) — Nic. Th. 949 (ex Apollod.) Pl. l. s. 53 eup. II 129 (323).

15 EXC. cf. Gal. XII 356 (unde Aet. II 175 Paul. Aeg. VII 3 s. v.).

26 SIM. Pl. XI 90. XXIX 91. D. eup. II 121 (320).

26 EXC. Gal. XII 366. Paul. Aeg. VII 3 s. v.

---

1 κελύφοις HDi 2 πρινὶ F 8 ἀπέχουσι F 10 σμύρνης ποθεὶς ὀλίγης HDi 11 κοιλιακοὺς Spr.: at cf. D. eup. II 44 (257) κωλικοὺς δὲ θεραπεύει . . . κοχλίας Λιβυκὸς σὺν τῷ ὀστράκῳ λεῖος μετὰ σμύρνης ὀλίγης καὶ πεπέρεως ⟨καὶ⟩ μετὰ οἴνου ποθεὶς 12 καὶ om. FDi 13 γλινώδει F

15 num. cap. ρλθ QDi 16 ῥίζης H 17 ἐναργῶς libri: correxi 19 χεμέτλας F: χιμέθλας HDi 21 καὶ addidi 23 μετ᾽ ὠκίμου Di προστεθέντες Di D. eup. II 129 (323) 24 τούτων om. Di

num. cap. ρμ QDi

τῆς ἰδίας πληγῆς γίνεται· βιβρώσκεται δὲ καὶ ὀπτηθεὶς πρὸς τὸ αὐτό.

12 τοῦ δὲ θαλασσίου σκορπίου ἡ χολὴ ἁρμόζει πρὸς τὰς ἐν ὀφθαλμοῖς ὑποχύσεις καὶ λευκώματα καὶ ἀμβλυωπίας.

13 δράκων θαλάσσιος ἀναπτυχθεὶς καὶ ἐπιτεθεὶς ἴαμά ἐστι πρὸς τὴν ἐκ τῆς ἀκάνθης αὐτοῦ πληγήν.

14 σκολοπένδρα θαλασσία ἑψηθεῖσα ἐν ἐλαίῳ καὶ καταχρισθεῖσα ψιλοῖ τρίχας, ψανσθεῖσα δὲ κνησμὸν ἐργάζεται.

15 νάρκη θαλασσία ἐπιτεθεῖσα ἐπὶ χρονίων ἀλγημάτων τῶν περὶ κεφαλὴν πραΰνει τὸ σφοδρὸν τοῦ ἀλγήματος, καὶ ἕδραν δὲ ἐκτρεπομένην ἢ προπίπτουσαν στέλλει προστεθεῖσα.

16 ἐχίδνης σὰρξ ἑψηθεῖσα καὶ ἐσθιομένη ὀξυδερκεῖς ποιεῖ τὰς ὄψεις καὶ πρὸς τὰ νευρικὰ ἁρμόζει καὶ τὰς αὐξανομένας χοιράδας ἵστησι. δεῖ δὲ ἐκδείραντας αὐτὴν ἀποκόπτειν τὴν κεφαλὴν καὶ τὴν οὐρὰν διὰ τὸ ἐν αὐτοῖς ἄσαρκον — μυθώδης γὰρ ἡ πρὸς τὸ μέτρον ἀποκοπὴ τῶν ἄκρων — τὸ δὲ λοιπὸν ⟨ἀφαιρεθέντων τῶν ἐντοσθιδίων⟩ πλύναντάς τε καὶ τεμαχίσαντας ἕψειν μετὰ ἐλαίου καὶ οἴνου καὶ ἁλῶν ὀλίγων καὶ

---

3 SIM. Pl. XXXII 70; D. eup. I 41 (113).
3 EXC. Paul. Aeg. VII 3 s. v.
5 SIM. Pl. XXXII 47; D. eup. II 125 (322).
5 EXC. Gal. XII 365.
7 SIM. Pl. XXXII 135; D. eup. I 103 (145).
7 EXC. Gal. XII 366. Paul. Aeg. VII 3 s. v.
9 SIM. Pl. XXXII 105; D. eup. I 224 (210).
9 EXC. Gal. XII 365. Paul. Aeg. VII 3 s. v.
12 SIM. Pl. XXXIX 70. 121. Gal. XIV 265sq. 45sq. — Pl. XXIX 121 D. eup. I 43 (113) — Pl. XXX 77 eup. I 234 (214) — Pl. XXX 40 eup. I 154 (173) — Pl. XXIX 121 — Pl. VII 27.
12 EXC. Gal. XII 311sq. (unde Aet. II 170. Paul. Aeg. VII 3 s. v.) cf. Aet. XIII 121.

---

1 *γίνεται πληγῆς* Paul. Aeg. l. s. *εὑρίσκεται* HDi
3 num. cap. *ρμα* QDi
5 num. cap. *ρμβ* QDi *ἀναπτυγεὶς* F: *ἀναπτυχθεὶς* D. eup. l. s.
7 num. cap. *ρμδ* QDi 8 *ψανσθεῖσα*] *καυθεῖσα* Paul. Aeg. l. s., at cf. [Arist.] h. a. IX 137 *κνησμοὺς* Di
9 num. cap. *ρμε* HDi: om. F (*ρμδ* ind.) 11 *προσπίπτουσαν* Di
12 num. cap. *ρμε* QDi *ὀξυδορκεῖς* HDi 13 *αὐξομένας* HDi 15 *μυθώδης γὰρ*] S. Nigrum impugnat auctor cf. Pl. XXIX 121. Gal. XIV 265
17 *ἀφαιρεθέντων τῶν ἐντοσθιδίων* addidi Saraceno duce cf. Pl. XXIX 121 *exemptisque interaneis*: Gal. XII 317 *ἐξαιροῦμέν τε καὶ ἀπορρίπτομεν ἅπαντα τὰ ἔνδον* *τε* om. Di

ἀνήθου. φασὶ δὲ τοὺς προσφερομένους φθεῖρας γεννᾶν, ὅπερ ἐστὶ ψεῦδος· προσιστοροῦσι δὲ ἔνιοι καὶ μακρογήρως γίνεσθαι
τοὺς ἐσθίοντας αὐτάς. κατασκευάζονται δὲ καὶ ἅλες ἐξ αὐτῶν 2
πρὸς τὰ αὐτά, πλὴν ὁμοίως οὐκ ἐνεργοῦσι. καθίεται δὲ ἔχιδνα ζῶσα εἰς καινὴν χύτραν καὶ μετ᾽ αὐτῆς ἁλῶν ⟨καὶ⟩ ἰσχάδων τετριμμένων ἀνὰ ξέστην ἕνα μετὰ μέλιτος κυάθων ἕξ, ⟨καὶ⟩ περιχρίεται πηλῷ τὸ πῶμα τῆς χύτρας καὶ ὀπτᾶται ἐν καμίνῳ, ἄχρις οὗ ἀνθρακωθῶσιν οἱ ἅλες. μετὰ δὲ τοῦτο λειοτριβηθέντες ἀποτίθενται, ἐνίοτε μειγνυμένου πρὸς εὐστομίαν αὐτοῖς ναρδοστάχυος ἢ μαλαβάθρου φύλλου βραχέος.

17 γῆρας ὄφεως ἑψηθὲν μετὰ οἴνου βοήθημά ἐστιν ὠταλγίας ἐγχεόμενον καὶ ὀδονταλγίας διακλυζόμενον. μίσγουσι δὲ αὐτὸ καὶ εἰς ὀφθαλμικὰς δυνάμεις, μάλιστα δὲ τὸ τῆς ἔχεως.

18 λαγωὸς θαλάσσιος ἔοικε μὲν μικρᾷ τευθίδι, δύναται δὲ λεῖος καταπλασθεὶς καθ᾽ ἑαυτὸν καὶ μετ᾽ ἀκαλήφης ⟨θαλασσίας⟩ τρίχας ψιλοῦν.

19 τοῦ δὲ χερσαίου λαγωοῦ ὁ ἐγκέφαλος ὀπτὸς βιβρωσκόμενος ὠφελεῖ τρόμους τοὺς κατὰ πάθος γινομένους, καὶ ὀδοντιάσεις ἐπὶ παιδίων παρατριβόμενος καὶ ἐσθιόμενος. ἡ δὲ κεφαλὴ αὐτοῦ καεῖσα καὶ καταχρισθεῖσα μετὰ στέατος ἀρ-

---

3 SIM. Pl. XXIX 119 Gal. XIV 290 sq.
3 EXC. Gal. XII 319.
11 SIM. Pl. XXXII 37; D. eup. I 57 (121) — Pl. XXX 25 eup. I 71 (130) — Pl. XXIX 122.
11 EXC. Gal. XII 342 (Paul. Aeg. VII s. v. *γῆρας ὄφεως*).
14 SIM. Pl. XXXII 135; D. eup. I 103 (145).
14 EXC. Orib. XI s. v. (*λαγωὸς — ψιλοῦν*); Gal. XII 566.
17 SIM. D. eup. I 231 (213) — Pl. XXVIII 259 eup. I 74 (131) — eup. II 91 (297) — eup. II 82 (294) — Pl. XXVIII 202 — eup. I 18 (103) — Pl. XXVIII 154. 162 eup. II 159 (335) II 115 (315).
17 EXC. Gal. XII 334; Paul. Aeg. VII 3 s. v. *ἐγκέφαλος*.

---

1 ad rem cf. Pl. l. s., Gal. XII 319 *φθειρῶν τε οὖν πλῆθος οὐκ ὀλίγον γεννᾶται τοῖς ἔχουσι κακοχυμίαν ἐν τοῖς σώμασι δαψιλῆ* (sc. carnis viperinae esu) 4 *οὐχ ὁμοίως* Di 5 *καὶ* addidi 6 *καὶ* addidi 8 *ἀνθρακωθῶσιν* libri: fort. *ἀπανθρακωθῶσιν* 9 *εὐστομαχίαν* Di *αὐτῷ* F: *αὐτοῦ* H 10 *ἢ φύλλου ἢ μαλαβάθρου* Di: *μαλαβάθρου φύλλων Ἰνδικοῦ γο. δ̄* Gal. XIV 292
11 num. cap. *ρμϛ̄* QDi *ἐν οἴνῳ* Di 13 *ἔχεως*] *ἀσπίδος* Paul. Aeg. l. s.
14 num. cap. *ρμζ̄* QDi 15 *ἀκαλύφης* HDi: *ἀκαλίφης* F 16 *θαλασσίας* addidi ex Orib. coll. Pl. XXXII 135 *eadem vis* (sc. psilotri) . . . *leporis marini sanguini et felli* . . . *urtica marina trita* (sc. psilotrum est)
17 num. cap. *ρμη̄* QDi 18 *τρόμους τοὺς κατὰ πάθος*] *φόβους* Gal. l. s. 19 *παιδίων* D. eup. I 74 (131): *παίδων* libri

κεῖον ἢ ὄξους ἀλωπεκίας θεραπεύει. ἡ δὲ πιτύα ποθεῖσα μετὰ ἡμέρας τρεῖς μετὰ τὴν ἄφεδρον ἀτόκιον εἶναι ἱστορεῖται· ἐπέχει δὲ καὶ τὴν ἐκ μήτρας ῥύσιν καὶ κοιλίας, ὠφελεῖ δὲ καὶ ἐπιληπτικούς, καὶ πρὸς τὰ θανάσιμα μετ᾿ ὄξους πινομένη, μάλιστα δὲ πρὸς γάλακτος θρόμβωσιν καὶ ἐχιδνῶν δήγματα. τὸ δὲ αἷμα αὐτοῦ θερμὸν καταχριόμενον ἐφήλιδας καὶ ἀλφοὺς καὶ φακοὺς θεραπεύει.

20 τ ρ υ γ ό ν ο ς θ α λ α σ σ ί α ς τὸ κέντρον, ὃ δὴ ἀπὸ τῆς οὐρᾶς αὐτῆς πέφυκεν ἀνεστραμμένον ταῖς φολίσιν, ὀδόντα πονοῦντα πραΰνει· θρύπτει γὰρ καὶ ἀποβάλλει.

21 σ η π ί α ς ἑψηθείσης τὸ μέλαν βιβρωσκόμενον δύσπεπτον, κοιλίας μαλακτικόν. τὸ δὲ ἐπ᾿ αὐτῆς ὄστρακον σχηματισθὲν εἰς κολλύρια ἁρμόζει πρὸς παράτριψιν τραχέων βλεφάρων, κἂν δὲ ἐν τῷ ἰδίῳ ὀστράκῳ, ἄχρις οὗ τὸ πλακῶδες αὐτοῦ ἀποστῇ, σμήχει λεῖον ἀλφούς, πίτυρα, ὀδόντας, ἐφήλεις. μείγνυται δὲ καὶ εἰς τὰ ὀφθαλμικὰ πλυθέν· ποιεῖ δὲ καὶ πρὸς λευκώματα κτηνῶν ἐμφυσώμενον, καὶ πτερύγια τὰ ἐν ὀφθαλμοῖς τήκει σὺν ἁλσὶ λεῖον προσαγόμενον.

22 τ ρ ί γ λ α συνεχῶς ἐσθιομένη ἀμβλυωπίας δοκεῖ κατα-

---

8 SIM. D. eup. I 70 (128); Pl. XXXII 79.
8 EXC. Paul. Aeg. VII 3 s. v.
11 SIM. [Hipp.] π. δ. II 48 (VI 550); Mnesith. (Ath. VIII 357 d); Pl. XXXII 100 — D. eup. I 119 (153) Pl. XXXII 85 — eup. I 76 (132) — Pl. XXXII 71. 72 — eup. I 45 (114).
11 EXC. Gal. XII 347 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.), cf. Gal. VI 736.
19 SIM. Pl. XXXII 70 — Pl. XXXII 44; D. eup. II 126 (322).
19 EXC. Gal. XII 365; Paul. Aeg. VII 3 s. v. *τρίγλη· συνεχῶς ἐσθιομένη ἀμβλυωπίας ἐργάζεται, ὠμὴ δὲ ἀνασχισθεῖσα καὶ ἐπιτεθεῖσα θαλαττίου δράκοντος καὶ σκορπίου καὶ ἀράχνης ἰᾶται δῆγμα.*

---

1 *μετὰ*] fort. *ἐπὶ*
8 num. cap. *ρμθ* QDi 8 *ἐπὶ* F: *ἀπὸ* reliqui 9 a voce *πέφυκεν* inc. cod. E post *πέφυκεν* add. *ὡσεὶ ῥίνης* E *ἀνεστραμμένης* E: *ἀνεστραμμένον* reliqui: suspectum 10 *παύει* E: *πραΰνει* superscr. E² //// *θρύπτει* (*καὶ* ut videtur del. E²)E *γὰρ* om. add. E²
11 num. cap. *ρν* QDi: *κα* E tit. *περὶ σιπίας* F: *περὶ σηπίας* reliqui *σηπέας δ᾿ ἑψ.* E post *βιβρ.* add. *ὑπ᾿ ἐνίων* E 12 *μαλακτικόν*] *λυτικόν* E *τὸ δὲ ὄστρακον αὐτῆς* E *ἐπ᾿*] *ἀπ᾿* HDi 13 *κολλύριον* E ante *τραχέων* del. *τριχῶν καὶ* E² *κἂν* sc. *ὄστρακον* cf. Pl. XXXII 85 14 *ἄχρι ἂν* E *πλακῶδες*] cf. Arist. h. a. IV 2, 18. Arist.-Pseudep. 320 R 15 *λεῖον* om. E *ἀλφὸν* F *ὀδόντας καὶ ἐφήλεις καὶ πίτυρα* E 16 *δὲ* om. E
19 num. cap. *ρνα* QDi: *κβ* E tit. *περὶ τρίγλης* QDi

σκευαστικὴ ὑπάρχειν. ὠμὴ δὲ ἀνασχισθεῖσα καὶ ἐπιτεθεῖσα θαλασσίου δράκοντος καὶ σκορπίου καὶ ἀράχνης δήγματα ἰᾶται.

23 *ὄρχις ἱπποποτάμου ξηρανθεὶς καὶ λειανθεὶς πίνεται μετ' οἴνου πρὸς ἑρπετῶν δήγματα.*

24 *καὶ ὁ τοῦ κάστορος ὄρχις — ἔστι δὲ τὸ ζῷον ἀμφίβιον, τὸ πλεῖστον ἐν ὕδασιν ἰχθύσι καὶ καρκίνοις τρεφόμενον — ποιεῖ μὲν [καὶ] πρὸς ἑρπετά, ἔστι δὲ καὶ πταρμικὸς καὶ καθόλου ποικίλην ἔχει τὴν χρῆσιν· ποθεὶς γὰρ μετὰ γλήχωνος δραχμῶν πλῆθος δυεῖν ἔμμηνα κινεῖ καὶ ἔμβρυα καὶ δεύτερα ἐκβάλλει. πίνεται δὲ σὺν ὄξει καὶ πρὸς ἐμπνευματώσεις, στρόφους, λυγμούς, θανάσιμα φάρμακα, ἰξίαν· ἀνακαλεῖται δὲ καὶ τοὺς ληθαργικοὺς καὶ τοὺς ὁπωσδήποτε καταφερομένους ἐμβρεχόμενος σὺν ὄξει καὶ ῥοδίνῳ καὶ ὀσφραινόμενος, καὶ ὑποθυμιώμενος δὲ τὰ αὐτὰ ποιεῖ· ἁρμόζει καὶ τρόμοις καὶ σπασμοῖς καὶ παντὶ τῷ νευρώδει πινόμενός τε καὶ συγχριόμενος, καὶ καθόλου θερμαντικὴν ἔχει τὴν δύναμιν.*

ἐκλέγου δὲ ἀεὶ τοὺς συνεζευγμένους ὄρχεις ἐκ μιᾶς ἀρχῆς 2
— ἀδύνατον γὰρ δύο φύσας ἐζευγμένας ἐν ἑνὶ ὑμένι εὑρεῖν — καὶ τὸ ἐντὸς ἔχοντας κηροειδές, βαρύοσμον, βρωμῶδες, δριμύ, δηκτικόν, εὔτριπτον, διαφρασσόμενόν τε συνεχῶς φυσικοῖς ὑμέσι. δολοῦσι δέ τινες αὐτό, ἀμμωνιακὸν ἢ κόμμι συμπεφυραμένον αἵ-

3 SIM. Nic. Th. 566 (ex Apoll.); Pl. XXVIII 121.
5 SIM. Pl. XXXII 26 (e S. N.) — Nic. Th. 565 (ex Apoll.) D. eup. II 128 (323) Pl. l. s. 30 — eup. I 3 (96) — Pl. 28 eup. II 77 (289) — Pl. 29 eup. II 41 (256) II 40 (254) — Pl. 31 eup. II 4 (228) — Nic. Al. 307 (ex Apoll.) Pl. 29. 31 — Pl. 31 eup. II 141 (329) — Pl. 28 eup. I 10 (98) — Pl. 29 eup. I 230. 231 (213) — Pl. 29 eup. I 229 (212) — Pl. 29 eup. I 235 (217).
5 EXC. Gal. XII 337 (unde Paul. Aeg. VII 3 s. v.); Ps. Orib. de simpl. V 51.
17 SIM. Pl. XXXII 26sq. Sostrat. (schol. Nic. Th. 565. Al. 307); Ael. n. a. VI 34; Pl. VIII 109.
17 EXC. Orib. XII s. v. *ὄρχεις κάστορος* (*ἐκλέγου — ἀποτίθεσθαι*).

---

3 num. cap. *ρνβ* QDi: *κγ* E tit. *περὶ ὄρχεως ἱπποποτάμου* QDi *καὶ λειανθεὶς* om. E
5 num. cap. *ρνγ* QDi: *κδ* E *κάστορος ὄρχις ζῷόν ἐστιν* Di *δὲ ὄρχις* E *τὸ* om. E 6 *ὕδατι* E *σὺν ἰχθύσι* Di 7 *οὗ ὁ ὄρχις ποιεῖ* Di *καὶ* (pr.) om. E: delevi 10 *μετ' ὄξους* E 11 *καὶ θανάσιμα* E *καὶ μάλιστα πρὸς* (*πρ.* del. E²) *ἰξίαν* E 13 *σὺν*] *ἐν* E *καὶ θυμιώμενος καὶ ὀσφραινόμενος τὸ αὐτὸ ποιεῖ* E 16 *τὴν* om. E 18 *ἀδύνατον γὰρ*] Sextium Nigrum impugnat D. cf. Pl. XXXII 27 *φύσσας* HDi *συνεζευγμένας* E 19 *τοῖς τὸ* (i. o. *τοὺς τὸ*) *ἐντὸς* Orib. *ἔχοντας* Orib.: *ἔχον* reliqui 20 *εὔθρυπτον* Orib. *τε* om. Orib. 21 *αὐτοὺς* Orib. *συμπεφυρμένον* (*α* post *ρ* superscr. pr. m. ut videtur) F: *συμπεφυραμένον* EOrib. (*α* del. E²): *συμπεφυρμένον* HDi

ματι [καὶ] καστορίῳ ἐγχέοντες εἰς φῦσαν καὶ ξηραίνοντες. μάτην δὲ ἱστορεῖται ὅτι διωκόμενον τὸ ζῷον ἀποσπᾷ τοὺς διδύμους καὶ ῥίπτει· ἀδύνατον γάρ ἐστιν ἅψασθαι αὐτῶν, προστύπων ὄντων ὥσπερ ὑός. δεῖ δὲ διελόντας τὸ δέρμα κομίζεσθαι σὺν τῷ περιέχοντι ὑμένι τὸ ὑγρόν, ὃν μελιτῶδες, καὶ οὕτως ξηράναντας ἀποτίθεσθαι.

25 γαλῆ κατοικίδιος περιφλευσθεῖσα καὶ δίχα τῶν ἐντὸς σκελετευθεῖσα δι' ἁλὸς καὶ ξηρανθεῖσα ἐν σκιᾷ παντὸς ἑρπετοῦ ἐνεργέστατόν ἐστι βοήθημα ποθεῖσα μετ' οἴνου δραχμῶν δυεῖν πλῆθος, καὶ τοξικοῦ ἀντιφάρμακον ὁμοίως ληφθεῖσα. ἡ δὲ κοιλία αὐτῆς κορίῳ πλησθεῖσα καὶ σκελετευθεῖσα θηριοδήκτοις καὶ ἐπιληπτικοῖς βοηθεῖ πινομένη. ὅλη δὲ καεῖσα ἐν χύτρᾳ ποδαγρικοὺς ὠφελεῖ τῆς τέφρας καταχριομένης μετ' ὄξους. τὸ δὲ αἷμα αὐτῆς καταχριόμενον χοιράσι βοηθεῖ· ὠφελεῖ δὲ καὶ ἐπιληπτικούς.

26 βάτραχοι ἀντιφάρμακόν εἰσιν ἑρπετῶν πάντων ζωμευθέντες σὺν ἁλσὶ καὶ ἐλαίῳ, τοῦ ζωμοῦ λαμβανομένου· ὁμοίως καὶ πρὸς ⟨τὰς⟩ χρονίους τῶν τενόντων ἀποστάσεις. καέντες δὲ ἐπίπαστοι αἱμορραγίαν στέλλουσι, καὶ ἀλωπεκίας θεραπεύουσι σὺν πίσσῃ ὑγρᾷ καταχριόμενοι. τῶν δὲ χλωρῶν βατράχων τὸ αἷμα ἐπισταζόμενον κωλύει τὰς ἐκτιλθείσας ἀπὸ τῶν βλεφάρων

7 SIM. D. eup. II 115 (316) — Pl. XXIX 105 — Pl. XXX 90. 34. eup. I 18 (102. 104). Gal. XIV 401. Cael. Aur. m. chr. I 4, 118. Alex. Tr. I 561 — Pl. XXX 76 eup. I 235 (217) — Pl. XXX 34. 36 eup. I 154 (173) — eup. I 18 (102).

7 EXC. Gal. XII 362 (unde Paul. Aeg. VII 3 s. v.) cf. Aet. II 167.

16 SIM. Pl. XXXII 48; D. eup. II 115 (316) — eup. I 229 (212) — Pl. XXXII 121 eup. I 209 (202) — Pl. XXXII 67 eup. I 95 (140) — Pl. XXXII 70 eup. I 52 (116) — Pl. XXXII 81 eup. I 71 (130).

16 EXC. Gal. XII 362. 262 (Aet. II 166. Paul. Aeg. VII 3 s. v.).

1 καὶ (pr.) om. Orib.E: delevi καστορίου E ἐνχέαντες E φύσας Orib.E ξηράναντες E 3 ἀδυνατεῖ Orib. αὐτῶν ἅψασθαι E 4 καθάπερ E² (in mg.) κομίζεσθαι Orib.E: κομίσασθαι reliqui 5 περιεχομένῳ E μελιτῶδες ὂν Orib.E οὕτω HDi 6 ξηραίνοντας Orib. ἀποτίθεσθαι Orib.: ποτίζειν reliqui

7 num. cap. ρνδ QDi: κε E περιφλεχθεῖσα HDi 8 δι' ἁλὸς καὶ ξηρανθεῖσα om. mg. add. E² 9 ἐνεργέστερον HDi <- <- β E: <β Di 10 τὸ πλῆθος E: πλῆθος om. Di post ληφθεῖσα c. 3 litt. del. E² 11 ἡ κοιλία δὲ (δὲ add. E²) E

16 num. cap. ρνε QDi: κϛ E 17 ἁλσὶν ἀλφίτῳ E (ἀλφ. del. E²) ὁμοίως λαμβανομένου E (corr. E² β et α superscr.) 18 τὰς addidi ex E 19 καὶ ἐπιπασθέντες HDi αἱμορραγίας E 21 ἐκταλθείσας F: ἐκτειλίσας E: ἐκταλείσας D. eup. l. s. ἐκ τῶν E

τρίχας φύεσθαι· ὠφελοῦσι καὶ ὀδονταλγίας συνεψόμενοι ὕδατι καὶ ὄξει καὶ διακλυζόμενοι.

27 *σίλουρος* νεαρὸς βιβρωσκόμενος τρόφιμος καὶ εὐκοίλιος, ταριχηρὸς δὲ ἄτροφος, ἀρτηρίαν δὲ καθαίρει καὶ εὔηχον παρασκευάζει. καταπλασθεῖσα δὲ ἡ σὰρξ τοῦ ταριχηροῦ ⟨σιλούρου⟩ σκόλοπας ἀνάγει· καὶ ἡ ἐξ αὐτοῦ δὲ ἅλμη ἁρμόζει ἐν ἀρχῇ δυσεντερικοῖς εἰς ἐγκάθισμα, μετάγουσα τοὺς ῥευματισμοὺς εἰς τὴν ἐπιφάνειαν, καὶ ἐγκλυζομένη δὲ ἰσχιαδικοὺς θεραπεύει.

28 *σμαρίδος* ταριχηρᾶς ἡ κεφαλὴ καεῖσα ⟨λεία⟩ ἕλκη στέλλει ὑπερσαρκοῦντα καὶ νομὰς ἵστησι καὶ ἥλους καὶ θύμους ἀναλίσκει, σκορπιοπλήκτοις δὲ καὶ κυνοδήκτοις ἡ σὰρξ ἁρμόζει καθάπερ πᾶς τάριχος.

29 καὶ ἡ τῆς *μαινίδος* κεφαλὴ καεῖσα λεία τὰς ἐν δακτυλίῳ τετυλωμένας ῥαγάδας καταπασθεῖσα ἀφίστησιν. ὁ δὲ γάρος αὐτῆς τὰς ἐν στόματι σηπεδόνας διακλυζόμενος παύει.

30 *κωβιὸν* τὸν πρόσφατον ἐὰν ἐμβαλὼν εἰς ὑείαν κοιλίαν καταρράψῃς καθεψήσῃς τε ἐν ὕδατος ξέσταις ιβʹ ἄχρι δυεῖν ξεστῶν καὶ διηθήσας καὶ ἐξαιθριάσας ποτίσῃς, κοιλίαν ἀταράχως κάτω ὑπάξεις. καταπλασθεὶς δὲ καὶ τοὺς ὑπὸ κυνῶν δηχθέντας ἢ ἑρπετῶν ὠφελεῖ.

---

3 SIM. Pl. XXXII 94 — Pl. XXXII 90; D. eup. I 93 (139) — eup. I 167 (180) Pl. XXXII 125 — eup. II 54 (266) cf. II 52 (265) — Pl. XXXII 104. 93 eup. I 237 (219).
3 EXC. Gal. XII 377. Aet. II 151. Paul. Aeg. VII 3 s. v. et s. v. *κεφαλαί*.
9 SIM. D. eup. I 189 (193) I 200 (197) I 175 (184) I 176 (185) cf. II 113 (314).
13 SIM. Pl. XXXII 105; D. eup. I 218 (208) — Pl. XXXII 88 eup. I 83 (135).
13 EXC. Gal. XII 333. 377 cf. Paul. Aeg. VII 3 s. v. *κεφαλαί*. Aet. II 151.
16 SIM. Gal. XII 366. Aet. II 141.

---

1 *φύειν* E
3 num. cap. *ρνϛ* QDi: *κζ* E *τρόφιμός ἐστι* Di 4 *ἀρτηρίας (εὐήχας)* HDi *εὐήχ* F 5 *κατασκευάζει* E *ταριχευθεῖσα δὲ ἡ σὰρξ καὶ καταπλασθεῖσα* H: *ταριχηθεῖσα δὲ ἡ σὰρξ τοῦ καταπλασθέντος* F *σιλούρου* addidi 7 *ὡς εἰς* (dittogr.) Q *κατάγουσα* Di 8 *καὶ* om. E *ἀπαλλάσσει* E
9 num. cap. *ρνζ* QDi: *κη* E *λεία* addidi ex E, cf. D. II 29 11 *δὲ* E: *τε* reliqui *ὠμὴ ἡ σὰρξ* E 12 *πᾶς* om. E
13 num. cap. *ρνη* QDi: *κθ* E *ἡ* om. Di *μαινίδος ταριχηρᾶς* E: *μαινίδος δὲ* Di *δακτύλῳ* HDi 14 *καταπλασθεῖσα* libri: corr. Sarac. *ἀποκαθίστησιν* E *τὸ δὲ γάρρον* Di 15 *αὐτῶν* E *διακλυζόμενον* Di
16 num. cap. *ρνθ* QDi: *λ* E *κύβιον* Gal. *τὸν* om. Di *βαλλὼν* F: *βαλὼν* H 17 *καὶ καταρράψεις* F: *καὶ καταράψας* E *καθεψήσας* E: *καθεψήσεις* F *μεθ' ὕδατος* Di: *ἐν ὕδατι* Q *ξεστῶν ιβʹ* Di 18 *ξεστῶν β* E *καὶ ἐξαιθριάσας* om. E *ποτήσεις* E: *ποτίσεις* F *ἀταράχως κατὰ κοιλίαν* E
19 *ὑπάξει* FE *καταπλασθὲν* QE *ὑπὸ ἑρπετῶν ἢ κυνῶν δηχθέντας* E

31 ὁ δὲ *ὠμοτάριχος* λεγόμενος σάρξ ἐστι θύννου ταριχευμένου. βοηθεῖ δὲ λαμβανόμενος τοῖς ὑπὸ ἐχίδνης τῆς καλουμένης πρηστῆρος δηχθεῖσι — δεῖ δὲ ὡς ὅτι πλεῖστον προσφέροντας καὶ οἶνον ἀναγκάζειν πίνειν πολὺν καὶ ἐμεῖν — εἴς τε τὰς δριμυφαγίας μάλιστα ἁρμόζει. καταπλάσσεται δὲ καὶ ἐπὶ κυνοδήκτων ὠφελίμως.

32 *γάρος* δὲ πᾶς ὁ ἐκ τῶν ταριχευτικῶν ἰχθύων καὶ κρεῶν καταντλούμενος νομὰς ἐφιστᾷ καὶ κυνόδηκτα ἰᾶται. ἐνίεται δὲ καὶ ἐπὶ δυσεντερικῶν καὶ ἰσχιαδικῶν, ἐφ᾿ ὧν μὲν ἵνα τὰ εἱλκωμένα ἐπισπάσῃ, ἐφ᾿ ὧν δὲ ἵνα τὰ ἀνέλκωτα ἐρεθίσῃ.

33 *ζωμὸς* δὲ ὁ ἐκ τῶν νεαρῶν ἰχθύων κοιλίας ὑπαγωγός, ποτὲ μὲν καθ᾿ ἑαυτὸν πινόμενος, ποτὲ δὲ μετ᾿ οἴνου. ἰδίως δὲ σκευάζεται πρὸς ταῦτα ὁ ἀπὸ τῶν φυκίδων καὶ σκορπίων καὶ ἰουλίδων καὶ περκίδων καὶ τῶν ἄλλων πετραίων ἁπαλῶν καὶ ἀβρώμων λιτῶς μεθ᾿ ὕδατος ⟨καὶ ἁλὸς⟩ καὶ ἐλαίου καὶ ἀνήθου.

34 *κόρεις* οἱ ἀπὸ *κλίνης* ἐντιθέμενοι βρώμασι κυάμων τὸν ἀριθμὸν ἑπτὰ καὶ καταπινόμενοι πρὸ τῆς ἐπισημασίας

---

1 SIM. D. eup. II 119 (319) — eup. II 113 (314).
7 SIM. Pl. XXXI 97; D. eup. I 200 (197) — Pl. l. s. — Pl. l. s. eup. II 52 (265) — Pl. l. s. eup. I 238 (219).
7 EXC. Gal. XII 377 (unde Paul. Aeg. VII 3 s. v. Aet. II 150).
11 SIM. Pl. XXXII 94. 100.
11 EXC. Paul. Aeg. VII 3 s. v. (e D.).
16 SIM. Pl. XXIX 63; D. eup. II 21 (234) — Pl. XXIX 61 eup. II 120 (319) — Pl. XXIX 62 — eup. II 109 (308).
16 EXC. Gal. XII 363 (unde Paul. Aeg. VII 3 s. v.).

---

1 num. cap. $\overline{\rho\xi}$ QDi: $\overline{\lambda\alpha}$ E   *τεταριχευμένη* E   2 *λαμβανομένη* libri: correxi   3 *δεῖ* om. F   4 *καὶ* (pr.) om. Di, cf. D. eup. II 119 (319)   *ἀνασκευάζειν* Di   *ἐξεμεῖν* E, at cf. D. eup. l. s.   5 *καταπλάσσεται — ὠφελίμως* om. Q (mg. add. H²), at cf. Dl et D. eup. l. s.
7 num. cap. $\overline{\rho\xi\alpha}$ QDi: $\overline{\lambda\beta}$ E   *γάρρον* Di   post *γάρος* del. *νάρδος* F   *τῶν* om. E   *ταριχ* (*τι* superscr.) F: *ταριχηρῶν* reliqui   8 *καταπλαττόμενος* (*σν* Di) QDi: *καταντλούμενον* E, cf. D. eup. I 200 (197)   *ἐφίστησιν* E   *κυνοδήκτους* HDi   *ἐνίοτε* QDi   9 *καὶ* (pr.) om. FE   *δυσεντερικοῖς καὶ ἰσχιαδικοῖς* QDi   *ἵνα*] *εἶναι* F   10 *ἐπικαύσῃ* EDi: *ἐπιπαύσῃ* Marc.: *ἐπικλύσῃ* Corn. cf. Gal. XII 377
11 num. cap. $\overline{\rho\xi\beta}$ QDi: $\overline{\lambda\gamma}$ E   13 *πρὸς τὰς ἀπὸ σκορπίων πληγὰς καὶ φυκίδων* E   *φωκίων* HDi   14 *περκίδων* E: *περκῶν* corr. E²   15 *λιτὸς* E et Paul. Aeg. l. s.   *δι᾿ ὕδατος* E   *καὶ ἁλὸς* addidi Spr. duce e Paul. Aeg. VII 3 s. v., cf. Dl *et solus id facit, si sale et oleum et anetum fuerint conditi*
16 num. cap. $\overline{\rho\xi\gamma}$ QDi: $\overline{\lambda\delta}$ E   *μετὰ κυάμων* HDi, at cf. D. eup. l. s. *ἐντεθέντες εἰς τὰ τῶν κυάμων βρώματα*   17 *τῶν ἀριθμῶν* E   *ἑπτὰ*] *δ′* D. eup. l. s.

ὠφελοῦσι τοὺς τεταρταΐζοντας, καὶ ἀσπιδοδήκτους δὲ δίχα τῶν κνάμων καταποθέντες, ὑστερικῶς τε πνιγομένας ἀνακαλοῦνται ὀσφραινόμενοι. σὺν ὄξει δὲ ποθέντες βδέλλας ἐξάγουσι, δυσουρίαν τε παύουσιν ἐντιθέμενοι τῷ οὐρητικῷ πόρῳ λεῖοι.

35 *ὄνοι οἱ ὑπὸ τὰς ὑδρίας — ζῷα ⟨δ'⟩ ἐστὶ πολύποδα, σφαιρούμενα κατὰ τὰς ἐπαφὰς τῶν χειρῶν — ποθέντες σὺν οἴνῳ βοηθοῦσι δυσουρίᾳ καὶ ἰκτέρῳ, διαχρισθέντες δὲ μετὰ μέλιτος συναγχικοῖς βοηθοῦσι, καὶ πρὸς ὠταλγίαν δὲ λεῖοι σὺν ῥοδίνῳ θερμανθέντες ἐν κελύφει ῥόας καὶ ἐνσταγέντες ἁρμόζουσιν.*

36 *σίλφης τῆς ἐν τοῖς ἀρτοκοπείοις εὑρισκομένης τὰ ἐντὸς τριβόμενα σὺν ἐλαίῳ ἢ ἑψόμενα καὶ ἐνσταζόμενα ὠταλγίας παύει.*

37 *πνεύμων θαλάσσιος πρόσφατος λεανθεὶς ποδαγριῶντας καὶ χιμετλιῶντας ὠφελεῖ καταπλασσόμενος.*

38 *ὁ δὲ χοίρειος καὶ ἄρνειος [καὶ ἄρκειος] πνεύμων τὰ ἐκ τῶν ὑποδημάτων παρατρίμματα ἐπιτιθέμενοι ἀφλέγμαντα τηροῦσιν.*

39 *καὶ ὁ τῆς ἀλώπεκος δὲ πνεύμων ξηρανθεὶς καὶ πο-*

---

5 SIM. Pl. XXX 68; D. eup. II 109 (308) — eup. II 56 (268) — Pl. XXX 35 eup. I 88 (138) — Pl. XXIX 136 eup. I 57 (121) Archig. (Gal. XII 641).
5 EXC. Gal. XII 366. 367. Paul. Aeg. VII 3 s. v.
11 SIM. Pl. XXIX 139; D. eup. I 57 (121); Archig. (Gal. XII 641).
11 EXC. Gal. XII 366; Paul. Aeg. VII 3 s. v.
13 SIM. Pl. XXXII 111; D. eup. I 181 (190).
13 EXC. Paul. Aeg. VII 3 s. v. *πνεύμων*.
15 SIM. Pl. XXVIII 221. 222; D. eup. I 173 (184).
15 EXC. Gal. XII 355 (unde Paul. Aeg. VII 3 s. v.).
18 SIM. Pl. XXVIII 197; D. eup. II 39 (252) — Pl. XXVIII 176 eup. I 57 (120).
18 EXC. Gal. XII 335 (= Aet. II 154 Paul. Aeg. VII 3 s. v. *πνεύμων*).

---

2 *καταπλασθέντες* Di *τε* E: *δὲ* reliqui *πνιγομένους* F 3 *οἴνῳ δὲ ἢ ὄξει* QDi (var. lect. cf. Gal. l. s.) 4 *ἐντιθέμεναι, λεῖαι* HDi *τῷ οὐριτῆρι* E

5 num. cap. *ρξδ* QDi: *λε* E tit. *περὶ κουβαρίδων* QDi (*ὄνοι οἱ ὑπὸ ὑδρείας. κουβαρίδες* F in ind.) *δ'* addidi ex E *εἰσὶ* HDi 6 *ποθέντες δὲ* F: *οὗτοι ποθέντες* HDi *ἐν οἴνῳ* E 7 *δυσουρίαις* E 8 *συναγχικοὺς ὠφελοῦσιν* EDi *καὶ* om. Q 9 *κελύφῳ* Di

11 num. cap. *ρξε* QDi: *λϛ* E *σίλφοις τοῖς* F 12 post *τριβόμενα* superscr. *καὶ* E² *ἢ* om. E *ὠταλγίας ἐνσταζόμενα παύει* E

13 num. cap. *ρξϛ* QDi: *λζ* E *ποδαγρικοὺς* E et Paul. Aeg. l. s.

15 num. cap. *ρξζ* QDi: om. E *καὶ ἄρκειος* om. EGal.Dl: delevi (var. lect.) 17 *ποιοῦσιν* E

18 num. cap. *ρξη* QDi: om. E *δὲ* om. HDi *πνεύμων* om. E *καὶ ποθεὶς* om. Q (add. H²)

θεὶς ἀσθματικοὺς ὀνίνησι· καὶ τὸ στέαρ δὲ αὐτῆς τακὲν καὶ ἐγχυθὲν ὠτὸς πόνον παύει.

40 ἧπαρ ὄνειον ἐσθιόμενον ὀπτὸν ἐπιληπτικοὺς ὠφελεῖ· νήστεις δὲ λαμβανέτωσαν.

41 αἰδοῖον ἄρρενος ἐλάφου σὺν οἴνῳ ποθὲν λεῖον τοῖς ὑπὸ ἐχιδνῶν δηχθεῖσι βοηθεῖ.

42 ὄνυχες ὄνων καέντες καὶ ποθέντες ἐπὶ ἡμέρας ἱκανὰς πλῆθος κοχλιαρίων δυεῖν ἱστοροῦνται ἐπιληπτικοὺς ὠφελεῖν. ἐλαίῳ δὲ φυραθέντες χοιράδας διαφοροῦσιν, ἐπιπασθέντες δὲ χιμέτλας θεραπεύουσιν.

43 λειχῆνες ἵππων — εἰσὶ δὲ τύλοι κατὰ περιγραφὴν ἐντετυπωμένοι παρὰ τοῖς γόνασι καὶ παρὰ ταῖς ὁπλαῖς — ποθέντες λεῖοι μετ᾽ ὄξους ἐπιληψίας ἱστοροῦνται θεραπεύειν.

44 οἱ δὲ τῶν αἰγῶν ὄνυχες καέντες ἀλωπεκίας καταχριόμενοι σὺν ὄξει θεραπεύουσιν.

45 τοῦ δὲ ἥπατος τῆς αἰγὸς ὀπτωμένου ὁ ἀπορρέων ἰχὼρ ἐγχριόμενος νυκτάλωψιν ἁρμόζει· κἂν τὴν ἀτμίδα δέ τις ἑψομένου αὐτοῦ δέχηται ἀνεῳγόσι τοῖς ὀφθαλμοῖς, ὠφελεῖται·

---

3 SIM. Pl. XXVIII 258; D. eup. I 18 (102).
3 EXC. Paul. Aeg. VII 3 s. v. ἧπαρ.
5 SIM. Pl. XXVIII 150; D. eup. 115 (315).
5 EXC. Paul. Aeg. VII 3 s. v. αἰδοῖον.
7 SIM. Pl. XXVIII 225; D. eup. I 18 (104) — Pl. XXVIII 191; D. eup. I 154 (173) — eup. I 181 (190).
11 SIM. Diocl. frg. 83; Pl. XXVIII 180; D. eup. I 18 (103).
11 EXC. Gal. XII 342 (unde Aet. II 158 Paul. Aeg. VII 3 s. v.).
14 SIM. D. eup. I 95 (141).
14 EXC. Gal. XII 341.
16 SIM. Pl. XXVIII 170; D. eup. I 44 (114) — eup. I 21 (105).
16 EXC. Gal. XII 336 (= Paul. Aeg. VII 3 s. v.).

---

1 κατατακὲν (τακ in ras.) E 2 πόνους E
3 num. cap. ρξθ QDi: λη E ὀπτὸν ἐσθιόμενον E ἡπατικοὺς καὶ ἐπιληπτικοὺς E 4 δὲ] δια H
5 num. cap. ρο QDi: λθ E ποθὲν σὺν οἴνῳ E λεῖον om. E 6 ἐχίδνης E
7 num. cap. ροα QDi: μ E ἐφ᾽ ἱκανὰς ἡμέρας E 8 μὲν ὠφελεῖν E
9 ἐν ἐλαίῳ E ἐμπιπλασθέντες F: ἐπιπλασθέντες HDi: ἐπιχρισθέντες δὲ μετ᾽ ὄξους E: ἐπιπασσόμενοι D. eup. l. s.: correxi Sarac. duce 10 χίμετλα E
11 num. cap. ροβ QDi: μα E post τύλοι del. ὑγροὶ E[2] περιγραφὴν E: ἐπιγραφὴν reliqui 12 ἐντετυπομένοι E: ἐντετυλωμένοι reliqui παρὰ] περὶ coni. Asul. ποθέντες δὲ FE 13 θεραπεύειν ἱστοροῦνται E
14 num. cap. ρογ QDi: μβ E καταχριόμενοι ὄξει ἀλ. θεραπ. καέντες E
16 num. cap. ροδ QDi: μγ E 17 καὶ E εἴ τις αὐτοῦ ὀπτομένου E

ἁρμόζει δὲ καὶ ἐσθιόμενον ὀπτὸν πρὸς τὰ αὐτά. φασὶ δὲ καὶ ἐπιληπτικοὺς ἐλέγχεσθαι φαγόντας μάλιστα τὸ τράγειον ἧπαρ.

46 *τὸ δὲ τοῦ κάπρου ἧπαρ νεαρὸν καὶ ξηρὸν λεῖον σὺν οἴνῳ πινόμενον ἑρπετῶν δήγματα ὠφελεῖ.*

47 *κυνὸς δὲ λυσσῶντος ἧπαρ βιβρωσκόμενον ὀπτὸν ὑπὸ τῶν δηχθέντων ὑπ' αὐτοῦ ἀπεριπτώτους ὑδροφόβᾳ τηρεῖν πεπίστευται. χρῶνται δὲ εἰς προφυλακὴν καὶ τῷ κυνόδοντι τοῦ δακόντος ἐνδέοντες εἰς κυστίδα καὶ περιάπτοντες τῷ βραχίονι.*

48 *τὰ δὲ ἀπὸ τῶν κασσυμάτων παλαιὰ δέρματα κεκαυμένα λεῖα καταπασσόμενα πυρίκαυτα καὶ παρατρίμματα καὶ τὰ ἐξ ὑποδημάτων θλίμματα θεραπεύει.*

49 *ἀλεκτορίδες ἀνασχισθεῖσαι καὶ ἐπιτεθεῖσαι ἔνθερμοι τοῖς τῶν ἑρπετῶν δήγμασι βοηθοῦσι· δεῖ δὲ συνεχῶς ταύτας ἀλλάσσειν. καὶ ὁ ἐγκέφαλος δὲ αὐτῶν ἐν ποτήματι θηριοδήκ-*

---

3 SIM. Pl. XXVIII 152; D. eup. II 115 (316).
3 EXC. Paul. Aeg. VII 3 s. v. *ἧπαρ*.
5 SIM. Pl. XXIX 99. 101; D. eup. II 113 (313).
5 EXC. Gal. XII 335 (Paul. Aeg. VII 3 s. v. *ἧπαρ*).
7 TEST. Ps. Gal. de incantatione (ed. Chart. X 572): *Dioscorides* ait: dentes canini canis rabiosi, quando hominem momorderit, in frusto corii ligati et armo suspensi defendunt a morsibus canis rabiosi.
9 SIM. D. eup. I 178 (187) — Pl. XXX 80; D. eup. I 173 (184).
9 EXC. Gal. XII 343.
12 SIM. Petrich. (schol. Nic. Th. 557); Apollod. (Nic. Th. 557); D. eup. II 115 (316); Pl. XXIX 78 sq. (e S. N.).
12 EXC. Gal. XII 361; Paul. Aeg. VII 3 s. v. *ζωμός*.
14 TEST. Paul. Aeg. VII s. v. *ἐγκέφαλος . . . τὸν δὲ τοῦ ἀλεκτρυόνος σὺν οἴνῳ πινόμενον θηριοδήκτοις φησὶ Διοσκουρίδης βοηθεῖν καὶ τὰς ἐκ μηνίγγων ἐπέχειν αἱμορραγίας.*

---

1 *ἐνχριόμενον καὶ ἐσθιόμενον* E 2 *ἐπιληπτικοὺς φασὶν ἐλέγχεσθαι* E 3 num. cap. *ροε* QDi: *μγ* E *ἧπαρ* om. E 4 *ἑρπετῶν καὶ πτηνῶν* HDi *δήγμασι βοηθεῖ* E
5 num. cap. *ροϛ* QDi: *μδ* E *δὲ* om. Di *ὀπτὸν βιβρ.* E 6 *ἀπερίπτωτον* E *ὑδρόφοβα* E: *ὑδροφο(ρ' supcrscr.)* F: *ὑδροφοβίας* HDi 7 *πιστεύεται* HDi *τὸν κυνόδοντα* E 8 *ἐνδέοντες* E: *ἐπιδέοντες* F: *ἐπιδοῦντες* reliqui post *βραχίονι* cap. *περὶ ἥπατος αἰθυίας* habet Di (cf. D. II 55)
9 num. cap. *ροζ* QDi: *με* E 10 *καὶ λεῖα* HDi *καταπασσόμενα* F D. eup. l. s.: *καταπλασσόμενα* reliqui *τὰ ἐξ ὑποδημάτων* om. E 11 *ἐκθλίμματα* Gal. mg. add. Di *τοῦ κασσύματος ἡ τέφρα ἐστὶ οὐλωτικὴ τῆς διατρίσεως προαλειψαμένη λινέλαιον*
12 num. cap. *ροη* QDi: *μϛ* E *ἀλεκτορίδες δὲ* E *ἔνθερμοι ἐπιτεθεῖσαι* E 13 *τοῖς τῶν* om. E: *τῶν* om. Di *αὐτὰς* E: om. Di 14 *ὁ δὲ ἐγκέφαλος* (om. *καὶ*) Di *πόματι* EDi

τοις σὺν οἴνῳ δίδοται καὶ τὰς ἐκ μήνιγγος αἱμορραγίας ἐπέχει. τοῦ δ' ἄρρενος τὸ κατὰ τὰ ἐντὸς ὑποκείμενον τῇ κοιλίᾳ κερατῶδες, ἀποδερόμενον δὲ ἐν ταῖς ἑψήσεσι ξηρανθὲν ἁρμόζει στομαχικοῖς λεῖον πινόμενον μετ' οἴνου. ὁ δὲ ζωμὸς τοῦ νόσσακος μάλιστα δίδοται ἐπικράσεως χάριν φαυλοτήτων καὶ ἐπὶ τῶν
2 στόμαχον πυρουμένων λιτῶς σκευασθείς. ὁ δὲ τῶν παλαιῶν
ἀλεκτρυόνων δίδοται πρὸς κάθαρσιν κοιλίας· ἐξελόντας δὲ τὰ ἐντὸς δεῖ ἀντεμβάλλειν ἅλας καὶ καταρράψαντας ἕψειν μετὰ ὕδατος ξεστῶν εἴκοσι, κατάγοντας εἰς κοτύλας τρεῖς· δίδοται δὲ πᾶν ἐξαιθριασθέν· ἔνιοι δὲ συνέψουσι κράμβην θαλασσίαν ἢ λινόζωστιν ἢ κνῆκον ἢ πολυπόδιον. ἄγει δὲ πάχος ὠμόν, γλοιῶδες, μέλαν, ἁρμόζον πυρετοῖς χρονίοις ⟨καὶ περιοδικοῖς τρόμοις⟩, ἄσθμασιν, ἀρθριτικοῖς, ἐμπνευματουμένοις στόμαχον.

50 ᾠὸν τὸ ἁπαλὸν πολυτροφώτερον τοῦ ῥοφητοῦ, καὶ τοῦ ἁπαλοῦ τὸ σκληρόν. ἡ δὲ λέκιθος αὐτοῦ ἑφθὴ χρησίμη πρὸς ὀφθαλμῶν περιωδυνίας σὺν κρόκῳ καὶ ῥοδίνῳ, πρός τε τὰς περὶ δακτύλιον φλεγμονὰς καὶ κονδυλώματα σὺν μελιλώτῳ. μετὰ ῥοὸς δὲ ἡ κηκίδος τηγανισθεῖσα καὶ βρωθεῖσα ἵστησι κοιλίαν, καὶ καθ' ἑαυτὴν δὲ προσενεχθεῖσα.

τὸ δὲ λευκὸν αὐτοῦ ὠμὸν ⟨ὂν⟩ ψύχει, ἐμπλάττει, παρηγορεῖ ἐγχυματισθὲν ἐπὶ ὀφθαλμῶν φλεγμαινόντων, κατακαύματά τε οὐκ

---

1 SIM. Pl. XXIX 78 (e S. N.); D. eup. I 23 (236).
1 EXC. Gal. XII 336.
14 SIM. [Hipp.] π. δ. II 50 (VI 552); Pl. XXIX 39; D. eup. I 39 (111) I 217 (207) I 36 (110) I 108 (148) I 28 (107) I 94 (139); cf. Ruf. 414. 423.
14 EXC. Gal. XII 349 (unde Aet. II 135 Paul. Aeg. VII 3 s. v.); Gal. VI 706 (unde Aet. II 134. Sim. S. s. v.).

---

1 ἐν οἴνῳ E   ἴσχει E   2 τὸ δὲ τοῦ ἄρρενος κατὰ τὸ ἔνδον E   τὸ om. F   κερατοειδὲς Di   4 μετ' οἴνου πινόμενον EDi   ὁ δὲ — σκευασθεὶς (v. 6) om. Di   5 μάλιστα τοῦ νόσσακος E, fort. recte   φαυλοτήτων ἢ χαυνοτήτων E (ἢ χαυν. del. E²)   6 λιτὸς F   8 δεῖ om. E   9 ξεστῶν ἢ κοτυλῶν E (ἢ κοτ. del. E²)   διδόναι E   10 ἐξαιθριάσαντας E   12 καὶ περιοδικοῖς τρόμοις addidi ex EDl coll. Pl. XXIX 79 *prodest et contra longinquas febres et torpentibus membris tremulisque*   13 στομάχοις HDi   in fine add. Di ἡ δὲ κοιλία τούτων ταριχευθεῖσα καὶ ξηρανθεῖσα ἐν σκιᾷ ἐπὶ ταῖς ὑπερκαθάρσεσι ταῖς ἀπὸ φαρμάκων κενωτικῶν ὅσον <γ' λαμβανομένη βοήθημά ἐστιν ἄριστον· ἵστησι γὰρ παραχρῆμα τὴν κένωσιν. δεῖ δὲ τρίμμα ποιεῖν καὶ ἑνοῦν μετὰ ὕδατος καὶ διδόναι.

14 num. cap. ροθ QDi: μζ E   πολυτροφώτερον τὸ ἁπαλὸν E   τροφιμώτερον HDi   15 λέκινθος F: λέκυθος reliqui   ἑφθὴ] ὀπτηθέντος E: ὀπτηθεῖσα (post περιωδυνίας transpos.) Di: om. H   18 κικίδος QE   19 δὲ om. HE   20 ὂν addidi e Di

ἐᾷ φλυκταινοῦσθαι παραχρῆμα ἐπιχρισθέν, πρόσωπά τε ἀνεπίκαυτα τηρεῖ, ἀνακόλλημά τέ ἐστι ῥευματιζομένων σὺν λιβανωτῷ κατὰ τοῦ μετώπου ἐπιτιθέμενον, φλεγμονάς τε ὀφθαλμῶν πραΰνει ἐρίῳ ἀναλημφθὲν καὶ ἐπιτεθὲν μιγέντος αὐτῷ ῥοδίνου καὶ οἰνομέλιτος. ὠμὸν δὲ ῥοφηθὲν αἱμορροίδος δήγμασι βοηθεῖ, ἀκροχλιαρὸν δὲ πρὸς κύστεως δηγμοὺς καὶ ἕλκωσιν νεφροῦ καὶ τραχυσμοὺς ἀρτηρίας καὶ αἵματος ἀναγωγὰς καὶ κατάρρους καὶ θώρακος ῥευματισμοὺς ἁρμόζει.

51 τέττιγες ὀπτοὶ ἐσθιόμενοι τοῖς περὶ κύστιν ἀλγήμασι βοηθοῦσιν.

52 ἀκρίδες ὑποθυμιώμεναι δυσουρίας, μάλιστα τὰς ἐπὶ γυναικῶν, ὠφελοῦσιν. ἡ δὲ λεγομένη ἀκρὶς τρωξαλλὶς ἢ ὄνος — ἄπτερος δέ ἐστι καὶ μεγαλόκωλος — πρόσφατος ξηρανθεῖσα σφόδρα σκορπιοπλήκτους ὠφελεῖ πινομένη σὺν οἴνῳ. χρῶνται δὲ αὐτῇ κατακόρως οἱ κατὰ Λέπτιν Λίβυες.

53 φήνης τοῦ ὀρνέου, ὃ Ῥωμαιστὶ καλοῦσιν ὀσσίφραγον, ἡ κοιλία κατ' ὀλίγον ποτιζομένη ἐξουρεῖσθαι ποιεῖν ἱστορεῖται.

54 κορυδαλλὸς ὀρνύφιόν ἐστι μικρόν, ἔχον κατὰ τῆς

9 SIM. Pl. XXX 68; Ruf. frg. 86 (394 R.).
9 EXC. Gal. XII 360 (unde Aet. II 193 Paul. Aeg. VII 3 s. v.).
11 SIM. Pl. XXX 66; D. eup. II 109 (308) Pl. XXIX 92.
11 EXC. Gal. XII 366. Paul. Aeg. VII 3 s. v.
16 SIM. Pl. XXX 68; D. eup. II 111 (309).
16 TEST. Paul. Aeg. VII 3 s. v. *κοιλίαν . . . τὴν δὲ τῆς φήνης (φάττης* ed.) *τοῦ ὀρνέου κοιλίαν κατ' ὀλίγον ποτιζομένην λίθους ἐξουρεῖν φησιν ὁ Διοσκουρίδης.*
18 SIM. Pl. XXX 62.
18 EXC. Gal. XII 360; XIV 243; Aet. II 182.

1 *πρόσωπόν τε ἀνεπίκαυτον* E 2 *τέ*] *δὲ* Di 3 *κείμενον* Di 4 *ἐν ἐρίῳ* E *ἀναληφθὲν καὶ* mg. add. E²: *καὶ ἐπιτεθὲν* om. Di 5 *οἴνου καὶ μέλιτος* Di *ῥοφηθὲν*] *ἐπιτεθὲν* E: corr. E² *δήγματι* E 6 *ἀκροχλιερὸν* E *διγμὸν* E *νεφρῶν* HDi 7 *τραχείας ἀρτηρίας* Di
9 num. cap. *ρπ* QDi: *μη* E post *τέττιγες* add. *δὲ* E *τὴν κύστιν* EDi
11 num. cap. *ρπα* QDi: *μθ* E *ἀκρίδες δὲ* E 12 post *ὠφελοῦσιν* add. *τὴν δὲ σάρκα ἀχρείαν ἔχουσιν* Di *τρωξαλλὶς* scripsi: *ἀζάραχος* E: *ἀσίρακος* Di: *ἡ ῥιξαχόσχη* F: *ἡ ριξαχόσχη* H: *usurus* Dl: *ἀσείρακος* Gal. XII 366, cf. Pl. XXX 49, ubi *troxallis* corrige coll. Ath. III 118 a. Ael. n. a. VI 19 cf. Pl. XXIX 92 13 *δέ* om. HDi *ξηρανθεῖσα δὲ* HDi 14 *σκορπιοπλήκτοις βοηθεῖ* E
16 num. cap. *ρπβ* QDi: *ν* E *φήνης* E et D. eup. l. s.: *φῖνις* Q: *φῖνις τὸ ὄρνεον* Di *ὀσσίφραγον* E et D. eup. l. s.: *ἀσούφραγον* F: *ἀσουφράσον* HDi 17 *τούτου ἡ κοιλία* Di: *οὗ ἡ κοιλία* E *κοιλία ξηρὰ* D. eup. l. s., fort. recte *προσπινομένη* E
18 num. cap. *ρπγ* QDi: *να* E *κόρυδος ἢ κορύδαλλος* E *ὀρνίθιον* HDi

κορυφῆς ὑπεροχὴν ὥσπερ ταῶνος. οὗτος βρωθεὶς ὀπτὸς κολικοὺς ὀνίνησιν.

55 *αἰθυίας* ἧπαρ σκελετευθὲν καὶ ποθὲν μεθ' ὑδρομέλιτος κοχλιαρίων πλῆθος δυεῖν ἐκβάλλει δεύτερα.

56 *χελιδόνος* νεοσσοὺς τοὺς ἐκ τῆς πρώτης νεοσσοποιίας αὐξομένης τῆς σελήνης ἀνατεμὼν εὑρήσεις ἐν τῇ γαστρὶ λίθους, ἐξ ὧν δύο λαβών, ἕνα ποικίλον καὶ τὸν ἕτερον καθαρόν, πρὸ τοῦ ἐπιψαῦσαι τῆς γῆς ἐνδήσας εἰς δέρμα δαμάλεως ἢ ἐλάφου καὶ περιάψας βραχίονι ἢ τραχήλῳ ἐπιληπτικοὺς ὠφελήσεις· πολλάκις δὲ καὶ παντελῶς ἀποκαταστήσεις. βιβρωσκόμεναι δὲ ὥσπερ αἱ συκαλλίδες ὀξυωπίας εἰσὶ φάρμακον, καὶ ἡ ἀπ' αὐτῶν δὲ τέφρα καὶ ἡ τῶν μητέρων καεισῶν ἐν χύτρᾳ μετὰ μέλιτος χρισθεῖσα ὀξυδερκίαν ποιεῖ· ἁρμόζει δὲ καὶ ἐπὶ συναγχικῶν διαχριομένη καὶ πρὸς σταφυλῆς καὶ παρισθμίων φλεγμονάς. σκελετευθεῖσαι δὲ αὗται καὶ οἱ νεοττοὶ συναγχικοὺς ὠφελοῦσι πινόμεναι μεθ' ὕδατος πλῆθος δραχμῆς μιᾶς.

57 *ἐλέφαντος* τὸ ἐκ τοῦ ὀδόντος ῥίνισμα παρωνυχίας καταπλασθὲν θεραπεύει, δύναμιν ἔχον στυπτικήν.

3 EXC. Gal. XII 336.
5 SIM. Pl. XXX 91; D. eup. I 19 (104); Alex. Trall. I 561.
5 EXC. Gal. XII 359 (cf. XIV 240), unde Aet. II 195. Paul. Aeg. VII 3 s. v.
5 TEST. Ps. Gal. de incantatione (ed. Chart. X 572): idem (sc. D.): pullis hirundineis parvis in augmento lunae acceptis et primogenitis, si fuerint in ventre scissi, duos lapides invenies, unum unius coloris et alterum diversi et oppositi, quos si ligaveris in corio vituli antequam terram tetigerint et e collo sive armo suspenderis, epilepticos levat et aliquando persanat.
10 SIM. Pl. XXIX 128; D. eup. I 41 (142) — Cels. IV 7 (130, 18). Scrib. L. 70. Asclep. (Gal. XII 942sq.); Aret. cur. ac. m. I 7 (226); Pl. XXX 33; D. eup. I 88 (137) — Pl. XXX 31 — D. eup. I 89 (138).
17 SIM. Pl. XXVIII 88. 17 EXC. Paul. Aeg. VII 3 s. v. *ἐλέφαντος*.

1 *κεφαλῆς* E *ταόνος* QDi: *ταώς* E *οὗτος* om. E *βρωθεὶς δὲ* E *κοιλιακοὺς* EDiH (corr. H²): *colicis* Dl, cf. Pl. XXX 62 Gal. l. s.
3 num. cap. *ρπδ* Q: post c. 47 transpos. Di: *νβ* E *δὲ ἧπαρ* E *ἐν ὑδρομέλιτι* E 4 *δυοῖν πλῆθος* Di *ὕστερα* E
5 num. cap. *ρπε* Q: *ρπδ* Di: *νγ* E *τοὺς* om. QE *τῆς* om. Q, at cf. D. eup. l. s. *νεοσσιᾶς* E et D. eup. l. s. 6 *αὐξανομένης* Q: *αὐξομένης* Di et D. eup. l. s.: *δυομένης τῆς σελήνης ἢ αὐξούσης* E 8 *ἐπιψαῦσαι αὐτοὺς*? *τῆς* om. Q: *γῆν* E ////*δήσας* E² 9 *ἐλάφου ἢ δαμάλου* E *καὶ* om. QE *περίαψον* E *ὠφελεῖ* E 10 *ἀποκαθίστησι* E 11 *συκαλίδες* HDi *ὀξυωπίαν ποιεῖ* Q (verba *εἰσὶ* — *ὀξυδερκίαν* om. mg. add. H²) 12 *δὲ καὶ τῶν μητέρων τέφρα* E 13 *ἐγχρισθεῖσα* E *ὀξυδορκίαν* vulgo *συναγχικοῖς* (om. *ἐπὶ*) Di 16 *μεθ' ὕδατος* om. Di <*α΄* libri
17 num. cap. *ρπϛ* QDi: *νδ* E *τὸ ἐκ τοῦ* om. HDi *ῥίνημα* E: *ῥήνισμα* Di 18 *δύναμιν δὲ* HDi *ἔχον* E: *ἔχει* reliqui quae add. *σὺν τῷ μαλακῷ ξηραίνειν* Spr. unde sumpta sint nescio

58 ἀστράγαλος ὑὸς καείς, ἄχρι ἂν ἐκ μέλανος λευκὸς πάλιν γένηται, καὶ λεῖος ποθεὶς ἐμπνευματώσεις κόλου καὶ στρόφους χρονίους παραιτεῖται.

59 ἐλάφου κέρας κεκαυμένον καὶ πεπλυμένον ἁρμόζει πλῆθος πινόμενον κοχλιαρίων δυεῖν αἱμοπτυικοῖς, δυσεντερικοῖς, κοιλιακοῖς, ἰκτερικοῖς, κύστεως ἀλγήμασι μετὰ τραγακάνθης, ῥοικαῖς δὲ γυναιξὶ μετὰ ὑγροῦ τοῦ πρὸς τὸ πάθος ἁρμόζοντος. καίεται δὲ ἐν καμίνῳ καταβληθὲν καὶ κοπὲν εἰς ὠμὴν χύτραν περιπεπλασμένην πηλῷ, ἄχρι ἂν λευκὸν γένηται. πλύνεται δὲ ὡς καδμία. τὸ δὲ τοιοῦτον ἁρμόζει πρὸς τὰ ἐν ὀφθαλμοῖς ῥεύματα καὶ ἕλκη, καὶ ὀδόντας δὲ παρατριβόμενον σμήχει. ὠμὸν δὲ θυμιαθὲν ἑρπετὰ διώκει, ἀποζεσθὲν δὲ μετ' ὄξους καὶ διακλυζόμενον παρηγορεῖ γομφιάσεις.

60 κάμπαι αἱ ἐπὶ τῶν λαχάνων γεννώμεναι ἐπιχριόμεναι σὺν ἐλαίῳ ἀδήκτους ὑπὸ τῶν ἰοβόλων φυλάσσειν λέγονται.

61 κανθαρίδες εἰς ἀπόθεσιν εὔθετοι αἱ ἀπὸ τοῦ σίτου, ἃς ἐμβαλὼν εἰς ἀκώνητον ἀγγεῖον, καὶ τὸ στόμα περιδήσας ὀθονίῳ ἀραιῷ καθαρῷ, περικατάστρεψον ἀτμῷ ζέοντος ὄξους

---

4 SIM. D. eup. II 30 (240) — Pl. XXVIII 204; D. eup. II 48 (260) — Pl. XXVIII 227 eup. II 56 (267) — eup. II 82 (293) — Pl. XXVIII 167. 241 — Pl. XXVIII 178 eup. I 69 (127) — Nic. Th. 42 (ex Apollod.); Pl. XXVIII 149. VIII 118. X 195; D. eup. II 128 (323).

4 EXC. Gal. XII 334 (unde Paul. Aeg. VII s. v. *κέρας*).

14 EXC. Paul. Aeg. VII 3 s. v.

16 SIM. Pl. XXIX 94sq. (e S. N.).

17 EXC. Gal. XII 364 (unde Aet. II 174. Paul. Aeg. VII 3 s. v.) cf. Ps. Orib. de simpl. V 65.

---

1 num. cap. *ρπζ* QDi: *νε* E *θεραπεύει καείς* E *ἄχρι ἂν* F: *ἄχρι οὗ ἂν* E: *μέχρις ἂν* reliqui *γένηται λευκός* (om. *πάλιν*) Di 3 *ἰᾶται* Di

4 num. cap. *ρπη* QDi: *νϛ* E 5 *πινόμενον πλῆθος* EDi *δυοῖν κοχλιαρίων* Di 6 *ἰκτερικοῖς*] *ὑστερικαῖς* Q, at cf. Gal. l. s. et Dl post *ἰκτερικοῖς* add. *ὠφέλιμον* E 7 *δὲ* om. E 8 *κατατμηθὲν καὶ ἐμβληθὲν* E 9 *πεπλασμένην* Di *ἄχι* (*ἂν* om.) Q: *ἄχρι ἂν* E: *ἄχρις ἂν* Di *λευκὴ* H 11 *ἕλκη καὶ ῥεύματα* Di *δὲ* om. QDi 12 *σμήχει παρατριβόμενον* E 13 *γομφαλγίας* E: *γομφιάσεις* reliqui: *dolores dentium* Dl, cf. Pl. XXVIII 178

14 num. cap. *ρπθ* QDi: *νζ* E *κάμπαι δὲ* E *περιχριόμεναι* EDi, at cf. Paul. Aeg. VII 3 s. v. 15 *ἀπὸ* libri: *ὑπὸ* Paul. Aeg. l. s.: correxi *φυλάττουσιν* E: *φυλάττειν* HDi

17 num. cap. *ϟ* QDi: *νη* E *κανθαρίδες δὲ* E 18 *βαλὼν* EDi 19 *καθαρῷ* om. E *περικατάστεψον* F *ζέοντι ὄξει δριμυτάτῳ* H

δριμυτάτου καὶ κράτει, ἕως ἂν πνιγῶσιν, εἶτα διαπείρας λίνῳ ἀποτίθεσο. ἐνεργέστεραι δέ εἰσιν αἱ ποικίλαι, μηλίνας ἐγκαρσίους ζώνας ἔχουσαι ἐν τοῖς πτεροῖς, ἐπιμήκεις τὸ σῶμα, ἁδραί, ἐμπίμελοι ὡς αἱ σίλφαι· ἄτονοι δὲ αἱ μονοχρώματοι. ὡσαύτως δὲ ἀποτίθενται καὶ αἱ βουπρήστεις, εἶδος οὖσαι κανθαρίδων, καὶ αἱ πιτύιναι δὲ κάμπαι· καὶ αὗται ἐπὶ κοσκίνου ἐπαιωρουμένου θερμοσποδιᾷ φωγνύμεναι ἐπὶ βραχὺ ἀποτίθενται.

2 δύναμις δὲ αὐτῶν κοινή, σηπτική, θερμαντική, ἑλκωτική, ὅθεν μείγνυται φαρμάκοις τοῖς πρὸς τὰ καρκινώδη, καὶ λέπρας καὶ λειχῆνας ἀγρίους θεραπεύουσιν· ἄγουσι δὲ καὶ ἔμμηνα πεσσοῖς μαλακτικοῖς μιγεῖσαι. ἔνιοι δὲ ἱστόρησαν τὰς κανθαρίδας καὶ ὑδρωπικοῖς βοηθεῖν, μειγνυμένας ἀντιδότοις, ὡς οὔρησιν κινούσας. οἱ δὲ τὰ πτερὰ αὐτῶν καὶ τοὺς πόδας τοῖς πιοῦσιν αὐτὰς ἀντιφάρμακον ἀνέγραψαν.

62 σαλαμάνδρα εἶδός ἐστι σαύρας νωχελές, ποικίλον, μάτην πιστευθὲν μὴ καίεσθαι. δύναμιν δὲ ἔχει σηπτικήν, ἑλκωτικήν, θερμαντικήν. μείγνυται δὲ σηπταῖς ⟨καὶ ἑλκωτικαῖς δυνάμεσι⟩ καὶ λεπρικαῖς, ὡς ἡ κανθαρίς, καὶ ἀποτίθεται

---

8 SIM. Pl. XXIX 95; D. cup. I 128 (158) — Hipp. VII 315. 415. VIII 119. 116 saepius; Pl. l. s. 95 — [Hipp.] *π. δ. ὀξ.* (*ν*) 58 (175 K.); Pl. XXIX 95 — Pl. l. s. — D. eup. II 152 (332).

15 SIM. Pl. XXIX 76 (e S. N.) cf. Pl. X 188; Arist. h. a. V 19, 108. Theophr. de igne 60; Nic. Th. 818 cum schol. (cf. schol. Nic. Al. 537); Gal. I 674; Ael. n. a. II 31; Aet. XIII 56; Geop. XV 1, 34 — Cels. V 7. 8. — Pl. l. s. eup. I 103 (145).

15 EXC. Orib. XII s. v. (*σαλαμάνδρα — ἐλαίῳ*); Gal. XII 365 (unde Paul. Aeg. VII 3 s. v.).

---

1 *κράτει* post *πνιγῶσιν* colloc. Di *ἔπειτα* E 2 *ἐνεργέσταται* EDi *καὶ μηλίνας* Di *ἐπικαρσίας* H: *ἐπικαρσίους* FEDi: correxi coll. Gal. l. s. 3 *ἔχουσαι ζώνας* E *ἐν τοῖς πτεροῖς* om. Q: *μηλίνας ἐγκαρσίας ζώνας ἔχουσιν ἐν τοῖς πτεροῖς* Gal. l. s. *ὑπομήκεις* E 4 post *δὲ* add. *εἰσιν* Di: post *δὲ* c. 4 litt. del. E^{2} *μονόχρωμοι* EDi post *μονοχρ.* nov. cap. ($\overline{\nu\vartheta}$) inc. E: tit. *περὶ βουπρήστου* (num. cap. om.) add. Di 5 post *κανθαρίδων* nov. cap. ($\overline{\xi}$) incip. E 6 *καὶ αἱ πιτυοκάμπαι* (*αἱ* add. E^{2} in ras.) EDi: ⟨*αἱ*⟩ *ἐπὶ ταῖς πίτυσι κάμπαι* Gal. *καὶ αὗται δὲ* Di: *αὗται δὲ καὶ* E *αἰωρουμένου* E 7 *μιγνύμεναι καὶ φωγνύμεναι* E 8 *ἑλκωτική, θέρμης ἑλκητική* Di: *ἑλκωτικὴ καρωτική* mg. add. E^{2} 9 *πρὸς* om. Di 10 *ἀγρίας* E *θεραπεύουσιν*] *ποιοῦσιν* E *ἕλκουσιν καὶ* E 12 *ὑδρωπικοὺς ὠφελεῖν* E *ὡς* om. E *κινούσαις* E: *κινοῦσαι* QDi: corr. Spr. 13 *αὐτῶν* post *πόδας* colloc. E *αὐτὰς* om. E: *τὰ σώματα πιοῦσιν αὐτῶν* Gal.

15 num. cap. $\overline{\rho\varsigma\alpha}$ QDi: $\overline{\xi\alpha}$ E *ἐστιν εἶδος* E (corr. E^{2}) *ἔστι δὲ νωχελὲς* Di *νωχελές* (mg. *ἀργόν* add.) E 16 *δύναμιν ἔχον* E *ἑλκωτικήν, θερμαντικήν* om. F: *σηπτικήν, ἑλκωτικήν* om. E (*σηπτικὴν καὶ* mg. add. E^{2}): *virtus est ei stiptica et vulneratricia et calida* Dl 17 *σηπτικαῖς* E *καὶ ἑλκωτικαῖς δυνάμεσι* addidi ex Orib.

ὁμοίως. ψιλοῖ δὲ καὶ τρίχας συντακεῖσα ἐλαίῳ· φυλάσσεται καὶ ἐν μέλιτι ἐξεντερισθεῖσα τῶν ποδῶν καὶ τῆς κεφαλῆς ἀφαιρεθέντων εἰς τὴν αὐτὴν χρῆσιν.

63 ἀράχνη τὸ ζῷον, ὃ ὁλκὸν ἢ λύκον ἔνιοι καλοῦσι, συμμαλαχθεῖσα σπληναρίῳ καὶ ἐμπλασθεῖσα εἰς ὀθόνιον προστεθεῖσά ⟨τε⟩ τῷ μετώπῳ ἢ τοῖς κροτάφοις τριταικὰς περιόδους ὑγιάζει. τὸ δὲ ὕφος αὐτῆς ἐπιτιθέμενον αἷμα ἵστησι καὶ ἀφλέγμαντα τηρεῖ τὰ ἐπιπόλαια τῶν ἑλκῶν.

ἔστι δὲ καὶ ἕτερον εἶδος ἀράχνης, κατασκευάζον τὸν ὑμένα λευκόν, πυκνόν, ὃ ἱστορεῖται ἐνδεόμενον εἰς κυστίδα καὶ περιαπτόμενον βραχίονι τεταρταικὰς περιόδους θεραπεύειν· συνεψηθὲν δὲ ῥοδίνῳ ὠταλγίαις βοηθεῖ ἐγχεόμενον.

64 σαύρας ἡ κεφαλὴ λεία ἐπιτεθεῖσα σκόλοπας ἀνάγει καὶ πάντα τὰ ἐμπεπηγότα· αἴρει δὲ καὶ μυρμηκίας καὶ ἀκροχορδόνας καὶ ἥλους. τὸ δὲ ἧπαρ αὐτῆς ἐντεθὲν τοῖς τῶν ὀδόντων βρώμασιν ἀπονίαν ποιεῖ. ὅλη δὲ ἀνασχισθεῖσα καὶ ἐπιτεθεῖσα σκορπιοπλήκτους κουφίζει.

---

4 SIM. Pl. XXIX 85 cf. XI 80; Nic. Th. 734 cum schol.; Aet. XIII 20 — Pl. XXX 104; D. eup. II 20 (234) — Pl. XXX 112 eup. I 208 (202) — Pl. XXIX 138 eup. I 57 (121).

4 EXC. Gal. XII 343.

4 TEST. Paul. Aeg. VII 3 s. v. *ἀράχνην τὸ ζῷον συμμαλαχθεῖσαν ἐμπλάστρῳ καὶ ἐπιτεθεῖσαν μετώπῳ καὶ κροτάφοις τριταικὰς περιόδους ἀπολύειν φησὶ Διοσκουρίδης. τὸ δὲ ὕφος αὐτῆς ἐπιτιθέμενον αἱμορραγίαν ἵστησι καὶ διαφορητικῆς ἐστι δυνάμεως.*

13 SIM. Pl. XXX 122; D. eup. I 167 (180) — Pl. XXX 81 eup. I 176 (185) — Pl. XXX 80 eup. I 175 (185) — Pl. XXX 22 eup. I 71 (130) — Pl. XXIX 91 eup. II 122 (321).

13 EXC. Gal. XII 334. 336; Paul. Aeg. VII s. v. *σαύρας, κεφαλαί, ἧπαρ.*

---

1 *ὁμοίως δὲ καὶ* (*καὶ* del. E[2]) *ψιλοῖ τρίχας* E *τακεῖσα μετ' ἐλαίου* Di *ἐν ἐλαίῳ* E 2 *δὲ* ante *καὶ* (pr.) add. E

4 num. cap. *ρϛβ* QDi: *ξβ* E *ὃ ἔνιοι λύκον ἢ λευκὸν καλοῦσιν* E *ὁλκὸν ἔνιοι* HDi ad *ὁλκὸν* cf. Hes. s. v. *ὁλκοί* *λύκιον* QDi *συναναμαλαχθεῖσα* D. eup. II 20 (234): fort. recte 5 *σπληνίῳ* HDi 6 *τε* addidi ex E *τῷ* et *τοῖς* om. EDi, cf. D. eup. l. s. 7 *ἐφίστησιν* E 9 *τὸν* om. E 10 *λευκόν, λεπτὸν καὶ* Di *ὃ*] *ὡς* E *ἐνδεόμενος* E *κυστίδα* F: *κυτίδα* reliqui 11 *εἰς βραχίονα* E *θεραπεύει* E *συνεψηθεῖσα* E 12 *ὠταλγίας ὠφελεῖ ἐνχεόμενος* E

13 num cap. *ρϛγ* QDi: *ξγ* E *ἡ* om. FE *ἐντεθεῖσα* Q, at cf. D. eup. l. s. *ἀνάγει* Q: *ἐξάγει* EDiGal. l. s. Paul. Aeg. l. s. 14 *ἐξαίρει* H: *ἀναιρεῖ* E *ἀκροχορδόντας λεία* E 15 *ἥλους*] *ἰόνθους* Di *αὐτῶν* H 17 *κουφίζει καὶ ἐπιτεθεῖσα* E

65 *σήψ*, ἣν ἔνιοι Χαλκιδικὴν σαύραν ἐκάλεσαν, ἐν οἴνῳ ποθεῖσα τοὺς ὑπ᾽ αὐτῆς δηχθέντας ἰᾶται.

66 *σκίγκος*· ὁ μέν τίς ἐστιν Αἰγύπτιος ὁ δὲ Ἰνδικὸς ἄλλος ἐν τῇ Ἐρυθρᾷ ⟨θαλάσσῃ⟩ γεννώμενος, ἕτερος δὲ ἐν τῇ Γαιτουλίᾳ τῆς Μαυρουσιάδος εὑρίσκεται. ἔστι δὲ κροκόδειλος χερσαῖος, ἰδιογενής, ταριχευόμενος ἐν καρδάμῳ.

φασὶ δὲ δύναμιν ἔχειν ποθὲν τὸ περὶ τοὺς νεφροὺς αὐτοῦ μέρος, ὅσον δραχμῆς ⟨μιᾶς⟩ πλῆθος μετ᾽ οἴνου, ὁρμητικὴν πρὸς ἀφροδίσια, ἀποπαύεσθαι δὲ τὴν ἐπίτασιν τῆς προθυμίας φακοῦ ἀφεψήματι μετὰ μέλιτος πινομένῳ ἢ θρίδακος σπέρματι μεθ᾽ ὕδατος· μείγνυται δὲ καὶ ἀντιδότοις.

67 *γῆς ἔντερα* λεῖα ἐπιτεθέντα νεύρων διακοπὰς κολλᾷ· λύειν δὲ ⟨δεῖ⟩ διὰ τρίτης· ἑψηθέντα δὲ σὺν χηνείῳ στέατι διαθέσεις ὤτων ἐγχυματιζόμενα θεραπεύει. συνεψηθέντα δὲ ἐλαίῳ καὶ ἐγχεόμενα εἰς τὸ ἀντικείμενον οὖς ὀδονταλγίαις βοηθεῖ· ἄγει δὲ καὶ οὖρα λεῖα πινόμενα σὺν γλυκεῖ.

68 *μυογαλῆ* ἀνασχισθεῖσα καὶ ἐπιτεθεῖσα ἄκος ἐστὶ τοῦ ἰδίου δήγματος.

---

1 SIM. Pl. XXIX 102.

1 EXC. Gal. XII 366. Paul. Aeg. VII s. v. *σήψ* (*σῆψις* ed.), *ἣν ἔνιοι Χαλκιδικὴν σαύραν ἐκάλεσαν, ἐν οἴνῳ ποθεῖσα τοὺς ὑπὸ αὐτῆς δηχθέντας ἰᾶται.*

3 SIM. Pl. XXVIII 119sq. (e S. N. cf. Herm. XXIV 539); D. eup. II 96 (301).

3 EXC. Orib. XII s. v. (*σκίγκος — καρδάμῳ*); Gal. XII 341 (unde Aet. II 191 Paul. Aeg. VII 3 s. v.).

12 SIM. Pl. XXX 115; D. eup. I 162 (178) — Apollon. (Gal. XII 367) Pl. XXIX 135 eup. I 60 (123) — Pl. XXX 23 — Pl. XXX 66.

12 EXC. Gal. XII 363 (unde Paul. Aeg. VII 3 s. v.).

17 SIM. Pl. XXIX 89; D. cup. II 123 (322).

17 EXC. Gal. XII 365.

---

1 num. cap. σϙδ QDi: ξδ E   *σῆψιν ἔνιοι* Q: *σήψην ἔνιοι* E   post *ἐκάλεσαν* add. E *ἔνιοι δὲ καὶ σκόλοπας· ταύτης ἡ κεφαλὴ λεία*   2 *ποθεῖσα* E: *ἐπιτεθεῖσα* corr. E²   *ὑπὸ αὐτὴν* F   *ὠφελεῖ* E

3 num. cap. ϱϙε QDi: ξε E   *ὁ δὲ ἕτερος* E   *ἄλλος*] *ὁ δὲ* E   4 *θαλάσσῃ* addidi ex E   *ἕτερος*] *ἄλλος* E   *Γαιτουλίᾳ*] *λυδίᾳ* QDi: *ἀπουλεία ἢ λυδία* E: *ἀπολλωνίᾳ* Orib.: correxi   6 *τεταριχευμένος* E   *ἐν* om. E   7 *περὶ*] *ἐπὶ* Q, cf. Gal. l. s.   8 <· α *μετ᾽ οἴνου πινόμενον* (*ν* tert. in ras.) E   *μιᾶς* addidi   10 *πινομένου* Q

12 num. cap. ϱϙϛ QDi: ξϛ E   *διακοπὰς* E et D. eup. l. s.: *ἀποκοπὰς* reliqui   13 *λύειν* E: *λύει* reliqui   post *δὲ* (pr.) add. *καὶ* Di   *δεῖ* addidi   *διὰ*] *δὴ* F: om. HDi   *τρίτης*] *τριῶν* E: *τριταίους* reliqui: correxi coll. D. eup. I 154 (173)   *σὺν ὕδατι καὶ χηνείῳ* E   *χοιρείῳ* D. cup. I 60 (123): *χηνείῳ* Gal. l. s.   post *διαθέσεις* del. *ἢ λιθίασις* E²   15 *ὀδονταλγίαις* E (*ις* del. E²)

17 num. cap. ϱϙζ QDi: ξζ E   *μυγάλη αὕτη* E: *μυγάλη* F (in ind.): *μυογάλη* reliqui

69 μύας τοὺς κατοικιδίους ἀνασχισθέντας σκορπιοπλήκτοις ὠφελίμως ἐπιτίθεσθαι ὁμολογεῖται, βρωθέντας δὲ ὀπτοὺς ὑπὸ παιδίων ἀναξηραίνειν τὸ ἐν τοῖς στόμασιν αὐτῶν σίελον.

70 γάλα κοινῶς μὲν πᾶν εὔχυμον, τρόφιμον, μαλακτικὸν κοιλίας, φυσητικὸν στομάχου καὶ ἐντέρων· ὑδαρέστερον μέντοι τὸ ἐαρινὸν τοῦ θερινοῦ, καὶ τὸ ἀπὸ χλωρᾶς νομῆς μᾶλλον μαλακτικὸν τῆς κοιλίας. ἔστι δὲ καλὸν γάλα τὸ λευκὸν καὶ ὁμαλὸν τῇ παχύτητι καὶ συστρεφόμενον, ἐπειδὰν ἐπισταγῇ ὄνυχι. τὸ δὲ αἴγειον ἧττον κοιλίας ἅπτεται διὰ τὸ τὰς αἶγας στυφούσῃ νομῇ τὸ πλεῖστον χρῆσθαι, σχίνῳ καὶ δρυὶ καὶ θαλλῷ καὶ τερεβινθίνῃ, ὅθεν καὶ εὐστόμαχον τυγχάνει. τὸ δὲ προβάτειόν ἐστι παχύ τε καὶ γλυκὺ καὶ λιπαρόν, οὐχ οὕτως δὲ εὐστόμαχον. τὸ μέντοι ὄνειον καὶ βόειον καὶ ἵππειον εὐκοιλιώτερα καὶ ταρακτικὰ γίνεται. πᾶν δὲ γάλα κοιλίας καὶ στομάχου ἀνα- 2
τρεπτικόν, ὅπου ἐστὶ νομὴ σκαμμωνία ἢ ἐλλέβορος ἢ λινόζωστις ἢ κληματίς, ὡς καὶ ἐν τοῖς Οὐεστίνοις ὄρεσιν ὑφ' ἡμῶν ἱστόρηται· αἱ γὰρ αἶγες νεμόμεναι τοῦ λευκοῦ ἐλλεβόρου τὰ φύλλα αὐταί τε ἐμοῦσι κατὰ τὴν πρώτην ἀπόλαυσιν τῆς πόας καὶ τὸ γάλα ἀναλυτικὸν στομάχου καὶ ναυτίας ποιητικὸν κατασκευά-

---

1 SIM. Pl. XXIX 91; D. eup. II 122 (321) — eup. I 74 (131).
1 EXC. Gal. XII 365.
5 SIM. Pl. XXVIII 123sq. (e S. N.) cf. XI 236sq.; Ruf. (cd. R. 314. 486. 491. 543).
5 EXC. Gal. XII 263sq. cf. VI 681; Aet. II 86sq. Sim. S. s. v. (31 L.).

---

1 num. cap. ρϙη QDi: ξη E 3 ὑπὸ] ἐπὶ E παιδίων E et D. eup. l. s.: παίδων reliqui αὐτῶν post σίελον colloc. E: om. H
5 num. cap. ρϙθ QDi: ξθ E εὔχυλον E (εὔχυμον mg. add. E²) 6 φυσσικὸν H: φυσικὸν F 7 μᾶλλόν ἐστι Di ὑπακτικὸν E 8 τῆς om. Di 9 ὄνυχος H: ὄνυ(χ supcrscr.) F 11 νομῇ] πόᾳ E ἐπὶ τὸ πλεῖστον E: τὸ πλέον (post αἶγας colloc.) Di δρυὶ καὶ σχίνῳ EDi σχοίνῳ Q καὶ (alt.) om. E θαλλῷ F: θαλαττίῳ E (del. E²): θαλλίᾳ H: θαλίᾳ Di τερμίνθῳ Di: τερμινθίνῃ (η in ras.) E 13 τραχύ E (corr. E²) τε om. Q πάνυ λιπαρὸν EDi: πάνυ dcl. E² οὕτω HDi 14 βόειον καὶ ὄνειον Di ἵππειον καὶ βόειον E εὐκοιλιότερον E καὶ ταρακτικὰ om. Q: ταρακτικότερον δὲ E, cf. Dl *ventrem mollit, hominem turbat* 15 γίνεται om. Di post γίνεται add. δὲ E² (om. δὲ post πᾶν pos.) 16 σκαμμωνίας ἢ ἐλλεβόρου ἢ λινοζόστης ἢ κληματίτης E ἢ (pr.) om. F 17 ὥσπερ vulgo ἰουστίνοις libri: corr. nescio quis ἱστορεῖται Q 18 post αἶγες add. ἱστόρηνται E 19 αὐταί E²: αὗται rcliqui ἐκβλάστησιν αὐτῶν Di 20 ἀνατρεπτικὸν Di κατασκευάζουσιν] γίνεται Di

ζουσιν. ἑψηθὲν δὲ πᾶν γάλα στεγνωτικὸν γίνεται κοιλίας, καὶ
μάλιστα τὸ διαπύροις κόχλαξιν ἐξικμασθέν. κοινῶς δὲ δοκεῖ
βοηθεῖν ταῖς ἐντὸς ἑλκώσεσι, μάλιστα δὲ βρόγχου, πνεύμονος,
ἐντέρων, νεφρῶν, κύστεως, καὶ πρὸς τοὺς τῆς ἐπιφανείας κνησ-
3 μούς, ἐξανθήματα, κακοχυμίας. δίδοται δὲ νεαρὸν μετὰ μέλιτος
ὠμοῦ καὶ ὕδατος ὀλίγου συνανακραθέντος, μειγνυμένων καὶ
ἁλῶν. ἀφυσότερον δὲ γίνεται ἀποζεσθὲν ἅπαξ. τὰ δὲ τῆς
κοιλίας μεθ᾽ ἑλκώσεως ῥεύματα μέχρι ἡμίσεως τοῖς κόχλαξιν
ἑψηθὲν ὠφελεῖ.

ἔχει δὲ πᾶν γάλα παρεμπεπλεγμένον τὸν ὀρρόν, ὃς σχι-
ζόμενος πρὸς κάθαρσιν εὐτονωτέραν ἁρμόζει, διδόμενος ἐφ᾽ ὧν
δίχα δριμύτητος ἔκκρισιν βουλόμεθα ποιήσασθαι, ὡς ἐπὶ μελαγ-
χολικῶν, ἐπιληπτικῶν, λεπριώντων, ἐλεφαντιάσεως, ἐξανθη-
4 μάτων τῶν περὶ ὅλον τὸ σῶμα. σχίζεται δὲ τὸ γάλα ζεννύ-
μενον ἐν καινῇ χύτρᾳ κεραμεᾷ καὶ κινούμενον κλάδῳ συκίνῳ
νεοτμήτῳ, καὶ μετὰ τὸ ζέσαι δὶς ἢ τρὶς ἐπιρραίνεται ὀξυμέλιτος
κύαθος πρὸς ἑκάστην κοτύλην τοῦ γάλακτος· οὕτως γὰρ διορί-
ζεται ὁ ὀρρὸς τοῦ τυρώδους. δεήσει δὲ πρὸς τὸ μὴ ὑπερζεῖν
τὸ γάλα ἐν τῇ ἑψήσει σπόγγῳ ἐκ ψυχροῦ συνεχῶς ἀποψᾶν τὸ
χεῖλος τῆς χύτρας καὶ ξέστην ἀργυροῦν πλήρη ὕδατος ψυχροῦ
καθιέναι. ποτίζεται δὲ ὁ ὀρρὸς ἐκ διαστήματος κατὰ κοτύλην
⟨μίαν⟩ ἄχρι πέντε κοτυλῶν, ἐν δὲ τοῖς μεταξὺ διαστήμασι περι-
πατείτωσαν οἱ πίνοντες.

5 ποιεῖ δὲ τὸ πρόσφατον γάλα καὶ πρὸς τοὺς ἀπὸ τῶν θανα-

---

1 SIM. Pl. XXVIII 124sq.; D. eup. II 48 (260) II 39 (253) II 102 (303) II 107 (305) I 123 (155).

14 SIM. Pl. XXVIII 126; Aet. II 90, cf. Gal. XII 266.

24 SIM. Pl. XXVII 127; D. eup. II 152 (332) 154 (333) 153. 155. 151. 149. 148 (331) I 77 (132) II 53 (265).

---

1 *τῆς κοιλίας* E 2 *ἐξικμασθέν* EDi: *ἑψηθέν* QDl 3 *βοηθεῖν δοκεῖ* E: *καὶ ταῖς ἐντὸς ἑλκώσεσι βοηθεῖ* Di 5 *καὶ κακοχυμίας* (ditt.) Di *δὲ* om. Di *δι᾽ ὅλον νεαρὸν* E *μετὰ* om. QE 6 *ὠμοῦ συναναKραθέντος καὶ ὕδατος ὀλίγου παραπλακέντος* E *ὀλίγου* post *συνανακρ.* colloc. Di *ἀνακραθέντος* Q 7 *ἀφυσσώτερον* QDi 8 *ἄχρι* E: *ἄχρις* Di 9 *ἀφεψηθὲν* E 10 mg. add. *περὶ ὀρροῦ γάλακτος* Di *παραπεπλεγμένον* EDi *τὸν* om. Q: *τὸν λεγόμενον* EDi *ὅστις* E 11 *εὐτονωτερον* (ω in ras.) E: *εὐτονώτερος γίνεται* Di 12 *ποιῆσαι* Di 13 *λέπρας* EDi *καὶ ἐξανθημάτων* Di 14 *τῶν* om. Q *σχίζεται*] mg. add. *περὶ σχιστοῦ γάλακτος* Di: nov. cap. (ō) inc. E *τὸ* om. Di: *πᾶν* vulgo 15 *κεραμέα* E: *κεραμίᾳ* reliqui (ut videtur) *καὶ* om. E *κράδη συκίνη* E 17 *οὕτω* HDi *γὰρ* add. E² *χωρίζεται* E 19 *περιψᾶν* E 21 *πότιζε δὲ τὸν ὀρὸν* E 22 *μίαν* addidi ex E *μέχρι* E 23 *πίνοντες* E: *πιόντες* reliqui 24 *πρὸς τὸ πρόσφατον* Q

σίμων φαρμάκων δηγμοὺς καὶ πυρώσεις, ὡς κανθαρίδος ἢ πιτυοκάμπης ἢ βουπρήστεως ἢ σαλαμάνδρας ἢ ὑοσκυάμου ἢ δορυκνίου ἢ ἀκονίτου ἢ ἐφημέρου. πρὸς δὲ τοῦτο μάλιστα τὸ βόειον συμφέρει, ἰδίως ἁρμόζον, διακλύζεται δὲ καὶ πρὸς ἑλκώσεις στόματος καὶ παρισθμίων εἰς ἀναγαργάρισμα. ἰδίως δὲ τὸ ὄνειον διακλυζόμενον οὖλα καὶ ὀδόντας κρατύνει, τοὺς δὲ τῆς κοιλίας μεθ' ἑλκώσεως ῥευματισμοὺς καὶ τεινεσμοὺς προβάτειον ἢ βόειον ἢ αἴγειον ἵστησιν ἑψηθὲν διὰ κοχλάκων. ἐγκλύζεται δὲ καὶ καθ' ἑαυτὸ καὶ μετὰ πτισάνης ἢ χόνδρου χυλοῦ, ἱκανῶς πραῦνον τὴν τῶν ἐντέρων δῆξιν· ἐγκλύζεται καὶ μήτρα εἱλκωμένη.

τὸ δὲ τῆς γυναικὸς γάλα γλυκύτατόν ἐστι καὶ τροφιμώ- 6
τατον. ὠφελεῖ δὲ θηλαζόμενον στομάχου δῆξιν καὶ φθίσιν, ἁρμόζει καὶ πρὸς λαγωοῦ θαλασσίου πόσιν. μιγὲν δὲ λιβανωτῷ λείῳ ἐνστάζεται τοῖς ἐκ πληγῆς αἱμαχθεῖσιν ὀφθαλμοῖς, καὶ ποδαγρικοὺς ὠφελεῖ σὺν κωνείῳ καὶ κηρωτῇ καταχριόμενον. ἄθετον δὲ πᾶν γάλα σπληνικοῖς, ἡπατικοῖς, τοῖς τὸ νευρῶδες πεπονθόσι, πυρέσσουσι, κεφαλαλγοῦσι, σκοτωματικοῖς, ἐπιληπτικοῖς, εἰ μή ποτε καθάρσεως ἕνεκα προσφέροιτό τις, ὡς ὑποδέδεικται, τὸ σχιστόν. ἱστοροῦσι δέ τινες τὸ τῆς πρωτοτόκου κυνὸς γάλα ψιλοῦν τρίχας καταχρισθέν, καὶ θανασίμων φαρμάκων ἀντιφάρμακον ⟨εἶναι⟩ ποθὲν καὶ τεθνηκότων ἐμβρύων ἐκβόλιον.

---

12 SIM. Pl. XXVIII 72sq. — D. eup. II 5 (228) Pl. XXVIII 72 — eup. II 38 (251) Pl. l. s. 75 — eup. II 156 (333) Pl. l. s. 74 — eup. I 38 (110) Pl. l. s. 72 — eup. I 235 (217) Pl. l. s. 74.
17 SIM. Pl. XXVIII 130; D. eup. I 25 (106) — Pl. XXX 133. 123.
20 EXC. Gal. XII 269.

---

2 *σαλαμάνδρας ἢ βουπρήστεως* EDi *ὑοσκυάμου* libri: *ἀρσενικοῦ* Lac., at cf. D. eup. II 151 (332) 3 *τούτοις* E: fort. *ταῦτα* 5 *στόματος* E: *στομάτων* reliqui 7 *βόιον ἢ προβάτιον* E 8 *ἑψηθέν τε* E 9 *δὲ*] *τε* E *πτισάνης χυλοῦ ἢ χόνδρου* E 10 *δὲ καὶ* EDi 11 *ἡλκωμένη* QDi: *ἑλκωθεῖσαι* E: correxi 12 mg. add. *περὶ γάλακτος γυναικός* Di *γλυκύτερόν ἐστιν καὶ τροφιμώτερον* E 13 *καὶ* om. QE 14 *καὶ*] *δὲ καὶ* E *θαλασσίου λαγωοῦ* E 15 *φαρμαχθεῖσιν ἢ φοινιχθῆσιν* E (del. et *αἷμα* superscr. E²) 16 *ὠφελεῖ* post *καταχριόμενον* transp. E *κωνείῳ*] *κωνίω ἢ μηκωνίω* E: *μηκωνίῳ* reliqui: *μετὰ κωνείου* D. eup. II 235 (217): *cum cicuta* Pl. XXVIII 74: correxi 17 *τοῖς τὸ — κεφαλαλγοῦσι* post *ἐπιληπτικοῖς* colloc. Di 18 *πάσχουσι* Di *πυρέσσουσι — ἐπιληπτικοῖς* om. E *κεφαλαλγίαις* F *καὶ ἐπιλ.* H 19 *τις* post *ἕνεκα* eolloc. EDi *προσφέροι* F: *προσφέρει* HDi *ὡς*] *οἷον* E *ὡς ὑποδέδεικται* post *σχιστόν* colloc. Di 22 *φαρμάκων* om. E *εἶναι* addidi

71 τυρὸς νεαρὸς δίχα ἁλῶν ἐσθιόμενος τρόφιμος, εὐστόμαχος, εὐανάδοτος, σαρκῶν ποιητικός, κοιλίας μετρίως μαλακτικός, διαφέρων αὐτοῦ αὐτὸς παρὰ τὴν τοῦ γάλακτος φύσιν, ἀφ᾽ οὗ σκευάζεται. ἑψηθεὶς δὲ καὶ ἐκθλιβείς, εἶτα ὀπτηθεὶς σταλτικὸς γίνεται κοιλίας· ὠφελεῖ δὲ καὶ καταπλασσόμενος ὀφθαλμῶν φλεγμονὰς καὶ ὑπώπια. ὁ δὲ νεοαλὴς ἀτροφώτερος ἐσθιόμενος, πρὸς καθαίρεσιν σαρκῶν ἐπιτήδειος, κακοστόμαχος, λυπῶν κοιλίαν καὶ ἔντερα. ὁ δὲ παλαιότερος κοιλίας σταλτικός, ὁ δὲ ἐξ αὐτοῦ ὀρρὸς κυνῶν τροφιμώτατος.

ἡ δὲ καλουμένη ἱππάκη τυρός ἐστιν ἵππειος, βρωμώδης καὶ πολύτροφος, ἀναλογῶν τῷ βοείῳ. ἔνιοι δὲ ἱππάκην ἐκάλεσαν τὴν ἵππειον πιτύαν.

72 βούτυρον σκευάζεται καλὸν ἐκ τοῦ λιπαρωτάτου γάλακτος· τοιοῦτον δέ ἐστι τὸ προβάτειον. γίνεται δὲ καὶ ἐκ τοῦ αἰγείου, ἐν ἀγγείοις κινουμένου τοῦ γάλακτος καὶ χωριζομένου τοῦ λίπους.

ἔχεται δὲ δυνάμεως μαλακτικῆς, ἐλαιώδους, ὅθεν κοιλίαν

---

1 SIM. [Hipp.] *π. δ.* II 51 (VI 554); *π. δ. ὀ. ν.* 46 (169 K.) Pl. XXVIII 131 sq. (e N. S.) cf. XI 240 sq. D. eup. II 49 (263) I 29 (108) I 56 (119) II 8 (229).

1 EXC. Gal. XII 269. VI 696. 765. Aet. II 101 (e Gal.) cf. Sim. S. s. v. (104 L.)

10 SIM. Pl. XXVIII 131. 205 cf. [Hipp.] *π. ν.* IV 51 (VII 584 L.); *π. ἀ. ὑ. τ.* 18 (61 K.)

13 SIM. Pl. XXVIII 133 (e S. N.) — Pl. XXVIII 203 — D. eup. II 135 (326) Pl. XXVIII 160 — eup. I 74 (131) Pl. XXVIII 257 — Pl. XXVIII 190 — XXVIII 183 — eup. II 71 (285) Pl. XXVIII 252 — eup. II 52 (264) Pl. XXVIII 205 — eup. I 164 (178) 187 (193) Pl. XXVIII 241 — eup. I 29 (108).

13 EXC. Orib. XI s. v. (*βούτυρον — λίπους, συνάγεται — χρῶ*); Gal. XII 272 (unde Aet. II 104. Paul. Aeg. 3 s. v.), cf. Ps. Orib. de simpl. V 42.

14 TEST. Gal. XII 272: *θαυμάζω δ᾽ ὅπως ὁ Διοσκουρίδης ἐκ προβατείου φησὶν αὐτὸν* (sc. *τὸν β.*) *καὶ αἰγείου τὴν γένεσιν ἔχειν.*

---

1 num. cap. $\overline{\sigma}$ QDi: $\overline{o\alpha}$ E: *μη′* Dl   *τυρὸς δὲ* E   *ἐσθιόμενος* om. E   *εὐνανάδοτος εὐστόμαχος* E   3 *διαφέρων — σκευάζεται* om. E   5 *καὶ* om. HDi   6 *ὀφθαλμῶν* om. H   *νεοαλὴς* F: *νε//αλὴς* E (2 litt. del. E²): *νεαλὴς* reliqui: *caseus alitu* (i. e. sallitus) Dl, cf. D. eup. II 8 (229)   *ἀτροφώτερος* E: *εὐτροφώτερος* reliqui: *non tantum carnes replet* Dl   7 *καὶ πρὸς* Di   8 *στατικός* E   9 *καὶ ὁ ἐξ* HDi   10 mg. add. *περὶ ἱππάκης* Di   *ἵππιος ἐστὶν τυρὸς* E   post *βρωμώδης* del. *καὶ πολύγονος* E²   ad rem cf. Pl. XXVIII 131 *Sextius eosdem effectus equino quos bubulo* (sc. caseo) *tradit*   12 ad rem cf. D. II 75

13 num. cap. $\overline{\sigma\alpha}$ QDi: $\overline{o\beta}$ E: *μθ′* Dl   15 *ἀγγίῳ* E   17 *δὲ*] *γὰρ καὶ* E   *μαλακτικῆς*] *γαλακτινῆς* coni. Marc., at cf. Dl *virtus est ei maloptica*, Pl. l. s. *natura eius adstringere, mollire*   *κοιλίας* Di

τε ἐκλύει πλεῖον ποθὲν καὶ πρὸς τὰ θανάσιμα μὴ παρόντος
ἐλαίου χρησιμεύει. μιχθὲν δὲ μέλιτι καὶ παρατριβὲν ὀδον-
τιάσεις ὠφελεῖ καὶ τοὺς τῶν οὔλων ὀδαξισμοὺς ἐπὶ παιδίων
καὶ ἄφθας, ἔξωθεν δὲ καταπλασσόμενον εὔτροφον καὶ ἀψυδρα-
κίωτον τηρεῖ τὸ σῶμα· ποιεῖ καὶ πρὸς φλεγμονὰς καὶ σκληρίας 2
ὑστέρας τὸ μὴ δυσῶδες μηδὲ παλαιόν, καὶ πρὸς δυσεντερίας
καὶ πρὸς κόλον ἕλκωσιν ἐγκλυζόμενον, πυοποιοῖς τε μείγνυται
χρησίμως, καὶ μάλιστα ἐπὶ τῶν κατὰ τὰ νεῦρα καὶ μήνιγγας
καὶ κύστεως τράχηλον τραυμάτων· τὸ δὲ αὐτὸ πληροῖ καὶ κα-
θαίρει καὶ σαρκοῖ, καὶ τοὺς ὑπὸ ἀσπίδος δηχθέντας ἐπιτιθέ-
μενον ὠφελεῖ. μείγνυται δὲ καὶ προσοψήμασιν ἀντὶ ἐλαίου τὸ
νεαρὸν καὶ ἐν τοῖς πέμμασιν ἀντὶ στέατος.

συνάγεται δὲ καὶ λιγνὺς ἐκ τοῦ βουτύρου τὸν τρόπον 3
τοῦτον· εἰς λύχνον καινὸν ἐγχέας τὸ βούτυρον ἅψον καὶ πωμάσας
ἀγγείῳ κεραμεῷ, σωληνοειδεῖ [στενῷ] κατὰ τὰ ἄνωθεν, τρήματα
δὲ ἐκ τῶν ὑπὸ πόδας ἔχοντι, ὥσπερ οἱ κλίβανοι, ἔα καίεσθαι.
ὅταν δὲ ἀναλωθῇ τὸ πρῶτον βούτυρον, ἄλλο ἐπίχει καὶ ποίει
τὸ αὐτό, ἕως ἂν ὅσον πλῆθος βούλει αἰθαλώσῃς, εἶτα ἀπόσυρε
πτερῷ καὶ χρῶ. δύναμιν δὲ ἔχει εἰς τὰ ὀφθαλμικὰ ξηραίνειν
καὶ ὑποστύφειν· ἐφίστησι δὲ τὰ ῥεύματα καὶ τὰ ἕλκη ταχέως
ἀναπληροῖ ⟨καὶ ἀπουλοῖ⟩.

73 ἔρια οἰσυπηρὰ ἄριστα τὰ ἁπαλὰ καὶ τὰ ἀπὸ τοῦ

22 SIM. Pl. XXIX 33 sq. (e S. N.).
22 EXC. Gal. XII 348 (unde Aet. II 159. Paul. Aeg. VII 3 s. v.).

1 *πλέον* HDi 2 *παρατριβόμενον* E 3 *παίδων* libri: correxi coll. D. eup. I 74 (131) 4 *δὲ*] *τε* E *ἀψυδρακώτερον* E: *ἀψιδρακίωτον* HDi 5 *σκληρίαν* E 6 *πρός τε* (om. *καὶ*) Di 8 *τὰ* om. E 9 *κύστεως καὶ τραχήλου* H: *κύστιν καὶ τράχηλον* Di: *κύστεως τραχήλου* E (corr. E²), cf. D. eup. I 164 (178) *πρὸς δὲ τὰς τοῦ τραχήλου τῆς κύστεως διαιρέσεις καὶ νεύρων καὶ μηνίγγων καὶ τὰς φλεγμονὰς ἁρμόζει βούτυρον* 9 *καὶ* (alt.) om. E 10 *καὶ* (pr.) om. E 11 *δὲ* om. H *ἐλαίου — ἀντὶ* om. F: *ἀντὶ στέατος καὶ ἐλαίου τὸ νεαρὸν καὶ πέμμασιν* E 13 mg. add. *περὶ λιγνύος βουτύρου* Di 14 *τὸ* om. E *ἅψας* E *πωματίσας* E 15 *κεραμεῷ* om. FE *στενὸν* E: om. Di: gloss. delevi *τὰ*] *τὸ* Orib. 16 *ὑποπόδας* EOrib.: *ὑπὸ ποδὸς* Spr., ad rem cf. D. I 72, 4. Orib. ed. Dar. I 563 *οἱ* om. Q *κρίβανοι* Orib. 18 *τοῦτο* Orib. *ὅσον βούλει πλῆθος* Orib.E *λάβῃς ἐθάλῃς* E *ἀπόσυραι* F: *ἀπόσυρον* HDi: *ἀπόσυρε πῶς ὅρε* (superscr. *σύρε* mend. not.) Orib. 19 *ξηραίνειν καὶ* om. Q, at cf. Dl *virtus est siccatoria oculis, stiptica*: *ξηραίνεται γὰρ καὶ ὑποστύφει* E 20 *δὲ*] *τε καὶ* E 21 *ἀναπληροῖ καὶ ἀπουλοῖ ταχέως* E *ἀπουλοῖ ταχέως* Di: *καὶ ἀπουλοῖ* addidi coll. Dl *vulnera complet et cicatrices oculorum ad sanitatem perducit*

22 num. cap. *οβ̄* QDi: *ογ̄* E: *ν'* Dl *οἰσυπηρὰ*] *ῥυπαρὰ* Di, cf. Gal. XVIII A 697. XVIII B 524 *καὶ* om. E: fort. recte

τραχήλου καὶ τῶν μηρῶν, ἁρμόζοντα ἐν ἀρχῇ πρὸς τραύματα, θλάσματα, ἀποσύρματα, πελιώματα, ὀστῶν κατάγματα βρεχόμενα ὄξει καὶ ἐλαίῳ ἢ οἴνῳ· δεκτικὰ γάρ ἐστι τῶν ἐμβρεγμάτων καὶ μαλακτικὰ διὰ τὸν οἴσυπον· ποιεῖ καὶ πρὸς κεφαλαλγίαν καὶ στομάχου πόνους καὶ παντὸς ἄλλου τόπου σὺν ὄξει καὶ ῥοδίνῳ.

τὰ δὲ κεκαυμένα ἔρια δύναμιν ἔχει ⟨θερμαντικήν,⟩ ἐσχαρωτικήν, ὑπερσαρκωμάτων σταλτικήν, ἀπουλωτικὴν ἑλκῶν. καίεται δὲ καθαρὰ διαξανθέντα ἐν ὠμῇ χύτρᾳ ὥσπερ τὰ λοιπά· τὸν δ' αὐτὸν τρόπον καὶ κροκύδες καίονται θαλασσίας πορφύρας. τινὲς δὲ σὺν τῷ ῥύπῳ διαξάναντες τὰ ἔρια καὶ μέλιτι δεύσαντες
2 καίουσιν ὡσαύτως. ἄλλοι δὲ διαθέντες ὀβελίσκους ἐπὶ πλατύστομον κεραμεοῦν ἀγγεῖον, διεστῶτας ἀπ' ἀλλήλων, καὶ ἐπιθέντες σχίδακας δαδίων ἰσχνὰς καὶ ἐπάνω θέντες τὰ ἔρια διεξασμένα καὶ βεβρεγμένα ἐλαίῳ οὕτως ὥστε μὴ ἀποστάζειν, καὶ πάλιν σχίδακας καὶ ἔρια ἐναλλὰξ ἐπιτιθέντες, κούφως ἐκ τῶν δαδίων ὑφάπτουσι, καέντα δὲ αἴρουσι καὶ εἴτε λίπος ἢ πίττα ἐκ τῶν δαδίων ὑπορρεῖ συναναιροῦνται καὶ ἀποτίθενται. πλύνεται δὲ εἰς τὰ ὀφθαλμικὰ ἐν κεραμεῷ κρατῆρι ὕδατος ἐπιχεομένου καὶ ταρασσομένου εὐτόνως ταῖς χερσί, καὶ μετὰ τὸ ἀποκαταστῆναι ἀποχεομένου τοῦ ὑγροῦ καὶ ἄλλου ἐπιχεομένου καὶ πάλιν ἀναταρασσομένου, καὶ τοῦτο γίνεται, ἄχρις ἂν προσαγόμενον τῇ γλώττῃ μὴ δάκνῃ, ποσῶς δὲ στύφῃ.

74 οἴσυπος δὲ λέγεται τὸ ἐκ τῶν οἰσυπηρῶν ἐρίων λίπος, ὃν σκευάσεις οὕτως· λαβὼν ἔρια μαλακὰ οἰσυπηρὰ ἔκπλυνον ⟨μὴ⟩ ἐστρουθισμένα θερμῷ ὕδατι, ἅμα ἐκθλίβων πᾶσαν τὴν ῥυπαρίαν, ἣν βαλὼν εἰς κρατῆρα πλατύστομον καὶ ἐπιχέας ὕδωρ

24 SIM. Pl. XXIX 35 sq. (e S. N.).
24 EXC. Aet. II 120 cf. Gal. XII 309.
24 TEST. Aet. II 120: σκευάζεται δέ, ὥς φησι Διοσκουρίδης, ὁ οἴσυπος τὸν τρόπον τοῦτον κτλ.

1 τὰ τραύματα E 2 κατάξεις E βρεχόμενα δὲ E 4 κεφαλαλγίας E 5 post ῥοδίνῳ add. ἐπιτιθέμενον Di 6 mg. add. περὶ ἐρίων κεκαυμένων Di ἐσχαρωτικὴν καθαιρετικὴν καὶ θερμαντικὴν/// (3 litt. eras. E²) σταλτικήν E θερμαντικήν addidi ex EDl, cf. Gal. XII 348 καυθέντα δὲ δύναμιν ἔχει δριμεῖάν τε καὶ θερμὴν ἅμα λεπτομερείᾳ 8 τὸν αὐτὸν δὲ E 11 διατιθέντες E πλατὺ QE: πλατυστόμου κεραμεοῦ ἀγγείου Di, cf. Blaß Gr. d. N. 137 12 ἐπιθέντες E: ἐπιτιθέντας HDi: ἐπιτεθέντας F 14 ὡς E σχίζας E 15 τιθέντες Di κούφως ὑφάπτουσιν ἐκ E 16 ἀπερρύη E 17 ὑποτίθενται F ἀποπλύνεται E 18 καταρασσομένου Q (ut videtur) Di (dittogr.) 20 καὶ (alt.) om. E ἀναταράσσεται E (σομένου superscr. E²) 20 τοῦτο γίνεται EDi: τούτου γινομένου Q 21 ἄχρι E γλώσσῃ E δάκνει F
22 num. cap. σγ QDi: οδ E: να' Dl 23 ὃν QDi: om. E σκεύασις δὲ οὕτως E: κατασκευάσεις Di μαλακὰ καὶ Q (dittogr.) 24 μὴ add. Marc. ἐκπλύνων E τὴν om. Q 25 σαπρίαν E

ἀνάχει ἀρυτῆρι ῥαγδαίως, ἕως ἂν ἀφρίσῃ, ἢ ξύλῳ ἀνατάρασσε
εὐτόνως, μέχρις ἂν ὁ πολὺς ἀφρὸς καὶ λιπαρὸς συλλεγῇ· εἶτα
κατάρραινε θαλάσσῃ, καὶ ὅταν καταστῇ τὸ ἐπινηχόμενον λίπος,
ἀναλάμβανε εἰς ἕτερον κεραμεοῦν ἀγγεῖον, ἐπιχέας τε ὕδωρ εἰς
τὸν κρατῆρα πάλιν τάρασσε καὶ κατάρραινε τῇ θαλάσσῃ τὸν
ἀφρὸν καὶ ἀναλάμβανε, καὶ τὸ αὐτὸ ποίει, ἄχρι ἂν μηκέτι
ἀφρὸς ἐφιστῆται δαπανηθέντος τοῦ λίπους. τὸν μέντοι ἀνη- 2
ρημένον οἴσυπον τῇ χειρὶ μαλάξας παραχρῆμα ἀναιροῦ, εἴ τινα
ἔχει ἀκαθαρσίαν, στραγγίζων τὸ πρῶτον ὕδωρ καὶ ἄλλο ἐπι-
χέων καὶ κινῶν τῇ χειρί, ἄχρι ἂν οὗ καθαρὸς καὶ λευκὸς φανῇ,
οὕτως τε ἀποτίθεσο ἐν ἀγγείῳ κεραμεῷ· ἐν ἡλίῳ δὲ θερινῷ
γινέσθω πάντα. ἔνιοι δὲ διηθήσαντες τὸ λίπος πλύνουσιν ἐν
ὕδατι ψυχρῷ, ταῖς χερσὶν ἀνατρίβοντες ὡς τὴν κηρωτὴν αἱ
γυναῖκες· γίνεται δὲ ὁ τοιοῦτος λευκότερος. οἱ δὲ πλύναντες 3
τὰ ἔρια καὶ ἐκθλίψαντες τὸν ῥύπον ἕψουσι μεθ' ὕδατος ἐν
λέβητι πυρὶ κούφῳ, καὶ τὸ ἐφιστάμενον λίπος ἀφαιροῦντες
πλύνουσιν ὕδατι, ὥσπερ εἴρηται, καὶ διυλίσαντες εἰς λοπά-
διον κεραμεοῦν ἔχον ὕδωρ θερμὸν λινῷ τε ῥάκει περιπωμάσαν-
τες τιθέασιν ἐν ἡλίῳ, μέχρι ἂν αὐτάρκως παχὺς γένηται καὶ
λευκός· ἔνιοι δὲ διὰ δύο ἡμερῶν ἀποχέοντες τὸ πρῶτον ὕδωρ
ἄλλο ἐπιχέουσιν. ἔστι δὲ βελτίων ὁ ἀστρούθιστος καὶ λεῖος,
ὄζων ἐρίων οἰσυπηρῶν, ἀνατριβόμενός τε μεθ' ὕδατος ψυχροῦ
ἐν μύακι [καὶ] λευκαινόμενος καὶ οὐδὲν ἔχων ἐν ἑαυτῷ σκληρὸν
ἢ συνεστηκὸς ὥσπερ ὁ δολιζόμενος κηρωτῇ ἢ στέατι.
δύναμιν δὲ ἔχει θερμαντικήν, πληρωτικὴν ἑλκῶν, μαλακτικήν, 4

---

26 SIM. Pl. XXX 113 — Pl. XXX 69. XXIX 37. D. eup. I 221 (209), ubi *οἴσυπον* pro *ὕσσωπον* leg. — D. eup. II 78 (290) — Pl. XXX 107. XXIX 37 D. eup. I 217 (208) — Pl. XXIX 36 D. eup. I 46 (115) — Pl. XXIX 115.

---

1 *ἀρυτῆρι* Di: *ῥυπτῆρι* QE post *ἀρυτῆρι* add. *ταράσσων* Di, ad rem cf. Aet. l. s. *ἀνατάρασσε λαμβάνων ἐκ τοῦ ὑγροῦ ποτηρίῳ ἢ ἑτέρῳ τινὶ καὶ ἐξ ὑψηλοῦ καταράσσων, ἕως ἂν ἀφρίσῃ* *ῥαγδαίῳ* Q 2 *λιπαρὸς* F: *ῥυπαρὸς* HDi: *ῥυπαρὸς ἢ λιπαρὸς* E 3 *κατάραναι θαλάττῃ* E *ὅταν* EDi: *ὅτε* H (de F nihil enotavi) 4 *ἀγγεῖον κεραμεοῦν* E 5 *τάραττε* E *θαλάττῃ* E 6 *μέχρι ἂν* E: *ἄχρις ἂν* HDi 7 *ἀναιρεθέντα* E 8 *παραχρῆμα ἀνακόψας* E 9 *ἐκστραγγίζων* E 10 *ἄχρι ὅτου* E: *ἄχρις ἂν* HDi post *οὗ* add. e cap. 73 *προσαγόμενος* (*προσαπτόμενος* E) *τῇ γλώττῃ μὴ δάκνῃ, ποσῶς δὲ στύφῃ* E (del. E[2]) HDi *λιπαρός τε καὶ καθαρὸς* (*καὶ κ.* om. Di) *καὶ λευκὸς* HDi: *λευκὸς καὶ λιπαρὸς* Aet. 11 *τε* E: *δὲ* reliqui *ἀποτιθέσθω* Q *εἰς ἀγγεῖον κεραμεοῦν* Di *θερμῷ* libri: *θερινῷ* Aet.: correxi Sarac. duce 12 *ἐν* om. E: fort. recte 17 *προείρηται* E 18 *θερμὸν ὕδωρ* E 19 *μέχρι ἂν* FE: *μέχρις ἂν* reliqui *παχὺς καὶ λευκὸς* E 20 *ἀποχέαντες* E 21 *ἄλλα* F *ἀστρούθευτος* E 23 *καὶ* (pr.) delevi: om. E *μηδὲν* E 24 *συνεστραμμένον* EAet. *ζύμῃ* Aet. 25 *πληρωτικὴν* om. FE: *plerotica vulnerum* Dl

καὶ μάλιστα τῶν περὶ δακτύλιον καὶ ὑστέραν σὺν μελιλώτῳ καὶ βουτύρῳ, καὶ ἔμμηνα καὶ ἔμβρυα ἐν ἐρίῳ προστιθέμενος ἄγει, πρός τε τὰ ἐν ὠσὶ καὶ αἰδοίῳ σὺν χηνείῳ στέατι. ποιεῖ δὲ καὶ πρὸς περιβεβρωμένους κανθοὺς καὶ ψωρώδεις καὶ βλέφαρα τετυλωμένα καὶ τριχορροοῦντα. καίεται δὲ ἐπ' ὀστράκου καινοῦ, μέχρι ἂν τεφρωθὲν ἀποβάλῃ τὸ λίπος· συνάγεται δὲ καὶ λιγνὺς ἐξ αὐτοῦ, ὡς ὑπεδείξαμεν (I 68), *ἁρμόζουσα πρὸς τὰ ὀφθαλμικά.*

75 *πιτύα λαγωοῦ ἁρμόζει ⟨λαμβανομένη⟩ σὺν οἴνῳ ὁλκὴ τριωβόλου πρὸς θηριοδήκτους καὶ κοιλιακοὺς καὶ δυσεντερικοὺς καὶ πρὸς ῥοικὰς γυναῖκας καὶ πρὸς αἵματος θρόμβωσιν καὶ ἀναγωγὰς τὰς ἐκ θώρακος, προστιθεμένη δὲ μετὰ ⟨τὴν⟩ κάθαρσιν τῇ μήτρᾳ μετὰ βουτύρου συλλήψει συνεργεῖ, ποθεῖσα δὲ μετὰ τὴν ἄφεδρον ἀτόκιόν ἐστιν. ἡ δὲ τοῦ ἵππου, ὑπ' ἐνίων δὲ ἱππάκη*
2 *καλουμένη, ἰδίως ἁρμόζει ἐπὶ κοιλιακῶν καὶ δυσεντερικῶν. ἐρίφου δὲ καὶ ἀρνὸς καὶ νεβροῦ καὶ δορκάδος καὶ πλατυκέρωτος καὶ δόρκου καὶ ἐλάφου καὶ μόσχου καὶ βουβάλου ὁμοίαν ἔχουσι δύναμιν, ἁρμόζουσαν πρὸς ἀκονίτου πόσιν σὺν οἴνῳ λαμβανόμεναι καὶ πρὸς γάλακτος θρόμβωσιν μετ' ὄξους. ἡ δὲ τοῦ νεβροῦ ἰδίως μετὰ τὰς καθάρσεις προστεθεῖσα ἐπὶ τρεῖς ἡμέρας ἀτόκιόν ἐστιν. ἡ δὲ τῆς φώκης ἔοικε κατὰ τὴν δύναμιν τῷ καστορίῳ, δοκεῖ δὲ ἁρμόζειν μάλιστα ἐπιληπτικοῖς καὶ ὑστερικαῖς πνιξὶ πινομένη.*
3 *δοκιμάζεται δέ, εἰ ἔστι φώκης, τὸν τρόπον*

---

9 SIM. Pl. XI 239; schol. Nic. Th. 577 — Nic. Th. l. s. D. eup. II 114 (314) Pl. XXVIII 154 — eup. II 49 (263) Pl. XXVIII 204 — eup. II 82 (294) — eup. II 159 (335) — Pl. XXVIII 239. 194 eup. I 210 (204) — eup. II 91 (297) Pl. XXVIII 248 — eup. II 95 (299) — Pl. XXVIII 205 — eup. II 137 (327) — eup. II 159 (335) Pl. XXX 135 — eup. I 95 (299) — eup. I 18 (103) — eup. II 88 (296).

9 EXC. Gal. XII 274 (= Aet. II 105 Paul. Aeg. VII 3 s. v.).

---

1 *καὶ* (pr.) om. Di 3 *τὰς* E: *dolorem aurium et beretri curat* Dl *ἐν αἰδοίῳ καὶ ὠσὶν* E fort. *στέατι ἁρμόζει* 4 *πρὸς*] *εἰς* EDi 6 *μέχρι* F: *μέχρις* HDi: *μέχρη* (om. *ἂν*) E *τεφρωθὲν*] *πυρωθεὶς* E: *πυρωθὲν* Aet.
9 num. cap. *σδ* Di: *οε* E: *νβ'* Dl *πυτία* E *λαμβανομένη* addidi ex E *ὄξει ἢ οἴνῳ* E *ὁλκὴ* <- *τριοβόλου* E 11 *πρὸς* (pr.) om. E *πρός τε αἵματος* (om. *καὶ*) Di *θρόμβους* E 12 *δὲ* E: *τε* rcliqui *τὴν* addidi 13 *βοηθεῖ* E post *δὲ* add. *φθείρει ἔμβρυα* HDi *μετὰ δὲ* Di 14 *ἀτόκιος* HDi nov. cap. (*ος*) inc. E: *νγ'* Dl ad rcm cf. D. II 71 *δὲ* om. HDi *ἱππιακὴ* E 15 *κοιλιακοῖς δυσεντερικοῖς* (om. *ἐπὶ*) H ab *ἐρίφου* cap. *οζ* inc. E: *νδ'* Dl *πιτύα ἐρίφου καὶ ἀρνοῦ* E 16 *καὶ* (quart.) om. E *πλατυκέρατος* E 20 *ἐπὶ ἡμέρας τρεῖς* E 21 ab *ἡ δὲ* cap. *οη* inc. E: *νε'* Dl *κατὰ δύναμιν ἔοικε* E *τῷ* om. HEDi 22 *ὑστερικαῖς καὶ ἐπιληπτικοῖς πινομένη* E

τοῦτον· λαβὼν πιτύαν ζῴου τινός, μάλιστα δὲ ἀρνός, καὶ ἐπιχέας ὕδωρ ἔασον βραχὺν χρόνον, καὶ μετὰ ταῦτα ἐπίχει τὸ ἀπόβρεγμα κατὰ τῆς πιτύας τῆς φώκης· ἡ γὰρ ἀληθινὴ ἐξυδατοῦται ταχέως, ἡ δὲ μὴ τοιαύτη διαμένει ὁμοία. λαμβάνεται δὲ ἐκ τῆς φώκης πιτύα μηδέπω δυναμένων τῶν σκύμνων νήχεσθαι. κοινῶς δὲ πᾶσα πιτύα πήσσει μὲν τὰ διαλελυμένα, λύει δὲ τὰ συνεστῶτα.

76 στέαρ πρὸς μὲν τὰ περὶ μήτραν ἁρμόζει τὸ νεαρὸν χήνειον ἢ ὀρνίθειον καὶ δίχα ἁλῶν τεθεραπευμένον, πολέμιον δὲ ὑστέρᾳ τὸ ἠλισμένον καὶ τὸ τῷ χρόνῳ μεταβεβληκὸς εἰς δριμύτητα. πρόσφατον δὲ τούτων λαβών τι καὶ ἐξυμενίσας ἔμβαλε εἰς λοπάδα καινὴν κεραμεᾶν, δὶς τοσοῦτον χωροῦσαν ἢ ὅσον ἐστὶ τὸ μέλλον θεραπεύεσθαι, εἶτα θεὶς εἰς ὀξύτατον ἥλιον τὸ ἀγγεῖον κεκαλυμμένον ἐπιμελῶς, ὑπὸ χεῖρα τὸ ἀποτηκόμενον ἀπήθει εἰς ἕτερον ἀγγεῖον ὀστράκινον, ἕως ἂν ἅπαν δαπανήσῃ· τοῦτο δὲ εἰς κατάψυχρον τόπον ἀποτίθεσο καὶ χρῶ. τινὲς δὲ 2 ἀντὶ τοῦ ἡλίου ὑπὲρ ὕδατος θερμοῦ ἐπερείδονται τὴν λοπάδα ἢ ἐπὶ λεπτῆς καὶ μαλακῆς ἀνθρακιᾶς. ἔστι δὲ καὶ ἄλλος τρόπος θεραπείας τοιοῦτος· μετὰ τὸ ἐξυμενισθῆναι τὸ στέαρ λεαίνεται καὶ εἰς λοπάδα ἐμβληθὲν τήκεται, ἁλὸς ὀλίγου καὶ λεπτοῦ προσεμπασθέντος, εἶτα διὰ ῥάκους λινοῦ ὑλισθὲν ἀποτίθεται. ἁρμόζει δὲ τὸ τοιοῦτον εἰς τὰ ἄκοπα.

ὕειον δὲ καὶ ἄρκειον θεραπεύεται οὕτως· λαβὼν τὸ πρόσφατον καὶ καταπίμελον, οἷόν ἐστι τὸ νεφριαῖον, ἔμβαλε

---

8 SIM. Pl. XXIX 134 (e S. N.).
8 EXC. Orib. XII s. v. στέαρ (στέαρ — οὐκ ἄγαν λευκόν); Gal. XII 323 sq. (unde Aet. II 152. Paul. Aeg. VII 3 s. v. στέατα).
23 SIM. Pl. XXVIII 142.

---

3 κατὰ om. E 5 μήπω Di νήχεσθαι (συννήχεσθαι Di) τῶν σκύμνων EDi 6 πίττει E λελυμένα E
8 num. cap. σε QDi: οθ E: νϛ' Dl στέαρ δὲ E τὰ περὶ] τὴν Orib. 9 ἢ om. E καὶ del. E² θεραπευόμενον Orib.: θεραπευμένον F: ταριχευμένον HDi 10 δὲ] γὰρ Orib.E ὑστέρᾳ om. F: matrici Dl 11 λαβὼν τούτων τι Orib.E: λαβών τι τούτων Di 12 ἔμβαλλε E fort. κεραμεᾶν καινὴν τοσοῦτο H ἢ] εἰ F: om. Orib. 13 ὅσον om. F θὲς E 14 ἱκανῶς Orib. ὑπὸ χεῖρα del. H: om. Di 15 ἂν om. F πᾶν Orib. δαπανήσεις E 16 ἀποτίθεσο τόπον Di 17 θερμοῦ] ζεστοῦ Orib.E ἀπερείδονται Orib.E 18 θεραπείας τρόπος E 19 ἐξυμενίσαι Orib. 20 διαίνεται E (δι in ras.) 21 προσεμπλασθέντος Di διυλισθὲν HDi 23 nov. cap. (π) inc. E: νζ Dl στέαρ ὕειον E δὲ del. E² ἄρνειον Orib.EDiHi²Dl 24 νεφρίδιον Orib. (ut semper) ἔμβαλλε F: om. HDi

εἰς ὕδωρ δαψιλὲς ὄμβριον ὡς ὅτι ψυχρότατον καὶ ἐξυμένισον
καὶ τρῖβε ταῖς χερσὶν ἐπιμελῶς, ἀνατρίβων αὐτὸ καὶ οἱονεὶ
3 ἀποψήχων· εἶτα ἑτέρῳ ὕδατι πολλάκις ἀποκλύσας δὸς εἰς χύ-
τραν κεραμεᾶν τὸ διπλάσιον χωροῦσαν, ἐπιχέας τε ὕδωρ, ὡς
ὑπερέχειν τοῦ στέατος, θὲς ἐπὶ κούφης ἀνθρακιᾶς καὶ κίνει
σπάθῃ. ὅταν δὲ τακῇ, διηθήσας αὐτὸ δι' ἠθμοῦ εἰς ὕδωρ, καὶ
ἐάσας ψυγῆναι πάλιν ἐστραγγισμένον ἐπιμελῶς ἀπόδος εἰς τὴν
χύτραν προπεπλυμένην, ἐπιχέας τε ὕδωρ τῆξον πραέως, καὶ
καθελὼν μικρόν τε ἐάσας τὴν τρύγα ὑποστῆναι κατάχεον εἰς
θυίαν νενοτισμένην σπόγγῳ. ὅταν δὲ παγῇ, ἀνελόμενος καὶ τὴν
πρὸς τῷ πυθμένι ἀκαθαρσίαν ἀφελὼν τῆξον ἐκ τρίτου χωρὶς
ὕδατος, καὶ κατεράσας εἰς θυίαν καθαρίσας τε ἔμβαλε εἰς κερα-
μεοῦν ἀγγεῖον καὶ πωμάσας ἀπόθου εἰς κατάψυχρον τόπον.
4 τράγειον δὲ καὶ προβάτειον, ἔτι δὲ καὶ ἐλάφειον
θεραπεύεται οὕτως· λαβών, οἷον προείρηται, στέαρ οἱουτινοσοῦν
αὐτῶν καὶ πλύνας ἐξυμενίσας τε, ὡς προείρηται ἐπὶ τοῦ
ὑείου, δὸς εἰς θυίαν μαλάττειν καὶ τρῖβε, κατ' ὀλίγον ὕδωρ
ἐπιχέων, ἄχρι ἂν μήτε αἱμάλωψ ἐκκρίνηται μήτε λάμπῃ ἐπι-
πλέῃ λαμπρόν τε γένηται. λοιπὸν ἐμβαλὼν αὐτὸ εἰς κεραμεᾶν
χύτραν καὶ προσεπιδοὺς ὕδωρ ὥστε ὑπερέχειν θὲς ἐπὶ κούφης
ἀνθρακιᾶς καὶ κίνει. ὅταν δὲ τακῇ ἅπαν, κατεράσας αὐτὸ εἰς
ὕδωρ καὶ ψύξας πλύνας τε τὴν χύτραν ἐκ δευτέρου τῆκε καὶ τὰ
5 αὐτὰ ποίει τοῖς προειρημένοις. τὸ δὲ τρίτον χωρὶς ὕδατος
τήξας εἰς νενοτισμένην θυίαν ἀπήθησον καὶ ψυγὲν ἀποτίθεσο,
ὡς ἐλέγετο ἐπὶ τοῦ ὑείου.
καὶ τοῦ βοείου δὲ στέατος ἐξυμενιστέον τὸ νεφριαῖον καὶ

1 *δαψιλὲς ὕδωρ ὄμβριον* Orib.E *καὶ* om. HDi *ἐξυμενίσας τρίβε* E 2 *ἀνατρίβων*] *ἅμα τρίβων* E (corr. E^2) 3 *ἀποψύχων* libri: *η* superscr. E^2 *δι' ἑτέρου* E, corr. E^2 *κύθραν* QDi: *χύτραν* (semper) Orib.E 5 *ὑπερ-έχει* Q *θεὶς* (*καὶ* ante *κίνει* om.) E 7 *ἐάσας αὐτὸ* Orib. 8 *πραέως* E: *πράως* reliqui 9 *καταστῆναι* E, corr. E^2 *κατάχεον* E^2: *καταχέων* F: *κατέχει* Orib. (*κατάχεε* superscr. O^2): *κατάχεε* reliqui 10 *σπόγγῳ θυίαν* E: *σπόγγῳ λοπάδα* Orib. *ὁπόταν* Orib. 11 *πρὸς τὸν πυθμένα* E *τρίτης* Orib. 12 *ἔμβαλλε* Orib. 14 nov. cap. (*πα*) inc. E *στέαρ τράγιον καὶ* E^2 *καὶ* (pr.)] *τε* Orib. *καὶ* (alt.) om. Orib. 15 *θεραπευτέον* Orib. *οὕτω* HDi *οὑτινοσοῦν* HE: *οὗτινος* Orib. 16 *καὶ ἐξυμενίσας* (*τε* om.) E *δεδήλωται* Orib.E 17 *μαλάττειν* om. Orib.E 18 *ἄχρις* HDi *λάμπῃ*] *λίπος* Di *ἐπιπλῇ* F: *ἐπιπλεῖ* H: *ἐπιπλέον* Orib.: *ἐπὶ τὸ πλεῖον* E (*ἐπιπλεῖ* corr. E^2) 19 ad *λοιπὸν* cf. Blaß Gr. d. N. 96 *λοιπὸν δὲ* Orib. *ἔμβαλλε* E 20 *προσ-επιβάλλον* E 23 *ποίει* post *προειρημένοις* colloc. Orib.EDi 24 *θυίαν*] *χύ-τραν* E *ψυγὲν*] *ξύσας* E 25 *εἴρηται* Orib. 26 nov. cap. (*πβ*) inc. E *στέαρ βόιον λαβὼν* (del. E^2) *τὸ νεφριαῖον ἐξυμενιστέον* E

*θαλάττῃ πελαγίᾳ πλυτέον, εἶτα εἰς ὅλμον ἐμβλητέον καὶ κοπ-
τέον ἐπιμελῶς, ἐπιρραινομένης τῆς θαλάττης. ὅταν δὲ δια-
λυθῇ ἅπαν, εἰσβλητέον αὐτὸ εἰς χύτραν κεραμεᾶν καὶ θάλασσαν
ἐπιχυτέον, ὡς ὑπερέχειν μὴ ἧττον σπιθαμῆς, ἑψητέον τε, ἄχρι
τὴν ἰδίαν ὀσμὴν ἀποβάλῃ· εἶτα πρὸς μίαν μνᾶν τοῦ στέατος* 6
*Ἀττικὴν κηροῦ Τυρρηνικοῦ ὁλκὰς τέτταρας ἐμβλητέον καὶ διη-
θητέον, ἀφαιρετέον τε τὴν προσκαθημένην ἐν τῷ πυθμένι
ἀκαθαρσίαν καὶ εἰς λοπάδα καινὴν ἀποθετέον· εἶτα εἰς ἥλιον
καθ᾽ ἡμέραν κομιστέον περιεσκεπασμένον, ὅπως ἀπολευκανθῇ
καὶ τὴν δυσωδίαν ἀποβάλῃ.*

*τὸ δὲ ταύρειον θεραπευτέον οὕτως· λαβὼν καὶ τούτου τὸ
πρόσφατον καὶ νεφριαῖον ἔκπλυνον ποταμίῳ ῥεύματι, ἐξυμενίσας
τε δὸς εἰς χύτραν κεραμεᾶν καινήν, ἁλὸς ὀλίγον προσεμπάσας,
καὶ τῆκε· εἶτα εἰς ὕδωρ διαυγὲς ἀπηθήσας, ὅταν ἀρχὴν λαμ-* 7
*βάνῃ πήξεως, ταῖς χερσὶ πάλιν ἔκπλυνον σφοδρῶς τρίβων, τοῦ
μὲν ἀποχεομένου ὕδατος τοῦ δὲ ἐπιχεομένου, ἄχρι ἂν πλυθῇ
καλῶς, καὶ πάλιν εἰς χύτραν ἐμβαλὼν ἕψε μετ᾽ οἴνου ἴσου
εὐώδους. ὡς δ᾽ ἂν ζέσῃ δίς, ἄρας ἀπὸ τοῦ πυρὸς τὴν χύτραν
ἔασον ἐννυκτερεῦσαι τὸ στέαρ ἐνθάδε· τῇ δ᾽ ἐχομένῃ ἐάν τι τῆς
δυσωδίας ὑπολείπηται, ἀνελόμενος τὸ προειρημένον εἰς ἑτέραν
χύτραν καινὴν προσεπίχεον οἶνον εὐώδη καὶ τὰ αὐτὰ τοῖς προ-
ειρημένοις ποίει, ἕως ἂν ἅπασαν τὴν δυσωδίαν ἀποβάλῃ. τή-* 8
κεται δὲ καὶ χωρὶς ἁλῶν ἐπ᾽ ἐνίαις διαθέσεσιν, ἐν αἷς οὗτοι

---

11 SIM. Pl. XXVIII 143.

---

1 *θαλάσσῃ* Orib.E *εἶτα — ἐμβλητέον* om. Orib.: post *κοπτέον* colloc. E *βλητέον* F 2 *θαλάσσης* E 3 *εἰσβλητέον* F: *ἐμβλητέον* reliqui (post *αὐτὸ* coll. E) *κεραμέαν χύτραν* Orib.E 4 *ἐπίχεε* E *ὥστε* E: *ὅσον* HDi *μὴ*] *καὶ* H *ἔλασσον* E *τε*] *δὲ* Orib. E *ἄχρις ἂν* Orib. 5 *μίαν* om. Di: post *μνᾶν* coll. Orib.E ante *τοῦ στ.* transpos. *Ἀττικὴν* EDi 6 *τὴν Ἀττικὴν* Orib. *τέτταρας*] *δύο ἢ τέσσαρας* E (corr. E²) 7 *τε* E: *δὲ* reliqui *ἐν* om. Orib.E: fort. delendum 8 *λοπάδιον καινὸν* EOrib. *εἴς τε* (om. *εἶτα*) Di 9 *ὅπως ἀπολευκανθῇ καὶ οὕτως λαβὼν καὶ τοῦτο πρόσφατον καὶ τὴν δυσωδίαν· τὸ δὲ ταύρειον θεραπευτέον καὶ νεφριαῖον* (sic) F 11 nov. cap. (πγ) inc. E *οὕτω* Di *τούτου τὸ* E: *τοῦτο* Q: *τοῦδε τὸ* Orib.Di 14 *ἔπειτα* Orib. *λάβῃ* Orib. 15 *ἔκπλυνον* Orib.E (*ἐκπλύνων* E²): *ἐκπλύνων* F: *ἐκτρίβων* HDi *τρίβων* FOrib.: *τρῖβε* E: *πλῦνον* reliqui 16 post *μὲν* add. *ἀπεξεσμένου* Orib. *ἄχρις* Orib.HDi *παγῇ* E 17 *κύθραν* QDi *μετ᾽ ἴσου οἴνου* Orib.E 18 *ἕως ἀναζέσῃ· εἶτα ἄρας* E 19 *νυκτερεῦσαι* Di *ἐνθάδε* om. Orib. 20 *διαλείπηται* QOrib.: *ὑπομένῃ ἢ διαλείπηται* E (corr. E²) 21 *προσεπιχέων* H: *προσεπιχέας* E *καὶ κατὰ* Q 22 *πᾶσαν* E 23 *χωρὶς*] *χόνδροις* Di *τῶν ἁλῶν* E *ἐπ᾽*] *ἐν* E

ἐναντιοῦνται· γίνεται μέντοι τὸ οὕτως σκευασθὲν οὐκ ἄγαν
λευκόν. ὡσαύτως δὲ καὶ παρδάλειον σκευαστέον καὶ λεόντειον
συάγρειόν τε καὶ καμήλεον καὶ ἵππειον καὶ τὰ ὅμοια.

ἀρωματιστέον δὲ στέαρ μόσχειον καὶ ταύρειον, ἔτι δὲ
ἐλάφειον καὶ μυελὸν τοῦδε τοῦ ζῴου τὸν τρόπον τοῦτον· ἐξυ-
μενίσας τὸ μέλλον εὐωδιάζεσθαι καὶ πλύνας, ὡς προείρηται,
σύζεσον οἴνῳ ἀθαλάσσῳ τε καὶ εὐώδει, εἶτα ἀνελόμενος καὶ
ἐννυκτερεῦσαι ἀφεὶς ἕτερον οἶνον ἀπὸ τοῦ αὐτοῦ γένους ἐπίχεε
τῷ πλήθει τοσοῦτον, ὅσον ἦν ὁ ἔμπροσθεν δοθείς, καὶ τήξας
ἀποκογχίσας τε ἐπιμελῶς, πρὸς ἐννέα κοτύλας τοῦ στέατος ἔμ-
9 βαλε σχοίνου Ἀραβικῆς ὁλκὰς ἑπτά· ἐὰν δὲ εὐωδέστερον ποι-
ῆσαι θέλῃς, τοῦ ἄνθους ὁλκὰς τεσσαράκοντα, προσαπόδος δὲ
καὶ φοίνικος καὶ καλάμου τὰς ἴσας ὁλκάς, ἀσπαλάθου τε καὶ
ξυλοβαλσάμου ἀνὰ ὁλκὴν μίαν· μεῖξον δὲ καὶ καρδαμώμου καὶ
νάρδου καὶ κασσίας καὶ κιναμώμου ἀνὰ οὐγγίαν μίαν — πάντα
δὲ ἔστω ὁλοσχερέστερον κεκομμένα — εἶτα ἐπιδοὺς οἶνον εὐώδη
ἀπέρεισαι ἐπ᾽ ἀνθράκων πεπωμασμένον τὸ ἀγγεῖον καὶ σύζεσον
τρίς, ἄρας τε ἀπὸ τοῦ πυρὸς ἔασον ἐννυκτερεῦσαι αὐτό· τῇ δ᾽
ἐχομένῃ ἀπόχεε τὸν οἶνον καὶ ἄλλον ἐπιδοὺς τοῦ αὐτοῦ γένους
10 σύζεσον ὁμοίως ἔτι τρὶς καὶ ἄφες. πρωὶ δὲ ἀνελόμενος τὸ
στέαρ ἀπόχεε τὸν οἶνον, ἐκπλύνας τε τὸ ἀγγεῖον καὶ καθάρας
τὸ πρὸς τῷ πυθμένι καὶ τήξας διυλίσας τε αὐτὸ ἀπόθου καὶ χρῶ.

ἀρωματίζεται δὲ καὶ τὸ τεθεραπευμένον τὸν αὐτὸν τρόπον.
προστύφεται δὲ τὰ προειρημένα στέατα πρὸς τὸ ῥᾳδίως δέξα-

---

1 *τὸ* om. E *οὕτω* Orib.HDi 2 post *λευκόν* nov. cap. ($\overline{\pi\delta}$) inc. E *στέαρ παρδάλειον καὶ λεόντιον, συάγριόν τε καὶ καμήλιον καὶ ἵππιον καὶ τὰ ὅμοια ὡσαύτως κατασκευαστέον* E 4 nov. cap. ($\overline{\pi\varepsilon}$) inc. E *δὲ καὶ* E 5 *ἐξυδατίσας ἢ ἐξυμενίσας* E (corr. E²) 6 ante *τὸ* add. *αὐτῶν* E *ἐκπλύνας* E 7 *σύνζεσον* E: *καὶ ζέσας* reliqui: correxi *ἅμα οἴνῳ* E 8 *ἀπὸ*] *ἐκ* Di *γένους*] *γεννώμενον* Q *ἐπιχέων* Di 9 *τοσοῦτον τῷ πλήθει* Di *ὅσον* FE: *ὅσος* reliqui *τῆξον* E 10 *ἀποκογχίσας* F: *ἀποκομίσας* E (corr. E²): *ἀφυλλίσας* reliqui *κοτύλας ἐννέα* Di *ἐμβάλλον* E (*ἔμβαλλον* corr. E²) 12 *ἐθέλῃς* H 13 post *φοίνικος* add. *καὶ κασσίας* HDi post *ὁλκὰς* c. 11 litt. del. E² 14 *μίξον δὲ καὶ κασσίας καὶ νάρδου καὶ κιναμώμου ὁλκὴ μία* om. mg. add. E 15 *κινναμώμου καὶ καρδαμώμου καὶ νάρδου* Di: *κασσίας καὶ νάρδου καὶ κιναμώμου* EDl *ἅπαντα* E 16 *ὁλοσχερῆ* E *ἐπιδοὺς*] *ἐπίχεε* Di *εὐώδει* F 17 *καὶ ὑπέρειδε* Di *πεπωμασμένον* F: *πεπωματισμένον* reliqui 18 *εἶτα ἄρας τε* E (*τε* del. E²) 19 post *ἐχομένῃ* add. *ἡμέρᾳ* E *ἀποχέας* E *ἐπιδιδοὺς* F fort. *ἐκ τοῦ αὐτοῦ* 20 *ὁμοίως ἔτι* om. H *ἕως τρὶς* Di: *ἐπὶ τρεῖς* E (corr. E²) 21 *ἀπόχεε* QDi: *ἀπόχεον* E 22 *τῷ ἐν τῷ πυθμένῃ* E *αὐτὸ* om. HE 23 *θεραπευόμενον* Q *τοῦτον τὸν τρόπον* H 24 *δὲ καὶ* E

σθαι τὴν τῶν ἀρωμάτων δύναμιν οὕτως· λαβὼν αὐτῶν ὅ τι ἂν
αἱρῇ ζέσον ἅμα οἴνῳ, συγκαθεὶς μυρσίνης κλάδον ἕρπυλλόν τε
καὶ κύπερον, ἔτι δὲ ἀσπάλαθον ὁλοσχερέστερον συγκοπέντα·
τινὲς δὲ ἑνὶ τούτων ἀρκοῦνται. ὅταν δὲ τὸ τρίτον ἀναζέσῃ,
ἀνελόμενος πραέως καὶ δι' ὀθόνης ὑλίσας ἀρωμάτιζε, ὡς δεδή-
λωται. ἔτι δὲ καὶ οὕτως πρόστυφε τὰ στέατα· κόψας ὅ τι ἂν 11
αὐτῶν θέλῃς — πρόσφατον δὲ καὶ ἀμιγὲς αἵματος τά τε ἄλλα
ἔχον, ἃ πολλάκις εἴρηται — ⟨καὶ⟩ ἐμβαλὼν εἰς λοπάδα καινὴν
ἐπιχέας τε οἶνον παλαιὸν λευκὸν εὐώδη, ὡς ὑπερέχειν δακτύ-
λους ὀκτώ, σύζεσον ἐλαφρῷ χρώμενος πυρί, ἕως τὴν σύμφυτον
ὀσμὴν ἀποβάλῃ καὶ μᾶλλον οἰνίζῃ. εἶτα καθελὼν τὸ ἀγγεῖον
καὶ ψύξας ἀνελοῦ ⟨τοῦ⟩ στέατος μνᾶς δύο καὶ ἐμβαλὼν εἰς
λοπάδα προσεπιδοὺς τε τοῦ αὐτοῦ οἴνου κοτύλας τέσσαρας καὶ
λωτίνου καρποῦ, οὗ τοῖς ξύλοις οἱ αὐλοποιοὶ χρῶνται, κεκομ-
μένου μνᾶς τέσσαρας ἕψε πυρὶ κούφῳ διηνεκῶς κινῶν. ὅταν 12
δὲ τὴν στεατώδη ἀποφορὰν ἀποβάλῃ πᾶσαν, διυλίσας αὐτὸ
ψῦχε, καὶ λαβὼν ἀσπαλάθου κεκομμένου μνᾶν μίαν, ἀμαρακίνου
δὲ ἄνθους μνᾶς τέσσαρας οἴνῳ φύρασον παλαιῷ καὶ ἔασον
μίαν νύκτα συμπιεῖν· τῇ δ' ἐχομένῃ εἰς χύτραν κεραμεᾶν τρι-
χουνιαίαν καινὴν κάθες ταῦτα καὶ τὸ στέαρ, προσαπόδος δὲ
καὶ οἴνου χοέως ἥμισυ καὶ σύζεσον ἅπαντα ὁμοῦ· ὅταν δὲ πάν-
των τῶν στυμμάτων τὴν δύναμιν καὶ τὴν ὀσμὴν ἀπολάβῃ τὸ
στέαρ, καθελὼν αὐτὸ καὶ διυλίσας πῆξον ἀπόθου τε. ἐὰν δὲ
εὐωδέστερον ποιῆσαι θέλῃς, μίσγε σμύρνης τῆς λιπαρωτάτης
ὀκτὼ ὁλκὰς οἴνῳ διειμένας πολυετεῖ.

---

2 *αἱρῇ* E: *ἤρεσκε* Q: *βούλοιο* Di *εἶτα* ante *συγκαθεὶς* del. E[2] 3 *κύπειρον* libri: correxi *κοπέντα* HDi 4 *δὲ* (pr.) om. E post *ἀρκοῦνται* add. *τῇ χρήσει* Di *τὸ*] *εἰς* HDi: om. E 5 *ὀθονίου* E 6 *οὕτω* HDi *προστύφεται* E 8 *καὶ* addidi *ἐμβαλὼν δὲ* H: *ἔμβαλον* E: *ἔμβαλλον* Di 9 *ἐπιχέων* E *λευκὸν εὐώδη παλαιὸν* EDi: *λευκὸν* om. H 10 *ἕως ἂν* E 11 *ἀποβάλλῃ* F *καὶ μᾶλλον* om. mg. add. E 12 *τοῦ* addidi ex E *βαλὼν* QDi 13 *προσεπιδιδοὺς* H *τε* om. H 14 *τὰ ξύλα οἱ αὐλ. παραλαμβάνουσι καὶ χρῶνται* (*καὶ χρ.* om. Di) EDi 15 *κινῶν διηνεκῶς* E 16 *ἀποβάλλῃ* F *ὑλίσας* E *αὐτὸν* E 17 *κεκομμένης* E *ἀμαράκου* E 18 *ἀνθοῦντος* E *οἴνῳ παλαιῷ φύρασον* E 19 *πιεῖν* F: *συνπεῖν* (sic) E: *ποιεῖν* HDi: correxi *τρίχουν* E 20 *ταῦτα*] *αὐτὰ* Di *τε καὶ* E *προσαποδοὺς* H 21 *χοὸς ἥμισυ οἶνον* Di: *χοέα ἕνα ἥμισυ ἢ ἥμισυ* E, corr. E[2]: *χοὸς ἥμισυ* (om. *οἴνου καὶ* spat. rel.) H 21 *ὡς ἂν τῶν στυμμάτων τήν τε δύναμιν καὶ τὴν ὀσμὴν ἀναλάβῃ* E: *ἕως ἂν τὴν δ. καὶ τὴν ὀσμ. τῶν στυμμάτων ἀναλάβῃ* Di 22 *τῶν στυμμάτων* om. Q 23 post *καθελὼν* add. *δὲ* E[2] *τῆξον* libri: corr. Lac. *καὶ ἀπόθου* Di 24 *θέλῃς ποιῆσαι* E *μίσγε αὐτῷ* E *τῆς* om. E 25 *ὁλκὰς ἢ* EDi *διειμένης* E *πολυτελῆ καὶ πολυετῖ* E (*πολυτελῆ καὶ* dcl. E[2])

13 τὸ δὲ ὀρνίθειον καὶ χήνειον στέαρ οὕτως ἂν εὐωδιασθείη· λαβὼν οἵουτινος αὐτῶν τεθεραπευμένου κοτύλας τέσσαρας καὶ καθεὶς εἰς ὀστρακίνην χύτραν πρόσμειξον ἐρυσισκήπτρου καὶ ξυλοβαλσάμου, ἔτι δὲ φοίνικος ἐλάτης καὶ καλάμου ὁλοσχερῶς κεκομμένων ἀνὰ δραχμὰς δεκαδύο, ἐπιδούς τε οἴνου Λεσβίου παλαιοῦ κύαθον ἕνα θὲς ἐπ᾿ ἀνθρακιᾶς καὶ σύζεσον τρίς· εἶτα ἀνελόμενος ἀπὸ τοῦ πυρὸς τὸ ἀγγεῖον καὶ ἐάσας ψυγῆναι τὰ ἐν αὐτῷ ἡμέραν καὶ νύκτα, τῇ ἐχομένῃ τῆξον αὐτά, καὶ διὰ
14 ῥάκους λινοῦ καὶ καθαροῦ ὕλισον εἰς ἀργυροῦν ἀγγεῖον. ὅταν δὲ παγῇ, ἀνελόμενος κόγχῳ τὸ προειρημένον εἰς κεραμεοῦν ἀγγεῖον βάλε καὶ πωμάσας στεγανῶς ἀπόθου ἐν καταψύχρῳ τόπῳ· χειμῶνος δὲ ταῦτα δραστέον, ἐν γὰρ θέρει οὐ πήγνυται. τινὲς δὲ πρὸς τὴν σύστασιν αὐτοῦ καὶ τὴν πῆξιν βραχὺ κηροῦ Τυρρηνικοῦ μίσγουσιν. τῷ δὲ αὐτῷ τρόπῳ ἀρωματιστέον καὶ τὸ ὕειον καὶ ἄρκειον καὶ τὰ ὅμοια.

σαμψουχίζεται δὲ στέαρ οὕτως· λαβὼν τοῦ καλῶς τεθεραπευμένου ὅσον μνᾶν μίαν — ἔστω δὲ μᾶλλον ταύρειον — καὶ σαμψούχου ὡρίμου τεθλασμένου ἐπιμελῶς μνᾶν μίαν ἥμισυ μεῖξον καὶ μαγίδας ἀνάπλασον ἐπιχέας δαψιλέστερον οἶνον, εἶτα ἀποθέμενος αὐτὰς εἰς ἀγγεῖον καὶ σκεπάσας ἔασον ἐννυκτερεῦ-
15 σαι. πρωὶ δὲ εἰς χύτραν κεραμεᾶν ἐμβαλὼν καὶ ὕδωρ ἐπιχέας ἕψε κούφως. ὅταν δὲ τὴν ἰδίαν ὀσμὴν ἀποβάλῃ τὸ στέαρ, διυλίσας αὐτὸ καὶ ἐάσας μεῖναι ὅλην τὴν νύκτα πεπωμασμένον καλῶς, τῇ ἐπιούσῃ ἀνελόμενος τὸν τροχίσκον καὶ προσαποξύσας τὴν ἐν τῷ πυθμένι ῥυπαρίαν μεῖξον πάλιν σαμψούχου κεκομμένου, ὡς εἴρηται, ἄλλην μνᾶν μίαν ἥμισυ καὶ ὡσαύτως ἀναστρέφου, μαγίδας τε ποιῶν καὶ τὰ ἄλλα τὰ προειρημένα· ἐπὶ

1 εὐωδιασθῇ QDi 2 οἱουτινοσοῦν H: οἵουτινος E (οἵου del. E²) 3 χύτραν ὀστρακινην E 4 καὶ καλάμου om. H ἀδρομερῶς E 5 κεκομμένου EDi <·<· ιβ E: < ιβ′ reliqui τε παλαιοῦ οἴνου κοτύλην ᾱ E 6 εἰς ἄνθρακας E τετράκις ἢ τρίς E (τετράκις ἢ del. E²) 9 χύλισον libri: corr. Sar. ἀργυροῦν FEDl: καθαρὸν reliqui 11 βάλε om. mg. add. E²: βάλλε F post βάλλε add. καινὸν HDi στεγνῶς πωμάσας E 12 πίσσεται E 13 τὴν om. E 14 κυρηνικοῦ F 15 τὸ om. E ἄρκειόν τε (om. καὶ pr.) Di 16 σαμψυχίζεται libri: correxi, cf. D. III 39 18 ἐπιμελῶς] ὁλοσχερῶς E ὅσον μνᾶν H 19 μίξον ἐπιμελῶς E μαγίδας] μαλάξας E: μίξας F ἀναπλάσας F ἐπιχέας Q: ἐπιραίνου E: ἐπιρραίνων Di 20 αὐτὰ QE σκευάσας E νυκτερεῦσαι QDi 21 κύθραν QDi 22 ἀποβάλλῃ F 23 ὅλην νύκτα μεῖναι E 24 ἀποξύσας E: προσαποψύξας Di 25 πρὸς τὸν πυθμένα E 26 ἀναστρέφου E: ἀναστρέφων Q: ἀνάπλασσε Di 27 τε om. EDi ἃ ἰδίως προείρηται E: ἃ προείρηται Di

πᾶσι δὲ ἑψήσας καὶ διυλίσας ἀφελών τε, εἴ τις πρὸς τῷ πυθμένι ῥυπαρία ὑπάρχοι, ἀπόθου ἐν καταψύχρῳ τόπῳ.

εἰ δὲ ἀθεράπευτον στέαρ χήνειον ἢ ὀρνίθειον ἢ μόσχειον 16
θέλοι τις ἄσηπτον διατηρῆσαι, οὕτως ποιητέον αὐτό· λαβὼν πρόσφατον, ὁποῖον ἂν αἱρῇ, ἔκπλυνον ἐπιμελῶς καὶ διαψύξας ἐπὶ κοσκίνου ἐν σκιᾷ, μετὰ τὸ ξηρανθῆναι ἔμβαλε εἰς ὀθόνην καὶ ἐκπίεσον ταῖς χερσὶν ἐρρωμένως, εἶτα λίνῳ διείρας κρέμασον ἐν τόπῳ σκιερῷ· μετὰ δὲ ἡμέρας πολλὰς καινῷ ἀποδήσας χάρτῃ ἀποτίθεσο ἐν καταψύχρῳ τόπῳ. ἄσηπτα ⟨δὲ⟩ διαμένει καὶ ἐν μέλιτι ἀποτεθέντα.

δύναμιν δὲ ἔχει τὰ στέατα πάντα θερμαντικήν. τὸ μέντοι 17
ταύρειον στύφει ποσῶς καὶ τὸ βόειον καὶ τὸ μόσχειον, καὶ τὸ λεόντειον δὲ ἀναλογεῖ τούτοις· φασὶ δὲ καὶ ἀντιφάρμακον αὐτὸ τοῖς ἐπιβουλεύουσιν εἶναι. τὸ δὲ ἐλεφάντειον καὶ ἐλάφειον ἑρπετὰ διώκει καταχριόμενον· τὸ δὲ αἴγειον στυπτικώτερον, ὅθεν δυσεντερικοῖς δίδοται σὺν ἀλφίτῳ καὶ τυρῷ, καὶ ἑψόμενον ἐγκλύζεται μετὰ πτισάνης χυλοῦ. εὐθετεῖ δὲ καὶ φθισικοῖς ἐν ῥοφήμασιν ὁ ἐξ αὐτῶν ζωμός, καὶ τοῖς κανθαρίδας πεπωκόσιν
ὠφελίμως δίδοται. τὸ δὲ τράγειον, διαλυτικώτερον ὄν, βοηθεῖ 18
ποδαγρικοῖς φυραθὲν σὺν αἰγὸς σπυράθοις καὶ κρόκῳ καὶ ἐπιτιθέμενον, καὶ τὸ προβάτειον δὲ ἀναλογεῖ τούτῳ. ὕειον δὲ [ἀναλογεῖ] τοῖς περὶ ὑστέραν καὶ ἕδραν καὶ πυρικαύτοις ἁρμόζει· τὸ δὲ ταριχηρὸν ὕειον ὡς ὅτι παλαιότατον θερμαίνει,

---

3 EXC. Orib. XII s. v. *στέαρ* (*εἰ δὲ — ἀποτεθέντα*).
11 SIM. Pl. XXVIII 142 — Pl. XXVIII 90 — D. eup. II 49 (262) 52. 53 (265) — eup. II 38 (251) Pl. XXVIII 138 — D. II 152 (332) — eup. I 235 (216) Pl. XXVIII 219 — eup. II 71 (285) — Pl. XXVIII 216 — eup. I 178 (188) Pl. XXVIII 235.
15 TEST. Gal. XII 330 cf. XI 443.

---

1 *ὑλίσας* E *τὴν πρὸς τῷ πυθμένη ῥυπαρίαν ὑπάρχουσαν* E 3 *μόσχειον*] *ἐχίδνηον* E 4 *θέλει* Orib.FDi: *θέλη* E *οὕτω* HDi 5 *ὁποῖον*] *ὅ τι* E *βούλοιο* Di 6 *ἐν κοσκίνου* H: *ἐν κοσκίνῳ* F *ἔμβαλλον* H: *ἔμβαλλε* Orib.F *ὀθόνιον* Orib.E post *ὀθόνην* add. *καθαρὰν* HDi 7 *ἐκπίασον* E: *ἐκπίεσον* post *χερσὶν* colloc. Di *βιαίως* Spr. *ἔπειτα* Orib. *ἐν λίνῳ* E 9 *δὲ* addidi ex E 10 *ἀποτιθέμενα* E 11 *θεραπευτικήν* E (*θερμαντικήν* superscr. E[2]) post *θερμαντικήν* add. *μαλακτικήν, ἀρωματικήν* HDi 14 *τὸ δ' ἐλάφιον καὶ τὸ ἐλεφάντιον* E 16 *ἀλφίτῳ καὶ ῥοὶ καὶ τυρῷ καθεψόμενον ἐγκλύζεταί τε* HDi *τυρῷ* E: *πιτύρῳ* FDl, at cf. D. eup. II 49 (262) *ἑψόμενον*] *ἀνιέμενον* F 17 *καὶ μετὰ* E *χυλοῦ πτισάνης* E 18 *ῥοφήματι* E, cf. D. eup. II 38 (251) *καὶ* om. E 19 *διαλυτικώτατον* HDi: *διαχυτικώτερον ἢ διαλυτικώτερον* (om. *ὄν*) E: corr. E[2] 20 *φυραθὲν* om. E *καὶ* (alt.) om. E 22 *ἀναλογεῖ* seclusi: om. E *ὃ καὶ πυρικαύτοις* Di

μαλάσσει, οἴνῳ δὲ πλυθὲν ἁρμόζει πλευριτικοῖς, σὺν τέφρᾳ ἢ
ἀσβέστῳ ἀναλημφθέν, καὶ πρὸς οἰδήματα καὶ φλεγμονάς. τὸ
δὲ ὄνειόν φασιν οὐλὰς ὁμόχρους ποιεῖν, χήνειον δὲ καὶ ὀρνί-
θειον πρός ⟨τε⟩ τὰ γυναικεῖα καὶ ἐπιρρήξεις χειλῶν καὶ προσώ-
πων ἐπιμέλειαν καὶ ὠταλγίας ἁρμόζει, τὸ δὲ ἄρκειον δοκεῖ τρι-
19 χοφυὲς εἶναι ἀλωπεκιῶν καὶ χιμετλιῶσιν ἁρμόζει. τὸ δὲ τῆς
ἀλώπεκος στέαρ ⟨ποιεῖ⟩ πρὸς ὠταλγίας, τὸ δὲ τῶν ποταμίων
ἰχθύων ὀξυδερκὲς ἐγχριόμενον, ἀποτακὲν ἐν ἡλίῳ καὶ μέλιτι
μιγέν, τὸ δὲ τῆς ἐχίδνης πρὸς ἀμβλυωπίας, ἔτι δὲ ὑποχύσεις
ἐνεργεῖ, μιγὲν κεδρίᾳ καὶ μέλιτι Ἀττικῷ καὶ ἐλαίῳ παλαιᾷ ἴσον,
ἐκτιλθείσας δὲ τὰς ἐν μασχάλῃ τρίχας πρὸς ταῖς ῥίζαις κατα-
χρισθὲν καθ' ἑαυτὸ πρόσφατον ἐξιτήλους ποιεῖ.

77 μυελῶν δὲ κράτιστός ἐστιν ὁ ἐλάφειος, εἶτα μόσχειος
καὶ μετὰ τοῦτον ταύρειος, εἶτα αἴγειος καὶ προβάτειος. συνί-
σταται δὲ θέρους τοῦ συνεγγίζοντος τῷ φθινοπώρῳ· ἐν γὰρ
τοῖς ἄλλοις καιροῖς αἱμαλωπιᾷ καὶ οἱονεὶ σὰρξ εὔθρυπτος ἐν
τοῖς ὀστέοις εὑρίσκεται. ἔστι δὲ δύσγνωστος, ἐὰν μή τις αὐτὸν
ἐξοστείσας ἴδῃ καὶ ἀποθῆται.

ἅπαντες δέ εἰσι μαλακτικοί, ἀραιωτικοί, θερμαντικοί, πλη-
ρωτικοὶ ἑλκῶν· ὁ δὲ ἐλάφειος περιχρισθεὶς καὶ θηρία διώκει.
2 θεραπεύεται δὲ ὁ πρόσφατος μαλαχθεὶς ὡς στέαρ, παρα-
χεομένου ὕδατος, ἐκλεγομένων τῶν ὀστέων, εἶτα δι' ὀθόνης

1 SIM. D. eup. I 147 (168) Pl. XXVIII 140 — Pl. XXVIII 139 eup. I 115 (150) — Pl. XXX 130. 131 — Pl. XXX 27 — Pl. XXX 29 — Pl. XXIX 133 — eup. I 95 (140) Pl. XXVIII 163 — eup. I 181 (190) Pl. XXVIII 221 — eup. I 41 (113).
13 SIM. Pl. XXVIII 145. 150. D. eup. II 130 (323).
13 EXC. Orib. XI s. v. (*μυελῶν — ἀποθῆται, θεραπεύεται — ὑπεδείξαμεν*); Orib. V 75 D. Gal. XIII 331 (unde Paul. Aeg. VII 3 s. v. Aet. II 153).
21 SIM. Pl. XXVIII 145.

1 *καὶ μαλάσσει* Di 2 post *φλεγμονάς* add. *καὶ σύριγγας* HDi 3 *ὁμοχρόμους* E: fort. *ὁμοχρόους* 4 *τε* addidi ex E *χειλέων* H: fort. recte 5 *ὠταλγίαν* E *ἁρμόζει* om. E 6 *ἀλωπεκίας* E *καὶ* om. F 7 *ποιεῖ* addidi *ὠταλγίαν* E 8 *ὀξυδερκίαν ἐπιχριόμενον* E 9 *ἀμβλυωπίαν* E *ὑποχύσεσιν* E 10 *ἴσω* E 11 *κἂν ἐκτείλας τις ἐν μασχάλῃ τρίχας προ*[illegible]*ρίζους* (σ del. E[9]) *καταχρήσῃ πρόσφατον καθ' ἑαυτὸ ἐξ. π.* E *ἐκταλείσας* F *τὰς ῥίζας* FDi
13 num. cap. *σϙ* QDi: *πϙ* E *ἐστιν* om. Orib.E *ὁ* om. FDi *εἶτα* om. E 14 *τοῦτο* F 15 *τοῦ* om. H 16 *αἱμαλοπίς* FDi: *αἱμαλωπιᾷ* HOrib. V 76: *αἱμαλωπίαι* Orib. XI: *αἱμάλωπι ἔοικεν οἷον ἡ σὰρξ καὶ εὔθρυπτος* E[2] (mg. add. *αἱμαλωπὶς* ||||||*ονεὶ σαρ*||| litt. evanidis): *quia reliquis temporibus mixte sunt sanguini* Dl, sed dubito *καὶ — εὑρίσκεται* om. Orib. V: *οἱονεὶ σὰρξ* om. Orib. XI s. v. 18 *ἴδῃ καὶ* om. Orib.E 19 *θερμαντικοί* (om. mg. add.) E[2]: *θεραπευτικοί* QDi (frustra def. Sarac.): *calida* Dl: *excalfiunt* Pl. l. s. 20 *καὶ* om. E 21 *ὡς στέαρ* om. Orib. 22 *ὀστῶν* E *ὀθονίου* Orib.E

ὑλισθεὶς καὶ ὡσαύτως πλυθείς, ἄχρι ἂν οὗ τὸ ὕδωρ καθαρὸν γένηται· ἔπειτα ἐν διπλώματι τακείς, ὑπαναλημφθείσης πτερῷ τῆς ἐπινηχομένης ῥυπαρίας, καὶ διυλισθεὶς εἰς θυίαν, μετὰ τὸ παγῆναι ἀποτίθεται ἐν ὀστρακίνῳ ἀγγείῳ καινῷ, ἀπεξυσμένης ἐπιμελῶς τῆς ὑποστάθμης. εἰ δ' ἀθεράπευτον ἀποτίθεσθαι βούλει, ποίει πάντα, ὡς ἐπὶ τοῦ ὀρνιθείου καὶ χηνείου στέατος ὑπεδείξαμεν (II 76).

78 χολὴ πᾶσα ἀποτίθεται τούτῳ τῷ τρόπῳ· λαβὼν τὴν πρόσφατον καὶ ἀποδήσας τὸ στόμα αὐτῆς λίνῳ κάθες εἰς ὕδωρ ζέον διαλιπὼν χρόνον τοσοῦτον, ὅσον ἄν τις τριῶν σταδίων δρόμον ἀνύσειεν· εἶτα ἐξελὼν ξήραινε ἐν τόπῳ σκιερῷ καὶ ἀποτίστῳ. τὰς δὲ εἰς τὰ ὀφθαλμικὰ λίνῳ ἀποδήσας βάλε εἰς βῖκον ὑελοῦν ἔχοντα μέλι, καὶ τὴν ἀρχὴν τοῦ λίνου περιδήσας τῷ στόματι τοῦ βίκου πωμάσας ἀπόθου.

εἰσὶ δὲ πᾶσαι αἱ χολαὶ δριμεῖαι, θερμαντικαί, τῷ μᾶλλόν 2 τε καὶ ἧττον κατὰ δύναμιν ἀλλήλων διαφέρουσαι. δοκοῦσι δὲ ἐπιτετάσθαι ἥ τε τοῦ θαλασσίου σκορπίου καὶ ἰχθύος τοῦ λεγομένου καλλιωνύμου, χελώνης τε θαλασσίας καὶ ὑαίνης, ἔτι δὲ πέρδικος καὶ ἀετοῦ καὶ ἀλεκτορίδος λευκῆς καὶ αἰγὸς ἀγρίας, ἰδίως ἁρμόζουσα πρὸς ἀρχομένας ὑποχύσεις καὶ ἀχλῦς, ἄργεμά τε καὶ τραχέα βλέφαρα. τῆς δὲ τοῦ προβάτου καὶ τοῦ τράγου καὶ τοῦ συὸς ἔτι δὲ ἄρκου ἐμπρακτικωτάτη ἐστὶν ἡ ταυρεία.

---

8 SIM. Pl. XXVIII 146 — Pl. XXXII 37. XXIX 123; D. eup. I 41 (113).
8 EXC. Orib. XII s. v. (*χολή — ἀπόθου*); Gal. XII 275 sq. (unde Act. II 106. Paul. Aeg. VII 3 s. v.).

---

1 *διυλισθεὶς* Orib. V 75 *ὡσαύτως τε* Orib. V 75 *ἄχρι ἂν οὗ* FE: *ἄχρις ἂν οὗ* Orib. XI: *ἄχρις ἂν* HDiOrib. V 75 2 post *τακεὶς* add. *ἀπηθηθῇ* E *ἀποληµφθείσης* E (*ἀνα* superscr. E[2]): *ἀναληφθείσης* Orib.: *ἐπαναληφθείσης* Di: *ἀρθείσης* Orib. V 75 3 *ὑλισθείσης* vel *διυλισθείσης* Orib. post *τὸ* del. *πλυθῆναι καὶ* E[2] 4 *καινῷ ἀγγίῳ* Orib.E *ἀποξυομένης* Orib.E 5 *ἀθεράπευτον* post *βούλει* colloc. E *ἀποθέσθαι* Orib.E 6 *ὥσπερ* E 7 *ὑπεδείξαμεν* om. Orib.
8 num. cap. $\overline{\sigma\zeta}$ QDi: $\overline{\pi\zeta}$ E *χολὴ δὲ* E *τρόπω τόδε* E: *τρόπῳ τούτῳ* (*τούτῳ* add. pr. m.) Orib. 9 *λίνῳ* om. E *κάθες* Orib.: *καθεὶς* E: *κάθεσο* reliqui 10 *ζέον ὕδωρ* Orib. *καὶ διαλιπὼν* E 11 *ἀναλύσειεν* Q: *ἀναλώσειεν* reliqui: corr. nescio quis *εἶτα*] *καὶ* E *ξήρανε* E 12 *βάλλε* FOrib. (*βάλλε — ὑελοῦν* om. mg. add. Orib.) 13 *βικίον* Di: *ἀγγεῖον* H *ἔχον* HDi *περινίλσας* E 14 *ἀποτίθεσο* Orib.E 15 *δριμεῖαι καὶ* E *τῷ* E: *τὸ* reliqui 16 *τε* om. E *διαφέρουσαι ἀλλήλων* E 17 *καλουμένου* E 19 *ἀλεκτορίδων λευκῶν* corr. E[2], ad rem cf. Pl. XXIX 123 20 *ἁρμόζουσαι* H *ἐπιχύσεις* E: corr. E[2] 21 *βλέφαρα τραχέα* E *τοῦ* (pr.) om. E *προβατήου* E *τοῦ* (alt.)] *τῆς* E *τραγίου* E 22 *τοῦ* om. E *ἄρκου* E: *ἄρκτου* reliqui *ἐμπρακτοτάτη* QDi

πᾶσαι δὲ προθυμίαν πρὸς διαχώρησιν ἐργάζονται, καὶ μᾶλλον ⟨ἐπὶ⟩ παιδίων, εἴ τις κροκύδα βάψας προσθείη τῷ δακτυλίῳ.
3 ἡ δὲ ταυρεία ἰδίως ἐπὶ συναγχικῶν διαχρίεται σὺν μέλιτι, ἀποθεραπεύει τε τὰ ἐν δακτυλίῳ μέχρι οὐλῆς, πυορροοῦντά τε ὦτα καὶ τὰς ἐπ' αὐτῶν ῥήξεις σὺν γάλακτι αἰγείῳ ἢ γυναικείῳ ἐνσταζομένη. πρὸς δὲ συριγμοὺς σὺν πράσου χυλῷ ⟨ποιεῖ⟩, εἴς τε τὰς τραυματικὰς ἐμπλάστρους ἀφλεγμάντους μειγνυμένη καὶ θηριακὰς περιχρίστους· καὶ πρὸς φαγεδαινικὰ ⟨δ'⟩ ἕλκη καὶ ὀδύνας αἰδοίου καὶ ὀσχέου σὺν μέλιτι, πρὸς δὲ λέπρας καὶ πίτυρα σὺν νίτρῳ ἢ γῇ κιμωλίᾳ σμῆγμα κράτιστον. καὶ ἡ προβατεία
4 δὲ πρὸς τὰ αὐτὰ καὶ ἡ ἀρκεία, ἐνδεέστεραι δὲ τυγχάνουσιν. ἐκλειχομένη δὲ ἡ ἀρκεία ἐπιληπτικοὺς ὠφελεῖ, ἡ δὲ τῆς χελώνης πρὸς συνάγχας καὶ τὰς ἐπὶ τῶν παιδίων νομὰς ἐν στόματι καὶ ἐπιληπτικοὺς ἐντεθεῖσα ταῖς ῥισίν, αἰγὸς δὲ ἀγρίας ἰδίως νυκτάλωπας θεραπεύει ἐγχρισθεῖσα. καὶ ἡ τοῦ τράγου δὲ τὸ αὐτὸ ποιεῖ, θύμιά τε αἴρει καὶ τὰς ἐπὶ τῶν ἐλεφαντιώντων ὑπεροχὰς καταχριομένη στέλλει. ἡ δὲ ὑεία πρὸς τὰ ἐν ὠσὶν ἕλκη καὶ πρὸς τὰ λοιπὰ πάντα ὠφελίμως παραλαμβάνεται.

79 αἷμα χηνὸς καὶ ἐρίφου καὶ νήσσης ἀντιδότοις χρησίμως μείγνυται, φάσσης δὲ καὶ τρυγόνος καὶ περιστερᾶς καὶ πέρδικος πρόσφατον πρὸς ὀφθαλμῶν τρώσεις, καὶ ὑποδρομὰς αἵ-

---

3 SIM. Pl. XXVIII 189; D. eup. I 88 (137) — Pl. XXVIII 216 — eup. I 60 (124) I 58 (122) Pl. XXVIII 173 — Pl. XXVIII 241 — Pl. XXVIII 186 — Pl. XXXII 37 eup. I 88 (137) — Pl. XXXII 37 — Pl. XXXII 37 eup. I 18 (104) — eup. I 88 (137) — Pl. XXVIII 187 — eup. I 205 (200) — Pl. XXVIII 173.

15 TEST. Ruf. 533 (ed. R.): dixerunt Ruffus et *Dyascorides*: fel hircinum tollit verrucas.

19 SIM. Pl. XXIX 104. 161 — D. eup. I 44 (114) Pl. XXIX 126 — Pl. XXX 112 — Pl. XXVIII 202 eup. II 49 (261) — Pl. XXVIII 161 eup. II 139 (328) — Pl. XXIX 58 — Pl. XXXII 112 eup. I 18 (103).

19 EXC. Gal. XII 258 sq. Paul. Aeg. VII 3 s. v.

---

2 ἐπὶ addidi ex E κροκύδα E: κροκίδα reliqui 4 τε (pr.)] δὲ E δακτύλῳ QDi μέχρις HDi 5 αἰγείῳ ἢ om. E: *lacte mulierum aut caprinum* Dl 6 σύριγγας E ποιεῖ addidi 7 τὰς om. E ἐμπλάστρους om. mg. add. F ἀφλεγμάντους om. HDi: φλεγμάντους F: correxi coll. Dl *medicaminibus traumaticis id est vulnerum utiliter iungitur et sine tumore vulnera servat* 8 δ' addidi 10 ἢ γῇ] καὶ E 11 ἐνδεέστεραι E (ι del. E²) 13 παιδίων E: παίδων reliqui 14 ἐπιληπτικοὺς in ἐπιλήπτους corr. E²: ἐπιληπτικοῖς (ut videtur) reliqui ταῖς ῥισὶν ἐντεθεῖσα E 15 νυκτάλωπα E καὶ om. E ἡ δὲ E 16 τὰ αὐτὰ E θυμιώμενα δὲ H 17 καὶ καταστέλλειν χριόμενος H καταστέλλει Di

19 num. cap. $\overline{\sigma\eta}$ QDi: $\overline{\pi\eta}$ E tit. περὶ ἀντιδότων (sic) F 20 φάττης E 21 πρόσφατα E: πρόσφαται F: πρόσφατος H: εἰς προσφάτους ὀφθαλμῶν τρώσεις Di

ματος καὶ νυκτάλωπας ἐγχρίεται. ἰδίως δὲ τὸ τῆς περιστε-
ρᾶς αἱμορραγίας τὰς ἐκ μηνίγγων ἐπέχει. τὸ δὲ τοῦ τράγου
καὶ αἰγὸς καὶ ἐλάφου καὶ λαγωοῦ ὀπτὸν ἀπὸ τηγάνου λαμ-
βανόμενον δυσεντερίας καὶ κοιλιακὰς ῥύσεις ἐφίστησι, μετ'
οἴνου δὲ ποθὲν πρὸς ⟨τὰ⟩ τοξικὰ ποιεῖ. τὸ δὲ τῶν λαγωῶν
θερμὸν καταχριόμενον ἐφηλίδας καὶ φακοὺς θεραπεύει, καὶ τὸ
ἀπὸ τῶν κυνῶν δὲ ποθὲν λυσσοδήκτοις καὶ τοξικὸν πεπωκόσιν
ἁρμόζει. τὸ δὲ τῆς χερσαίας χελώνης ποθὲν ἐπιληπτικοῖς 2
ἱστορεῖται ἁρμόζειν, θαλασσίας δὲ χελώνης σὺν οἴνῳ καὶ
πιτύᾳ λαγωοῦ καὶ κυμίνῳ πινόμενον ἁρμόζει πρὸς θηριο-
δήγματα καὶ φρύνου πόσιν. ταύρου δὲ αἷμα διαφορεῖ καὶ
μαλάσσει σκληρίας καταπλασσόμενον μετὰ ἀλφίτων. τὸ δὲ τῶν
ὀχευτῶν ἵππων σηπταῖς μείγνυται, τὸ δὲ τοῦ χαμαι-
λέοντος τρίχας ψιλοῦν ἐπὶ τῶν βλεφάρων πεπίστευται, καὶ
τὸ τῶν χλωρῶν βατράχων ὁμοίως. γυναικὸς δὲ τὸ ἐπι-
μήνιον περιαλειφόμενον καὶ ὑπερβαινόμενον ἀσυλλήμπτους
δοκεῖ ποιεῖν γυναῖκας, ποδαγρικὰς δὲ ὀδύνας καὶ ἐρυσιπέλατα
κουφίζει καταχριόμενον.

80 ἀπόπατος βοὸς νομάδος πρόσφατος ἐπιτεθεῖσα
φλεγμονὰς τὰς ἐκ τραυμάτων πραΰνει· ἐνειλεῖται δὲ φύλλοις
καὶ θερμαίνεται ἐν θερμοσποδιᾷ καὶ οὕτως ἐπιτίθεται, καὶ
ἰσχιάδος δὲ πυρία πραυντικὴ ἡ τοιαύτη ἐπίθεσις. σὺν ὄξει δὲ
καταπλασθεῖσα χοιράδας καὶ σκληρώματα διαλύει καὶ φύγεθλα.
ἰδίως δὲ ἄρρενος βοὸς βόλβιτον ὑστέραν προπεπτωκυῖαν

---

9 SIM. Apollod. (Gal. XIV 184); Nic. Th. 710 sq. Pl. XXXII 33. D. eup. II 115 (315); Nic. Al. 585 (ex Apoll.); D. eup. II 157 (334) — Pl. XXVIII 217 — Pl. XXVIII 174 — Pl. XXXII 136 — D. eup. II 95 (299); Pl. XXVIII 80; D. eup. I 235 (215).

19 SIM. Pl. XXVIII 242 — Pl. XXVIII 199 D. eup. I 241 (222) — Pl. XXVIII 191 eup. I 15 (172?) — Pl. XXVIII 234 — Pl. XXVIII 253 eup. II 69 (284) — eup. II 133 (325) — eup. II 56 (267) — eup. II 76 (287).

19 EXC. Gal. XII 290 sq.

---

2 *καὶ αἱμορραγίας* E *τῶν μηνίγγων* E 3 *καὶ ἐλάφου* om. H 4 *καὶ* om. E *κοιλίας ῥύσιν* E 5 *τὰ* addidi ex E 8 *ἐπιληπτικοὺς ἱστορῆται θεραπεύειν* E 9 nov. cap. (*πθ*) incip. E *θαλαττίας* E 10 *λαγωοῦ πιτήα* (*υ* superscr.) E *πινόμενα* E fort. *θηρίων δήγματα* 11 *πρὸς φρύνου* E 14 *τῶν* om. E 15 *τὸ ἐκ καταμηνίων περιχριόμενον* E 17 *ποιεῖν δοκεῖ* E

19 num. cap. *σθ* QDi: *ϛ* E *ἐπιτεθεὶς* libri: correxi 20 *τὰς φλεγμονὰς* H 21 *ἐπὶ* libri: correxi coll. D. eup. 241 (222) 22 *δὲ* (pr.)] *τε* E (corr. E²) *πυρίας* H: *πυρίᾳ* Spr. *πρακτικὴ* E *ἐπιτεθῆσα* E 23 *σκληρίας καὶ χοιράδας* Di post *φύγεθλα* add. *καὶ φύματα* E

ὑποθυμιώμενον ἀποκαθίστησι, διώκει δὲ καὶ κώνωπας θυμι-
αθέν. αἰγῶν δὲ σπύραθοι, μάλιστα ὀρεινῶν, πινόμεναι σὺν
οἴνῳ ἴκτερον ἀποκαθαίρουσι, σὺν ἀρώματι δὲ ποθεῖσαι ἔμμηνα
2 κινοῦσι καὶ ἔμβρυα ἐκβάλλουσι. ξηραὶ δὲ λεῖαι σὺν λιβανωτῷ
προστεθεῖσαι ἐν ἐρίῳ ῥοῦν γυναικεῖον ἐπέχουσι, καὶ τὰς ἄλλας
⟨δὲ⟩ αἱμορραγίας σὺν ὄξει στέλλουσι· καεῖσαι δὲ ἀλωπεκίας
θεραπεύουσι μετ' ὄξους ἢ ὀξυμέλιτος καταχριόμεναι, σὺν ὀξυγ-
γίῳ δὲ καταπλασσόμεναι ποδαγρικοὺς ὠφελοῦσιν. ἑψηθεῖσαι
δὲ μετ' ὄξους ἢ οἴνου ἐπιτίθενται πρὸς ἑρπετῶν δήγματα καὶ
ἕρπητας καὶ ἐρυσιπέλατα καὶ παρωτίδας. καὶ ἐπὶ ἰσχιαδικῶν
δὲ ἡ δι' αὐτῶν καῦσις ὠφελίμως παραλαμβάνεται τοῦτον τὸν
τρόπον· ἐπὶ τὸ μεταξὺ μέρος τοῦ ⟨λιχανοῦ καὶ τοῦ⟩ ἀντίχειρος,
συνεγγίζον δὲ τῷ καρπῷ κοῖλον, προυποθεὶς ἔριον ἐλαίῳ βεβρεγ-
μένον, ἐπιτίθει κατὰ μίαν σπύραθον πυρῶν, ἄχρι οὗ ἂν ἡ αἴσθη-
σις διὰ τοῦ βραχίονος ἐπὶ τὸ ἰσχίον ἔλθῃ καὶ παύῃ· καλεῖται δὲ
3 τοιαύτη καῦσις Ἀραβική. [ἡ] προβάτων δὲ ἄφοδος σὺν ὄξει
καταπλασθεῖσα ἐπινυκτίδας, ἥλους, θύμους, ἀκροχορδόνας ἰᾶται,
πυρίκαυτα δὲ κηρωτῇ ῥοδίνῃ ἀναλημφθεῖσα. ὑὸς δὲ ἀγρίου
ξηρὰ μεθ' ὕδατος ἢ οἴνου ποθεῖσα αἵματος ἀναγωγὴν ἴσχει καὶ
χρόνιον ἄλγημα πλευρᾶς πραΰνει, ῥήγματα δὲ καὶ σπάσματα
μετ' ὄξους· στρέμματα δὲ θεραπεύει ἀναλημφθεῖσα κηρωτῇ

4 SIM. Pl. XXVIII 255 D. eup. II 83 (294) — Pl. XXVIII 239 — Pl. XXVIII 166 eup. I 95 (140) — Pl. XXVIII 220 eup. I 235 (215) — Pl. XXVIII 153 eup. II 117 (317) — Pl. XXVIII 241 eup. I 170 (182) — Pl. XXVIII 177 — Pl. XXVIII 220 eup. I 242 (222). — Pl. XXX 114 eup. I 171 (183) — Pl. XXX 80 — Pl. XXX 81 eup. I 177 (186) — Pl. XXX 109 eup. I 178 (188) — Pl. XXVIII 264 — D. eup. II 35 (247) — eup. II 34 (246) — Pl. XXVIII 234 eup. I 226 (210) — Pl. XXVIII 239 eup. I 208 (202).

10 EXC. Aet. XII 3.

1 ὑποθυμιώμενον προπεπτωκυῖαν E θυμιαθέν] ὑποθυμιαθὲν E 2 μάλιστα σὺν ὀρειγάνῳ πινόμεναι καὶ οἴνῳ E, at cf. D. eup. II 56 (267) σπύραθοι αἰγῶν καὶ μάλιστα ἀγρίων μετ' οἴνου καθ' ἑαυτὰς καὶ σὺν ἀρώματι 4 κτένουσιν ἔμβρυα E 5 ἐν ὀθονίῳ E, at cf. D. eup. II 83 (294) ἀπόπατος αἰγὸς σὺν λιβανωτῷ (sc. ῥοῦν ἵστησι)· δεῖ δὲ ἐνειλεῖν ἐρίῳ καὶ προστιθέναι 6 δὲ addidi ex E δὲ (alt.)] τε E 7 καὶ μέλιτος E ὀξουγγίῳ E 8 ποδαγρικῶν εἴσιν κατάπλασμα E 9 ἐπιτεθέντα F 10 καὶ ἐρυσιπέλατα om. E ἰσχιάδων E 11 ὠφέλιμος· παραλαμβάνεται δὲ E τὸν τρόπον τοῦτον E 12 μεταξὺ τῶν μερῶν (ut videtur) E: corr. E², cf. D. eup. I 242 (222) λιχανοῦ καὶ τοῦ addidi coll. Aet. XII 3 (17 K.) 13 συνεγγίζων F προυποτεθεὶς E 14 πυριῶν libri: correxi ἄχρι ἂν οὗ E: ἄχρι οὗ ἂν F: ἄχρις ἂν HDi 16 ἡ delevi: om. E 17 καταχρεισθεῖσα E 18 δὲ (pr.)] τε H ῥοδίνῃ κηρωτῇ E 20 πραΰνει] κατίσχει E (corr. E²) σπάσματα δὲ καὶ ῥήγματα E 21 post ὄξους add. πινομένη HDi θεραπεύει post ῥοδίνῃ colloc. E

ῥοδίνῃ. ὀνὶς δὲ καὶ ἡ τῶν ἵππων ⟨ἄφοδος⟩ αἱμορραγίας ἵστη-
σιν ὠμή τε καὶ κεκαυμένη ὄξει μιγεῖσα. ἡ δὲ τοῦ ἐξ ἀγέλης ὄνου
ποηφάγου ἄφοδος ξηρὰ χυλισθεῖσα ἐν οἴνῳ καὶ ποθεῖσα σκορ-
πιοπλήκτοις σφόδρα βοηθεῖ. περιστερᾶς δὲ θερμαντικωτέρα 4
καὶ καυστικωτέρα χρησίμως ὠμῇ λύσει μειγνυμένη, σὺν ὄξει
δὲ χοιράδας διαφορεῖ, ἄνθρακάς τε περιρρήττει σὺν μέλιτι καὶ
λινοσπέρμῳ, καὶ ⟨σὺν⟩ ἐλαίῳ λεανθεῖσα πυρίκαυτα θεραπεύει.
καὶ ἡ τῶν ἀλεκτορίδων δὲ ταὐτὰ ποιεῖ, ἐνδεέστερον μέντοι,
πλὴν ἰδίως πρὸς μύκητας θανασίμους καὶ κόλου ἀλγήματα ἁρ-
μόζει μετ᾽ ὄξους ἢ οἴνου πινομένη. πελαργοῦ δὲ σὺν ὕδατι
ποθεῖσα ἐπιληπτικοῖς ἁρμόζειν πεπίστευται, γυπὸς ⟨δὲ⟩ ὑπο-
θυμιαθεῖσα ἔμβρυα ἐκτινάσσειν παραδέδοται. μυῶν ⟨δὲ⟩ λεία 5
σὺν ὄξει ἀλωπεκίας καταχριομένη θεραπεύει, σὺν λιβανωτῷ δὲ καὶ
οἰνομέλιτι πινομένη λίθους ἐκκρίνει. προστιθέμενα δὲ παιδίοις
τὰ μυόχοδα κοιλίαν πρὸς ἔκκρισιν ἐρεθίζει. κυνὸς δὲ ἡ ἐν
τοῖς ὑπὸ κύνα καύμασι λημφθεῖσα, ξηρὰ πινομένη μεθ᾽ ὕδατος
ἢ οἴνου, κοιλίαν ἐφίστησιν. ἡ δὲ τῶν ἀνθρώπων πρόσφατος
μὲν καταπλασθεῖσα ἀφλέγμαντα μετὰ τοῦ παρακολλᾶν φυλάττει
τὰ τραύματα, ξηρὰ δὲ μετὰ μέλιτος διαχριομένη ἐπὶ συναγχι-
κῶν βοηθεῖν παραδέδοται. ἡ δὲ τοῦ χερσαίου κροκοδείλου 6
ἁρμόζει ἐπὶ τῶν γυναικῶν πρὸς εὔχροιαν καὶ στίλβωσιν τοῦ
προσώπου. καλλίστη δέ ἐστιν ἡ λευκοτάτη καὶ εὔθρυβής, κούφη
τε ὥσπερ ἄμυλον ταχέως τε χυλουμένη ὑπὸ ὑγροῦ, διατριβεῖσά

---

5 SIM. Pl. XXX 38 — D. eup. I 198 (196) — Pl. XXX 109 eup. I 178 (188) — Pl. XXIX 103 eup. II 160 (336) — eup. II 44 (257) — eup. I 18 (102) — Pl. XXIX 106. 110 eup. I 95 (140) — Pl. XXX 65 — eup. II 46. 47 (258) — Pl. XXVIII 44 — eup. I 109 (148).

---

1 ῥοδίνῃ κηρωτῇ E   ἐνὶο F: ὄνιος corr. E[2] (de E non constat): ὄνων reliqui   ἄφοδος addidi   αἱμορραγίαν E   2 ὄνου] ὄντος HDi: ὄντος οὐ F (varia lectio, in arch. ὄντος superscr. ου)   3 σὺν οἴνῳ E   4 ἡ θερμαντικωτάτη E   5 καὶ om. F: καὶ καυστικ. om. H   καυστικωτάτη E   χρήσιμος ὠμαῖς λύσεσιν μιγνυμένη E   6 τε] δὲ E   περιχρισθεῖσα περιρρήττει E verba σὺν μέλιτι καὶ λινοσπέρμῳ ad insequentia trahit Dl, at cf. D. eup. I 198 (196) περιστερᾶς ἄφοδος μετὰ λινοσπέρμου καὶ μέλιτος (sc. ἄνθρακας περιρρήττει) 7 σὺν add. ex E coll. D. eup. I 178 (188) περιστερᾶς κόπρος καεῖσα ἐν ὀθονίῳ καὶ σὺν ἐλαίῳ λεανθεῖσα (sc. πυρίκαυτα ὠφελεῖ)   πυρίκαυτά τε HDi   9 ἄλγημα E   10 ἡ τοῦ πελαργοῦ δὲ E   11 ἡ τοῦ γυπὸς E   δὲ addidi ex E   ἐπιθυμιαθεῖσα H   12 ἡ τῶν μυῶν E   δὲ addidi ex E   σὺν ὄξει λεία καταχρισθεῖσα E   15 ἡ om. E   16 μετὰ οἴνου ἢ ὕδατος E   17 ἵστησιν E 20 κροκοδίλλου ἄφοδος καλουμένη δὲ κροκοδιλαία E   21 τῶν om. H   22 λεπτοτάτη HDi   εὔθρυπτος E   23 τε (pr.)] δὲ E   ἄμυλος E   τε (alt.)] δὲ E

τε ὕποξυς καὶ ζυμίζουσα τὴν ὀσμήν. δολίζουσι δὲ αὐτὴν ψᾶρας ὀρύζῃ τρέφοντες καὶ τὴν ἄφοδον ὁμοίαν οὖσαν πωλοῦντες· οἱ δὲ ἄμυλον γῇ κιμωλίᾳ φυρῶντες καὶ χροίζοντες ἐπ' ὀλίγον ἀγχούσῃ δι' ἀραιοῦ κοσκίνου εἰς σανίδας ἀπηθοῦσι, καὶ ξηράναντες τὰ σκωλήκια πωλοῦσιν ἀντὶ ταύτης.

81 οὖρον ἀνθρώπου τὸ ἴδιον ποθὲν πρὸς [ὑπὸ] ἐχίδνης δήγματα ἁρμόζει καὶ πρὸς θανάσιμα καὶ ἀρχομένους ὕδρωπας, καὶ πρὸς νύξιν τῶν θαλασσίων ἐχίνων καὶ σκορπίου θαλασσίου καὶ δράκοντος ἐπαντλούμενον. τὸ δὲ κοινὸν ἐπάντλημα κυνοδήκτοις, καὶ πρὸς λέπρας καὶ κνησμοὺς σμῆγμα σὺν νίτρῳ. τὸ δὲ παλαιὸν σμηκτικώτερον ἀχώρων, πιτύρων, ψωρῶν, ἐκζεσμάτων, νομάς τε ἐπέχει καὶ ⟨μάλιστα⟩ τὰς ἐν αἰδοίοις ἐγκλυζόμενον, καὶ ὦτα πυορροοῦντα στεγνοῖ· ἐκβάλλει δὲ καὶ τοὺς ἐν αὐτοῖς
2 σκώληκας ἑψόμενον ἐν σιδίῳ ῥόας. τὸ δὲ τοῦ ἀφθόρου παιδὸς καταρροφούμενον ὀρθοπνοίαις ἁρμόζει, ἑψηθὲν δὲ ἐν χαλκῷ σὺν μέλιτι οὐλὰς καὶ ἄργεμα καὶ ἀχλῦς ἀποσμήχει. κατασκευάζεται δὲ δι' αὐτοῦ καὶ τοῦ κυπρίου χαλκοῦ ἁρμόζουσα ἐπὶ τοῦ χρυσίου κόλλα. ἡ δὲ ὑποστάθμη τοῦ οὔρου καταχρι-

6 SIM. Pl. XXVIII 65 sq. — D. eup. II 115 (307) — eup. II 135 (326) — Pl. XXVIII 67 eup. II 125 (322) — Pl. l. s. 67 eup. II 113 (314) — Pl. l. s. 67 — Pl. l. s. 67 eup. I 105 (146) — Pl. l. s. 66. 67 — eup. I 60 (123) 61 (124) — eup. II 39 (251) cf. Pl. XXVIII 75.

6 EXC. Gal. XII 234.

16 SIM. Pl. XXVIII 65 eup. I 41 (112) — Pl. XXXIII 93 — eup. II 71 (285) — eup. I 41 (112) — eup. I 57 (121) — eup. II 63 (277) — Pl. XXVIII 174. 176 eup. I 57 (121).

1 ταύτην E ψᾶρας] ψαρᾶ F: ψαφαρᾶς H: τῇ φαρία E (corr. E[2]) 3 ἄμυλον ἢ κιμωλίαν HDi: ἄμυλον κημωλίαν (ν del. E[2]) E 4 post κοσκίνου del. λεπτοῦ E[2] σανίδα E 5 τὰ σκωλίκια E (τὰ σ del. E[2]): ὡς σκωλήκια Di αὐτῆς E in fine add. ἀνθρώπων δὲ ξηρὰν (ξηρὰ Di) σὺν μέλιτι φυραθεῖσαν (— σα Di) καὶ ἐπιτεθεῖσαν τῷ λάρυγγι, ὡς καὶ ἡ τοῦ κυνός, συναγχικοῖς βοηθεῖν ἀναντιρρήτως εὕρομεν Di

6 num. cap. σι QDi: ϛα E τὸ om. E ἰδίως Q: οὖρον τὸ ἴδιον ποθὲν D. eup. II 115 (307) τὰ ὑπὸ ἐχ. δηχθέντα E: ὑπὸ om. HDi: delevi 7 τὰ θανάσιμα E πρὸς ἀρχομένους E 8 καὶ (pr.) om. E πρὸς τὰς νύξεις E (δήξεις corr. E[2]): πρὸς δῆξιν reliqui: correxi coll. Dl *punctionibus aecini* ἐχιδνῶν libri: ἐχίνων Dl: corr. Marc. coll. Pl. XXVIII 67 9 καινὸν H: κοινὸν FE: κυνῶν DiDl, cf. D. eup. II 113 (314) ἐξάντλημα E (corr. E[2]) κυνοδήκτων E 10 λέπραν ἢ κνησμοὺς E δὲ om. HDi 12 καὶ del. E[2] μάλιστα addidi coll. Pl. l. s. *nomas praecipue genitalium* comma post αἰδοίοις sustuli coll. D. eup. I 196 (195) 13 ἐμβάλλει HDi 14 σιδίοις EDi: σιδήροις (pro σιδίῳ ῥόας) H τοῦ δὲ (om. τὸ) E 15 ὀρθοπνοίαν κουφίζει E 16 ἄργεμα] τραύματα E 17 τοῦ om. E 18 τῷ χρυσοκολλᾶν H

σθεῖσα ἐρυσιπέλατα παύει. ἀναζεσθεῖσα δὲ σὺν κυπρίνῳ καὶ
προστεθεῖσα ὀδύνην ὑστέρας παρηγορεῖ ⟨καὶ⟩ ὑστερικῶς πνιγο-
μένας κουφίζει, βλέφαρά τε ἀποσμήχει καὶ οὐλὰς τὰς ἐν ὀφ-
θαλμοῖς ἀποκαθαίρει. τὸ δὲ ταύρειον σὺν σμύρνῃ λεανθὲν
καὶ ἐνσταγὲν ὠταλγίας παρηγορεῖ, καὶ τὸ ὀνάγρειον δὲ τῆς αὐ-
τῆς ἔχεται δυνάμεως, ἰδιαίτερον δὲ τοὺς ἐν κύστει λίθους θρύπ-
τει καὶ ἐκκρίνει πινόμενον. αἰγὸς δὲ ὕδρωπα τὸν ὑπὸ σάρκα 3
πινόμενον μετὰ νάρδου στάχυος καθʼ ἑκάστην ἡμέραν σὺν ὕδατι
κυάθων πλῆθος δύο ταπεινοῖ, ἄγον οὖρον καὶ τὰ κατὰ τὴν κοι-
λίαν· ἰᾶται δὲ καὶ ὠταλγίας ἐνσταζόμενον. τὸ δὲ τῆς λυγ-
γός, ὃ δὴ λυγγούριον καλεῖται, ἅμα τῷ ἐξουρηθῆναι λιθοῦσθαι
πεπίστευται· διὸ καὶ ματαίαν ἔχει τὴν ἱστορίαν. ἔστι γὰρ τὸ
καλούμενον ὑπʼ ἐνίων ἤλεκτρον πτερυγοφόρον, ὅπερ ποθὲν σὺν
ὕδατι στομάχῳ καὶ ῥευματιζομένῃ κοιλίᾳ ἁρμόζει. ὄνου δὲ
οὖρον παραδέδοται πινόμενον νεφριτικοὺς ὑγιάζειν.

82 μέλι πρωτεύει τὸ Ἀττικὸν καὶ τούτου τὸ Ὑμήττιον καλούμενον, εἶτα τὸ ἀπὸ τῶν Κυκλάδων νήσων καὶ τὸ ἀπὸ τῆς Σικελίας, Ὑβλαῖον καλούμενον. ἔστι δὲ δοκιμώτατον τὸ γλυκύτατον καὶ δριμύ, εὐωδέστερον, ὑπόξανθον, οὐχ ὑγρόν, ὁλκιμον δὲ καὶ εὔτονον, καὶ ἐν τῷ ἑλκυσθῆναι ἀνατρέχον ὡς ἐπὶ τὸν δάκτυλον.

δύναμιν δὲ ἔχει σμηκτικήν, ἀναστομωτικήν, ὑγρῶν προκλη-

---

10 SIM. Theophr. περὶ λίθων c. 5; cf. Frg. M. Gr. I 195 (frg. 166); Pl. XXXVII 34. 52 — D. eup. II 102 (304).

16 SIM. Theophr. frg. 190; Pl. XI 32. XXII 108 sq. (e S. N.); Ruf. (Orib. I 172); Geop. XV 7.

16 EXC. Gal. XII 70 sq. XIV 11. 20 sq. 77. VI 739. Sim. Seth. s. v. 69 (ex Aetio I s. v. aliis aliunde additis).

---

1 σὺν — προστεθεῖσα om. E 2 ὀδύνας τε E καὶ addidi ex E ὑστερικὰς πνίγας E 4 ἀποκαθαίρει om. E λειωθὲν E 5 σταχθὲν E πραΰνει E ὀνάγριον libri: correxi 8 ναρδοστάχυος E σὺν ὕδατι om. E 9 πλῆθος κυάθων β̅ H: κυάθων β̅ πλῆθος E δύο F: β̅ reliqui ταπεινοῖ om. Di οὖρα EDi καὶ τὰ om. Di: τὰ om. F τὴν om. EDi 10 ὠταλγίαν E ἐπισταζόμενον E 11 καλοῦσιν E ἐξουρεῖσθαι E 12 μάτην πεπίστευται coni. Sar. καὶ om. E ἔσχηκεν E 13 ἢ πτερυγόφορον E (γ e τ corr. E²) ὅπερ] ὃ E 14 κοιλίαν (ν del. E²) ῥευματιζομένοις E verba ὄνου — ὑγιάζειν post ἐνσταζόμενον (v. 10) colloc. H 15 οὖρον om. H πινόμενον om. H

16 num. cap. σια̅ QDi: ϙβ̅ E τούτου om. E ὑμίτιον F: ὑμμήτιον Di: ὑμήτιον E 17 τῆς om. E 18 σίμβλιον Di: σιμβλεῖον H: σύμβλιὸν F: σκυβάλειον ἢ ὕβλεον E, cf. Ruf. l. s. καλούμενον] λεγόμενον E τὸ δριμύτατον καὶ γλυκύ E 19 εὐῶδες E εὔτονον δὲ καὶ ὁλκιμον E 20 πρὸς ἀνατρέχων E 22 post σμηκτικήν add. στυπτικήν E: *virtus est ei stiptica et anastomatica* Dl

τικήν, ὅθεν ἁρμόζει ἕλκεσι ῥυπαροῖς καὶ κόλποις ἐγκλυζόμενον.
2 ἑψηθὲν δὲ καὶ ἐπιτεθὲν παρακολλᾷ τὰ ἀφεστῶτα σώματα, λειχῆνάς τε θεραπεύει ἑψόμενον μετὰ στυπτηρίας ὑγρᾶς καὶ καταχριόμενον, ἤχους τε τοὺς ἐν ὠσὶ καὶ ἀλγήματα σὺν ἁλσὶ φρυκτοῖς λείοις ἐνσταζόμενον χλιαρόν, καὶ φθεῖρας καὶ κονίδας φθείρει καταχριόμενον, λιποδέρμους τε τοὺς μὴ ἐκ περιτομῆς ἀποκαθίστησι, μαλασσομένης τῆς πόσθης τῷ μέλιτι, μάλιστα ἀπὸ βαλανείου, ἐφ' ἡμέρας τριάκοντα. ἀποκαθαίρει δὲ καὶ τὰ ἐπισκοτοῦντα ταῖς κόραις, καὶ τὰ περὶ βρόγχον καὶ παρίσθμια καὶ συνάγχας διαχριόμενον καὶ ἀναγαργαριζόμενον θεραπεύει.
3 κινεῖ δὲ καὶ οὖρα, καὶ βῆξιν ἁρμόζει καὶ τοῖς ὑπὸ ἑρπετῶν δηχθεῖσι, καὶ πρὸς μηκωνίου πόσιν μετὰ ῥοδίνου θερμὸν λαμβανόμενον, καὶ πρὸς μύκητας καὶ λυσσοδήκτους ἐκλειχόμενον ἢ πινόμενον. ἔστι μέντοι τὸ ὠμὸν φυσῶδες κοιλίας καὶ βηχὸς ἐρεθιστικόν, ὅθεν ἐξηφρισμένῳ δεῖ χρῆσθαι. πρωτεύει δὲ τὸ ἐαρινόν, εἶτα τὸ θερινόν· τὸ δὲ χειμερινὸν παχύτερον ὂν χεῖρον καὶ κηρανθέμους ποιοῦν.

4 τὸ δὲ ἐν Σαρδονίᾳ μέλι γινόμενον, πικρὸν ⟨ὂν⟩ διὰ τὴν τοῦ ἀψινθίου νομήν, ἁρμόζει πρὸς ἐφηλίδας καὶ σπίλους τοὺς ἐν προσώπῳ καταχρισθέν.

γεννᾶται δὲ ⟨καὶ⟩ ἐν Ἡρακλείᾳ τῇ Ποντικῇ κατά τινας καιροὺς διά τινα ἀνθῶν ἰδιότητα μέλι, ὃ τοὺς φαγόντας ἐξίστησι μετὰ | ἐφιδρώσεως. βοηθοῦνται δὲ πήγανον ἐσθίοντες καὶ τάριχον καὶ οἰνόμελι πίνοντες, καὶ ὁσάκις ἂν ἐξεμέσωσι, τὰ αὐτὰ

2 SIM. Pl. XXII 108sq. D. eup. I 63 (125) I 57 (120) eup. I 88 (137) II 31 (242) II 147 (330) II 160 (336).
18 EXC. cf. Gal. XII 71.
21 SIM. Arist. mir. ausc. 16; Xen. Anab. IV 8, 21; Ael. n. a. V 42; Steph. Byz. s. v. Τραπεζοῦς; Pl. XXI 74sq. D. eup. II 138 (328); Ps. D. περὶ δ. φ. 23.

1 ὅθεν] abhinc habemus cod. P, cuius incip. fol. 94r 3 τε om. E ἑψόμενον δὲ E 4 καὶ ἤχους (om. τε) E τοὺς om. H ὀρυκτοῖς ἢ φρυκτοῖς E: ὀρυκτοῖς reliqui: correxi 5 ἐγκλυζόμενον E χλιερόν P 6 καταχριόμενον ἢ ἐνσταζόμενον E λειποδέρμους QE²Di τε] δὲ E 8 ἐφ' om. O 10 διαχριόμενον] διακλυζόμενον E καὶ ἀναγαργαριζόμενον post θεραπεύει transp. H 12 μήκωνος Di: μηκωνείου F 14 κοιλίας om. E 16 εἶτα τὸ χειμερινὸν E (corr. E²) ὂν om. O χεῖρον om. P χεῖρον παχύτερον ὂν corr. E² 17 κηρανθέμους F: ξηρανθέμου P: ξηρανθὲν E (κηρανθέμους corr. E²): ξηρανθένμους Di: ἐξανθισμοὺς H, cf. D. V 17 18 σαρδῶνι H: σαρδωνίᾳ Di γεννώμενον μέλι Di: γινόμενον μέλι E (corr. E² β̄ et ᾱ superscr.) ὂν addidi ante τοῦ add. ἐκ E post ἀψινθίου del. γινομένην E² 19 ἁρμόζει δὲ E (δὲ del. E²) καὶ om. H προσώποις H 21 καὶ addidi ex EDi 22 τινων HDi ἰδιοτροπίαν EDi 24 καὶ (alt.) om. Di ἐμέσωσι QDi: ἐξεμῶσιν E, cf. D. eup. II 138 (328) ταῦτα E

προσφερόμενοι. ἔστι δὲ δριμὺ καὶ πταρμοὺς κατὰ τὴν ὄσφρη- 5
σιν κινοῦν, θεραπεῦον ἔφηλιν καταχρισθὲν μετὰ κόστου, μετὰ δὲ ἁλὸς πελιώματα αἴρει.

καλεῖται δέ τι καὶ σάκχαρον, εἶδος ὂν μέλιτος πεπηγότος ἐν Ἰνδίᾳ καὶ τῇ εὐδαίμονι Ἀραβίᾳ, εὑρισκόμενον ἐπὶ τῶν καλάμων, ὅμοιον τῇ συστάσει ἁλσὶ καὶ θρανόμενον ὑπὸ τοῖς ὀδοῦσι καθάπερ οἱ ἅλες. ἔστι δὲ εὐκοίλιον, εὐστόμαχον, διεθὲν ὕδατι καὶ ποθέν, ὠφελοῦν κύστιν κεκακωμένην καὶ νεφρούς· καθαίρει δὲ καὶ τὰ ταῖς κόραις ἐπισκοτοῦντα ἐγχριόμενον.

83 κηρὸς ἄριστός ἐστιν ὁ ὑπόκιρρος καὶ ὑπολίπαρος, εὐώδης δὲ καὶ ποσὴν μελιτώδη ἀποφορὰν ἔχων, ἔτι δὲ καθαρὸς καὶ γένει Κρητικὸς ἢ Ποντικός· ὁ δὲ ἔκλευκος τῇ φύσει καὶ λιπαρὸς δευτερεύει. λευκαντέον δὲ κηρὸν οὕτως· κατακνίσας αὐτοῦ τὸ λευκὸν καὶ καταλίπαρον καθάρας ἔμβαλε εἰς ἀγγεῖον καινόν, καὶ ἐπιχέας θαλάσσης πελαγίας τὸ αὔταρκες ἕψε βραχὺ νίτρον προσεμπάσας. ὅταν δὲ ἀναζέσῃ δὶς ἢ τρίς, καθελὼν τὴν χύτραν καὶ ἐάσας ψυγῆναι, ἀνελοῦ τὸν τροχίσκον καὶ ἀποξύσας, εἴ τις περὶ αὐτὸν ὑπάρχοι ῥυπαρία, ἕψε ἐκ δευτέρου, ἄλλο ὕδωρ θαλάσσιον ἐπιδούς. ἀναζέσαντος δὲ πάλιν τοῦ κηροῦ, | ὡς δεδή- 2
λωται, ἀναιροῦ τὸ ἀγγεῖον ἀπὸ τοῦ πυρὸς καὶ λαβὼν καινοῦ χυτριδίου τὸν πυθμένα, προνενοτισμένον ὕδατι ψυχρῷ, κάθες πραέως εἰς τὸν κηρόν, ἀκροθιγῶς ἐμβάπτων πρὸς τὸ ἐλάχιστόν τι αὐτοῦ ἐφέλκεσθαι καὶ καθ' ἑαυτοῦ πήγνυσθαι. ἀνελόμενος

---

4 SIM. Pl. XII 32.
4 EXC. Orib. XI s. v. *μάγκορον*; cf. Gal. XII 71. Sim. Seth. 96 s. v.
10 SIM. Pl. XXI 83 (e S. N.).
10 EXC. Orib. V 72 D. (*κηρὸς — ποντικός*); cf. Gal. XII 25. Ps. Orib. de simpl. V 59.

---

2 *ἐφήλεις μετὰ κόστου* E *ἁλὸς*] *aloe* Pl. (quod corrig.) 3 *αἶρον* EDi 4 *σάγγαρον, ὁ καὶ σάκχαρον* E: *μάγκορον* Orib. (in mg. *μελισάγχαρον* O², *τοῦτο ὁ Γαληνὸς σάγχαρ καλεῖ* O¹) *πεπηγότος* om. F: post *Ἰνδίᾳ* transpos. HDi 6 *τῇ συστάσει* om. E: post *ἁλσὶ* colloc. Orib. *θρυβόμενον* Orib. *ὑπὸ* om. HE 7 *ὥσπερ* Orib. *δὲ καὶ* E *καὶ εὐστόμαχον* E

10 num. cap. $\overline{σιβ}$ PDi: $\overline{ϙγ}$ E *κηρὸς δὲ* E *ὁ* om. ODi *κιρρὸς* Orib.E 11 *δὲ* (pr.)] *δὲ* P: *τε* reliqui *τῆς μελιτωδίας* E (corr. E²) *ἔστι δὲ καὶ* E (corr. E²) 12 *ποντικὸς ἢ κριτικός* E² *τῇ φύσει* post *λιπαρὸς* transpos. E 13 *λευκαντέον*] cap. $\overline{ϙδ}$ incip. E *οὕτω* Di 14 *καταλίπαρον καθάρας* PF: *καταλίπαρον καθαρὸν* H: *καθαρὸν* (om. *καταλίπαρον*) EDi *ἔμβαλλε* QE *χύτραν* EDi 16 *νίτρον* E 17 *ψυχθῆναι* Di 18 *τι* E *ὑπάρχει* QE²Di *ῥυπαρίας* E 20 *ἀναιροῦ* P: *ἀνελοῦ* reliqui 21 *τὸν* om. E 22 *πραέως* post *κηρόν* transpos. E *εἰς* om. add. E² *ἀκροθιγῶς ἐμβάπτων* Di: *θίξει τι ὅμοιον ποιῶν* OE 23 *τι*] *τε* E *ἐφέλκεσθαι* PE: *ἀφέλκεσθαι* reliqui *καθ' ἑαυτοῦ* suspectum, *θᾶττον* EDi post *πήγνυσθαι* add. *τοῦτο* E

δὲ τὸν πρῶτον κυκλίσκον ἀφαιροῦ, καὶ ἐκ δευτέρου κάθες τὸν πυθμένα ψύχων ὕδατι, καὶ τὸ αὐτὸ ποίει, ἕως ἂν ἅπαντα ἀναλάβῃς. λοιπὸν λίνῳ διείρας τὰ κυκλίσκια διεστῶτα ἀπ' ἀλλήλων κρέμασον, ἡμέρας μὲν εἰς ἥλιον συνεχῶς ἐπινοτίζων αὐτά, νυκτὸς δὲ ὑπὸ τὴν σελήνην τίθει, ἕως ἂν λευκὰ γένηται. εἰ δὲ ἄγαν τις θέλοι λευκὸν ποιῆσαι, τὰ μὲν λοιπὰ ὡσαύτως ἐνεργείτω, ἑψέτω δὲ πλεονάκις.
3 τινὲς δὲ ἀντὶ ⟨τῆς⟩ πελαγίας θαλάσσης ἐν ἅλμῃ δριμυτάτῃ ἕψουσι τὸν προειρημένον τρόπον ἅπαξ ἢ δίς, εἶτα ἀναιροῦνται λαγυνίῳ λεπτῷ καὶ περιφερεῖ, λαβὴν ἐν ἑαυτῷ ἔχοντι, εἶτα ⟨τὰ⟩ κυκλίσκια ἐπὶ πόας πυκνῆς ἐπιθέντες ἡλιάζουσιν, ἄχρι οὗ ἂν λευκότατα γένηται· παραινοῦσι δὲ ἔαρος ἐπὶ τοῦτο ἔρχεσθαι, ὅτε καὶ ὁ ἥλιος τῇ σφοδρότητι ἀνεῖται καὶ νοτίδα παρέχει, πρὸς τὸ μὴ τήκεσθαι.

δύναμιν δὲ ἔχει πᾶς κηρὸς θερμαντικήν, μαλακτικήν, πληρωτικήν τε μετρίως. μείγνυται δὲ καὶ ῥοφήμασιν ἐπὶ τῶν δυσεντερικῶν, καταπινόμενος δὲ μεγέθη κεγχριαῖα δέκα οὐκ ἐᾷ τυροῦσθαι ἐπὶ τῶν τιθηνουσῶν τὸ γάλα.

84 π ρ ό π ο λ ι ν δὲ παραληπτέον τὴν ξανθὴν καὶ | εὐώδη καὶ στυρακίζουσαν, μαλακήν τε ἐν τῷ ὑπερξήρῳ καὶ μαστίχης τρόπον ἐφελκομένην. ἔστι δὲ θερμαντικὴ ἄγαν καὶ ἐπισπαστικὴ καὶ σκολόπων ἑλκυστική· ἀρήγει δὲ καὶ βηξὶ παλαιαῖς ὑποθυμιωμένη, αἴρει δὲ καὶ λειχῆνας ἐπιτιθεμένη. εὑρίσκεται δὲ περὶ τοῖς στόμασι τῶν σμηνίων, φύσει κηροειδής.

85 π υ ρ ο ὶ πρὸς ὑγιείας χρῆσιν ἄριστοι οἱ πρόσφατοι καὶ

14 SIM. Pl. XXII 116 (e S. N.); D. eup. II 49 (263) I 137 (162).
18 SIM. Pl. XI 16. XXII 107; D. eup. I 167 (180) II 33 (245).
18 EXC. Orib. XII s. v. (*πρόπολιν — ἐφελκομένην*); cf. Gal. XII 108.
24 SIM. [Hipp.] *π. δ.* II 42 (VI 538); Athenaios (Orib. I 10sq., 24sq.); Ath. III 115c. Pl. XXII 119sq. — D. eup. II 113 (314) — Pl. XXII 124 — eup. I 126 (156) — I 136 (162).
24 EXC. cf. Gal. XII 111. VI 480.

2 *ἂν* om. E   3 *διάρας* HDi   4 *ἡμέραν* HDi   5 *τίθει* om. E   *λευκότατα γένοιται* E   6 *θέλοι* PE: *θέλει* reliqui   *τὰ μὲν λοιπὰ* om. Di   7 *ἑψείτω* corr. E²   post *δὲ* (alt.) add. *τὰ μὲν ἄλλα ὁμοίως ἐπιτελοῦνται* E (del. E²)   *ἀντὶ δὲ* E (*δὲ* del. E²)   *τῆς* addidi ex E   8 post *ἅλμῃ* c. 5 litt. del. E²   9 *λαγυνίῳ* E: *λαγύνῳ* PF: *λαγινίῳ* Di: *λαγηνίῳ* H   10 *αὐτῷ* EDi   *εἶτα τὰ*] *τά τε* E   *τὰ* addidi ex H   *διατιθέντες* E   *ἡλιάζουσιν* EDi: *πιέζουσιν* O   11 *ἄχρις ἂν* HDi   *λευκότατα* P: *λευκά* E: *λευκότατος* reliqui   12 *τοῦτο*] *τὸ* F   13 *παρέχει*] *ἡ πόα ἔχει* E   15 *τε* om. E   *καὶ*] *ἐν* QDi   16 *δὲ* om. Di   *μεγέθει* PH   *δέκα* om. E   17 *τὸ* om. E
18 num. cap. *οιγ* ODi: *ϙε* E   *δὲ* om. Orib.QDi   *καὶ* (alt.) om. Orib.: del. E²   19 *στύρακος πνέουσαν* Orib.E   *ὑποξήρῳ* Orib.H: *ὑποσκλήρῳ* E   20 *ἑλκομένην* Orib.E   22 *δὲ* (pr.) om. E: fort. recte   23 *ἐπὶ* H   *φυσικὴ* E
24 num. cap. *οιδ* ODi: *ϙϛ* E   *ὑγιείας* P: *ὑγείας* reliqui

τελείως ἡδρηκότες τῇ ⟨τε⟩ χρόᾳ μηλίζοντες, εἶτα μετὰ τούτους
οἱ τριμηνιαῖοι, λεγόμενοι δὲ ὑπό τινων σητάνιοι. ὠμοὶ δὲ βρω-
θέντες ἕλμινθας στρογγύλας γεννῶσι, μασηθέντες δὲ καὶ κατα-
πλασθέντες ὠφελοῦσι κυνοδήκτους. ὁ δὲ ἐκ τῆς σεμιδάλεως
αὐτῶν ἄρτος γινόμενος εὐτροφώτερός ἐστι τοῦ συγκομιστοῦ, ὁ
δ' ἐκ τῶν σητανίων ἀλεύρων κουφότερος καὶ εὐανάδοτος. τὸ
δὲ ἐξ αὐτῶν ἄλευρον σὺν ὑοσκυάμου χυλῷ καταπλάσσεται πρὸς
νεύρων ῥευματισμοὺς καὶ πρὸς ἐμπνευματώσεις ἐντέρων, σὺν
ὀξυμέλιτι δὲ φακοὺς αἴρει. τὸ δὲ πίτυρον σὺν ὄξει δριμεῖ 2
ἑψηθὲν λέπρας ἀφίστησι καταπλασσόμενον ⟨θερμόν⟩, καὶ πάσης
φλεγμονῆς ἐν ἀρχῇ κατάπλασμα σύμφορον, μετὰ δὲ πηγάνου
ἀποζέματος ἑψηθὲν μαστοὺς χονδριῶντας παύει καὶ ἐχεοδήκτοις
ἁρμόζει καὶ στροφουμένοις. ἡ δ' ἐκ τῶν ἀλεύρων ζύμη, θερ-
μαντικὴ οὖσα καὶ ἐπισπαστική, ἰδίως τὰ ἐν πέλμασι λεπτύνει
καὶ τὰ ἄλλα φύματα καὶ δοθιῆνας σὺν ἁλ|σὶν ἐκπέσσει καὶ
ἀναστομοῖ. τὸ δ' ἐκ τῶν σητανίων πυρῶν ἄλευρον ἰοβόλοις
ἁρμόζει καταπλασσόμενον σὺν ὄξει ἢ οἴνῳ, ἑψηθὲν δὲ κόλλης
τρόπον καὶ ἐκλειχόμενον αἱμοπτυικοὺς ὠφελεῖ, καὶ πρὸς βῆχας
καὶ ἀρτηρίας τραχυσμοὺς σὺν ἡδυόσμῳ καὶ βουτύρῳ ἑψηθὲν
ποιεῖ· καὶ ἡ ἐξ αὐτῶν ⟨δὲ⟩ τῶν πυρῶν γῦρις ἑψηθεῖσα σὺν μελι-
κράτῳ ἢ ὑδρελαίῳ πᾶσαν διαφορεῖ φλεγμονήν. καὶ ὁ ἄρτος σὺν 3
μελικράτῳ ἑφθός τε καὶ ὠμὸς καταπλασσόμενος πᾶσαν φλεγ-
μονὴν παραμυθεῖται, μαλακτικώτατος ὑπάρχων καὶ παρυπο-
ψύχων, μιγεὶς πόαις ἢ χυλοῖς τισιν· ὁ δὲ παλαιὸς καὶ ξηρὸς

---

6 SIM. D. eup. II 117 (318) — eup. II 43 (256) — eup. I 150 (171) — eup. I 144 (166) — Pl. XXII 124 — Pl. XXII 138 — Pl. XXII 127 eup. II 30 (239).

---

1 *ἡδρικότες* PFE (*ἢ ἠρτικότες* E[2] in mg.): *οἰδηκότες* H *μηλίζοντες τε τῇ χρόα* E *τε* addidi ex E *μετ' αὐτοὺς* E 2 *ὑπ' ἐνίων* H *οιτάνιοι* Di, cf. Daremb. adn. ad Orib. I 556. 558 *δὲ* (alt.)] *οὖν* Di 5 *γινόμενος* P: *γενόμενος* EF: *γεννώμενος* HDi post *γινόμενος* colloc. *ἄρτος* E 6 *ἄλευρος* H 8 *ῥευματιομοὺς νεύρων* H *ἐμπνευμάτωσιν* E 10 *ἑψηθὲν δριμεῖ* E *λέπρας* — *ἑψηθὲν* om. Di *θερμὸν* addidi ex E coll. D. eup. I 126 (156) *ἀφίστησιν ἀγρίους λειχῆνας πίτυρα σὺν ὄξει ἑψηθέντα καὶ θερμὰ καταπλασθέντα* 11 *σύμφορον* om. E *δὲ* om. E 12 *ἀφεψήματος* EHDi: *ἀποζεύματος* F *χονδριῶντας παύει* om. H (spat. rel.): *μ. σπαργῶντας* Di 16 *ἐκ* om. QDi 17 *σὺν*] *ἐν* QDi: om. E *ἢ* om. P *οἴνῳ δὲ* H (*δὲ* om. post *ἑψηθέν*) 18 *τρόπον κόλλης* QDi *αἱμορραγίας* H 19 *τραχυσμοὺς ἀρτηρίας* E 20 *δὲ* addidi ex E *ἐν μελικράτῳ ἑψηθεῖσα* E 21 *πᾶσαν φλεγμονὴν* E 22 *ἑφθός*] *ἑψηθεὶς* H *ὠμός τε καὶ ἑφθὸς* E *τε* om. QDi *καταπλασσόμενος δὲ ὁμοίως* E *πᾶσαν παραμυθεῖται φλεγμονὴν* Q 23 *τε ὑπάρχων* E

καθ' ἑαυτὸν καὶ μιγείς τισιν ἵστησι κοιλίαν ῥέουσαν, ἅλμη δὲ βραχεὶς ὁ πρόσφατος καὶ καταπλασθεὶς παλαιοὺς λειχῆνας ἰᾶται. κόλλα δὲ ἡ γινομένη ἐκ τῆς σεμιδάλεως καὶ γύρεως πρὸς τὴν τῶν βιβλίων κόλλησιν ἁρμόζει ἐπὶ αἱμοπτυικῶν, ὑγροτέρα καὶ χλιαρὰ καταρροφουμένη κοχλιαρίου πλῆθος.

86 κριθὴ δὲ ἀρίστη ἡ λευκὴ καὶ καθαρά, ἀτροφωτέρα δὲ πυροῦ· τοῦ μέντοι γινομένου ἐξ αὐτῆς ἀλφίτου ἡ πτισάνη τροφιμωτέρα διὰ τὴν ἐν τῇ ἑψήσει χύλωσιν, ποιοῦσα πρὸς τὰς δριμύτητας καὶ τὰς περὶ ἀρτηρίαν τραχύτητας καὶ ἑλκώσεις, πρὸς ἃς καὶ ἡ πυρίνη πτισάνη ἁρμόζει, τροφιμωτέρα καὶ οὐρητικωτέρα οὖσα· κατασπᾷ δὲ καὶ γάλα συνεψηθεῖσα μαράθου σπέρματι καὶ ῥοφουμένη. ἔστι δὲ ἡ κριθὴ οὐρητική, σμηκτική,
2 φυσώδης, κακοστόμαχος, συμπεπτικὴ οἰδημάτων. διαφορεῖ δὲ τὸ ἐξ αὐτῆς ἄλευρον μετὰ σύκων καὶ μελικράτου ἑψηθὲν οἰδήματα καὶ φλεγμονάς, συμπέσσει δὲ τὰς σκληρίας μετὰ πίσσης καὶ ῥητίνης καὶ περιστερᾶς κόπρου, σὺν μελιλώτῳ δὲ καὶ κωδίαις ⟨μήκωνος⟩ ἀνωδυνίαν παρέχει τοῖς πλευρὰν ἀλγοῦσι. καταπλάσσεται δὲ καὶ πρὸς ἐμπνευματώσεις ἐντέρων μετὰ λινοσπέρμου καὶ τήλεως καὶ πηγάνου, μετὰ πίσσης δὲ ὑγρᾶς καὶ κηροῦ καὶ οὔρου παιδὸς ἀφθόρου καὶ ἐλαίου χοιράδας ἐκπέττει. σὺν μυρσίνῃ δὲ ἢ οἴνῳ ἢ ἀχράσιν ἢ βάτῳ ἢ σιδίοις κοιλίας ῥεύματα ἵστησι, σὺν κυδωνίῳ δὲ ἢ ὄξει ποδαγρικὰς φλεγμονὰς
3 ὠφελεῖ. ἑψηθὲν δὲ μετ' ὄξους δριμέως, ὃν τρόπον ὠμὴ λύσις, καὶ θερμὸν ἐπιτιθέμενον λέπρας ὑγιάζει. χυλωθὲν δὲ σὺν

6 SIM. [Hipp.] π. δ. II 42 (VI 538); Pl. XXII 122. 134 sq. Athen. (Orib. I 26), cf. D. eup. I 139 (163) I 147 (168) I 145 (167) II 35 (248) I 154 (172) II 50 (263) I 235 (216).
6 EXC. cf. Gal. XII 44. VI 501.

1 ἵστησι post ῥέουσαν coll. H 2 βρεχθεὶς E 3 δὲ] τε E γενομένη E τῆς om. E καὶ] ἢ Di 5 καὶ om. add. E[2] χλιερὰ E
6 num. cap. σιε ODi: ϛξ E ἀτροφωτάτη H 7 γενομένου EDi ἐξ αὐτῆς post μέντοι colloc. E τροφιμωτάτη H 8 ποιοῦσα δὲ Di 9 τὰ περὶ ἀρτηρίαν τραχύσματα E 10 ἃς] ὃν P: ἃ E τροφιμωτάτη H οὐρητικωτάτη H 12 συνροφουμένη E ἡ κριθὴ om. QDi 13 δὲ] γοῦν E 14 post ἄλευρον colloc. οἰδήματα καὶ φλεγμονὰς H ἢ μελικράτου E: cum caricis et mulsa Dl οἰδήματα] ἀποστήματα H 15 δὲ καὶ HDi 16 καὶ (pr.) add. E[2] 17 μήκωνος addidi e D. eup. II 35 (248) coll. Dl melilotu et papaver imposita dolores lateris tollet πλευρὸν E 19 καὶ πηγάνου καὶ τήλεως E μετὰ δὲ HDi πίττης E 21 codicis P fol. 97[v] pars extrema adeo detrita conglutinandoque laesa est ut verba legi nequeant ἢ (pr.)] καὶ EDl: fort. recte, cf. D. eup. II 50 (263) κρίθινον ἄλευρον σὺν οἴνῳ καὶ βάτῳ ἢ ἀχράσιν ἢ σιδίοις ἢ κυδωνίων ἄνθεσι ἢ (alt.)] καὶ E σιδίοις ῥοᾶς E 23 δριμέως om. H

ὕδατι τὸ ἄλευρον ἑψηθέν τε σὺν πίσσῃ καὶ ἐλαίῳ ἐστὶ πυοποιόν, σὺν ὄξει δὲ χυλωθὲν καὶ ἑψηθὲν μετὰ πίσσης πρὸς τὰ τῶν ἄρθρων ῥεύματα ἁρμόζει. τὸ δὲ ἐξ αὐτῶν ἄλφιτον κοιλίας σταλτικὸν καὶ φλεγμονῶν πραυντικόν.

87 *ζῦθος σκευάζεται ἐκ τῆς κριθῆς. ἔστι δὲ διουρητικὸς καὶ νεφρῶν καὶ νεύρων ἁπτικός, καὶ μάλιστα μηνίγγων κακωτικός, πνευματωτικός τε καὶ γεννητικὸς κακοχυμιῶν καὶ ἐλεφαντιάσεως ποιητικός. εὐεργὴς δὲ καὶ ὁ ἐλέφας γίνεται βρεχόμενος αὐτῷ.*

88 *καὶ τὸ καλούμενον δὲ κοῦρμι, σκευαζόμενον δ' ἐκ τῆς κριθῆς, ᾧ καὶ ἀντὶ οἴνου πόματι πολλάκις χρῶνται, κεφαλαλγές ἐστι καὶ κακόχυμον καὶ τοῦ νευρώδους βλαπτικόν· σκευάζεται δὲ καὶ ἐκ πυρῶν τοιαῦτα πόματα, ὡς ἐν τῇ πρὸς ἑσπέραν Ἰβηρίᾳ καὶ Βρεττανίᾳ.*

89 *ζέα δισσή· ἡ μὲν γὰρ ἁπλῆ ἡ δὲ δίκοκκος καλεῖται, ἐν δυσὶν ἐλύτροις ἔχουσα συνεζευγμένον τὸ σπέρμα. ἔστι δὲ τρο-*

---

5 SIM. Strab. XVII 824. Pl. XXII 164, cf. Plut. mor. 499d; Zosimi Panopolitani frg. de zyth. confectione ed. Gruner 1814. Hehn[5] 141 sq. Histor. Stud. d. pharm. Inst. zu Dorpat V 101.

5 EXC. Gal. XI 882 (unde Aet. I s. v. Paul. Aeg. VII s. v.); Sim. Seth. s. v. *φουκᾶς*; Hes. s. v.

10 SIM. cf. Ath. IV 152c (e Posidonio).

15 SIM. Ath. III 115f (e Mnesitheo), cf. Gal. VI 513.

15 EXC. Gal. VI 517 (*ζέα — ἀρτοποιουμένη*) cf. Gal. XII 45. Sim. Seth. 40. 136; Orib. XI (*ζέα — ἀρτοποιουμένη*); Hes. s. v. *κριμνός*, cf. Hehn[5] 541.

---

1 *καὶ ἑψηθὲν* Di *σὺν* om. E *ἐστι* om. FE: post *πυοποιόν* colloc. Di 2 post *χυλωθὲν* add. *καὶ σὺν ὕδατι τὸ ἄλευρον* E 4 *στατικὸν* F in fine add. H² e Geop. III 9, 96 (cum † in textu *οἰδημάτων* superscr.) *ποιήσεις δὲ πτισάνην οὕτως· τὴν κριθὴν πτίσσας ξήρανον ἐν ἡλίῳ καὶ αὖθις πτίσσας ξήρανον. ἀποτιθέμενος δὲ αὐτὴν παρέμπαττε αὐτῇ τὸ γεννώμενον ἐξ αὐτῆς λεπτὸν ἐν ταῖς πτίσσεσι, διατηρήσει γὰρ αὐτήν. ὅτι ἡ πτισάνη ὑγροτέρα λαμβανομένη τροφιμωτάτη ἐστίν. ἔστω δὲ τὸ ὕδωρ δέκατον τοῦ τῶν κριθῶν μέρους. ἔμπαττε δὲ καὶ ἁλῶν ἀτρίπτων.*

5 num. cap. σιϛ ODi: om. E *καὶ ὁ ζῦθος δὲ* E 6 *κακωτικός* om. mg. add. E² 7 *ἐνπνευματωτικός* E: *πνευματικός* F *καὶ ἐλ. ποιητικός* om. E 8 *εὐερ///γὴς* E² post *δὲ* del. *γίνεται* E *ἔλαφος* QDi *γίνεται* post *αὐτῷ* transpos. E 9 *ἐν αὐτῷ* E

10 num. cap. σιζ ODi: om. EDl *κουρμι///κουρμοῦν* E (*κουρμοῦν* del. E²): *camum* Dl: *κόρμα* Posid. *δ'* om. E 11 *ἐστιν κεφαλαλγὲς* E (corr. E² β et α superscr.) 12 *τῶν νεύρων* HE: *τοῦ νεύρου* FDi *ἀπτικὸν* E

15 num. cap. σιη ODi: ϙη E *ζειὰ* HDiGal. *διττή* DiGal. 16 *συνεζευγμένον ἔχουσα* Gal.

φιμωτέρα μὲν κριθῆς, εὔστομος, ἀτροφωτέρα δὲ πυρῶν ἀρτοποιουμένη.

90 κρίμνον ἁδρότερόν ἐστι τῇ κατεργασίᾳ τοῦ ἀλεύρου, γινόμενον ἔκ τε ζέας καὶ πυροῦ, ἐξ οὗ ὁ πόλτος γίνεται. ἔστι δὲ ἱκανῶς τρόφιμον καὶ εὐκατέργαστον· σταλτικώτερον δὲ κοιλίας τὸ ἀπὸ τῆς ζέας, μάλιστα προφωχθείσης.

91 καὶ ἡ ὄλυρα δὲ ἐκ τοῦ αὐτοῦ γένους ἐστὶ τῆς ζέας, ἀτροφωτέρα δὲ κατὰ ποσὸν ἐκείνης· ἀρτοποιεῖται δὲ καὶ αὕτη, καὶ κρίμνον ἐξ αὐτῆς ὡσαύτως γίνεται.

92 ἀθήρα δὲ ἐκ τῆς ἀληλεσμένης εἰς λεπτὸν ζέας σκευάζεται. ἔστι δὲ ῥόφημα ὥσπερ πολτάριον ὑγρόν, παιδίοις ἁρμόδιον· ποιεῖ δὲ καὶ εἰς [τὰ] καταπλάσματα.

93 τράγος τὸ σχῆμα μὲν παραπλησίως χόνδρῳ ἔχει, ἀτροφώτερος δὲ παρὰ πολὺ ζέας διὰ τὸ πολὺ ἔχειν τὸ ἀχυρῶδες, διὸ καὶ δυσκατέργαστός ἐστι καὶ κοιλίας μαλακτικός.

94 βρόμος κάλαμός ἐστι πυροῖς ὅμοιος καὶ τοῖς φύλλοις, γόνασιν ἐνδιειλημμένος, καρπὸν δὲ ἔχει ἐπ' ἄκρῳ ὥσπερ

---

3 EXC. Gal. VI 517 (*κρίμνον — προφωχθείσης*).
7 SIM. Pl. XXII 121 (cf. XVIII 92), cf. Diocl. frg. 113. Hes. s. v. Gal. de victu atten. 15, 25.
7 EXC. Gal. VI 517 (*καὶ — γίνεται*), cf. Sim. Seth. 136; Gal. XII 88.
10 SIM. Pl. XXII 121. schol. Orib. (IV 527 D.); Hes. s. v.
10 EXC. Gal. VI 517 (*ἀθήρα — καταπλάσματα*); Paul. Aeg. VII 3 s. v., cf. Sim. Seth. 137.
13 SIM. Pl. XVIII 93. 76, cf. Orib. I 567 D..
13 EXC. Gal. VI 517 (*τράγος — μαλακτικός*); Paul. Aeg. VII 3 s. v.
16 SIM. Pl. XXII 161 (e S. N.).
16 EXC. cf. Gal. VI 522. XI 855.

---

1 *εὔστομος* Orib.ODi: *εὐστόμαχος* Gal.E *δὲ* om. H
3 num. cap. *σιθ* ODi: om. E *κρίμνον* E (*κριμνὸν* E[2]) *δὲ ἁδρότερον* Gal.E *ἐν τῇ* E 4 *τε*] *τῆς* Gal. 6 *μάλιστα δὲ* Gal.E *προφρυγείσης* Gal.
7 num. cap. *σκ* ODi: *ϙθ* E *ὀλύρα* EF: *ὄλλυρα* HDi *τῇ ζειᾷ* H: *τῆς ζέας* reliqui 9 *κριμνὸν* corr. E[2]
10 num. cap. *σκα* PFDi: om. E: c. 92 post 93 transpos. H *ἀθηρὰ* corr. E[2] 11 *ἁρμόζον* Gal. Paul. Aeg. 12 *τὰ* om. Gal.E Paul. Aeg.: delevi *κατάπλασμα* Paul. Aeg.
13 num. cap. *σκβ* PFDi: *ρ̄* E *ὁ δὲ τράγος* Gal. *τὸ σπέρμα* Gal. *μὲν* superscr. E[2]: post *παραπλησίως* transpos. Gal.Orib.E (del. E[2]) *παραπλήσιον* (om. *ἔχει*) Gal.Orib.: *παραπλήσιος* P *ἔχει*] *ἔοικεν* Di 14 *παρὰ* om. Gal. *τῆς ζέας* E *πολὺ ἔχων* (om. *διὰ τὸ*) E 15 *ἀκατέργαστος* E
16 num. cap. *σκγ* ODi: *ρα* E *βρῶμος* QDi *bromos canna est sicuti tridicu ascendens et folia similia tridici* Dl: *βρῶμος πυροῖς ὅμοιός ἐστι καλάμῳ καὶ φύλλοις* coni. Spr. Serapione duce 17 *δὲ διειλημμένος* Di *ἐπ' ἄκρων* H: *ἐν ἄκρω* E

ἀκρίδια δίκωλα, ἐν οἷς τὸ σπέρμα χρησιμεῦον εἰς καταπλάσματα ὡς ἡ κριθή· καὶ πόλτος δὲ ἐξ αὐτοῦ γίνεται σταλτικὸς κοιλίας. ὁ δὲ ἐξ αὐτοῦ χυλὸς ῥοφούμενος βήσσουσιν ἁρμόζει.

95 ὄρυζα τῶν σιτηρῶν ἐστιν εἶδος, φυομένη ἐν ἑλώδεσι τόποις καὶ ἐνύγροις. τρόφιμος δέ ἐστι μετρίως καὶ κοιλίας σταλτική.

96 ὁ δὲ χόνδρος γίνεται μὲν ἐκ τῆς καλουμένης δικόκκου ζέας, τροφιμώτερος δὲ ὀρύζης, στεγνωτικώτερος κοιλίας, εὐστομαχώτερος δὲ μᾶλλον· αἴρει δὲ καὶ λέπρας ἑψηθεὶς σὺν ὄξει καὶ καταχρισθείς, καὶ λεπροὺς ὄνυχας ἀφίστησι καὶ αἰγιλώπια ἀρχόμενα θεραπεύει, ἔγκλυσμά τε τὸ ἀφέψημα αὐτοῦ ἐπὶ τῶν μετὰ ἀλγήματος δυσεντερικῶν εὔθετον.

97 κέγχρος ἀτροφωτέρα τῶν λοιπῶν σιτηρῶν. ἀρτοποιη-

---

96 RV: χόνδρος· οἱ δὲ δίκοκκον, οἱ δὲ ζέαν καλοῦσιν, Ῥωμαῖοι φάρρεμ.

---

4 EXC. Gal. XII 92 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

5 TEST. Sim. Seth. 75, 7: *καὶ ὁ μὲν Διοσκουρίδης ἐπέχειν φησὶ τὴν γαστέρα.*

6 SIM. Pl. XXII 124. 128 (cf. XVIII 112) Lyc. (Orib. II 353).

6 EXC. Orib. XII (*χόνδρος — μᾶλλον*).

13 SIM. Pl. XXII 130, cf. Sim. S. s. v. *πίστος* 87, 17; Phylot. (Orib. I 229) Lyc. (Orib. II 353).

12 EXC. Gal. XII 16 (unde Act. I s. v. Paul. Aeg. VII 3 s. v.).

---

1 *ἀκρίδια* Di: *ἄκρεα* O: *ἀκραία* E (*ἄκραια* corr. E²): *ἄκρεα* frustra def. Salm. proleg. ad hyl. iatr. 23, cf. Pl. *in cacuminibus dependentis parvolas veluti locustas habet* *δίκολλα* Q *χρήσιμον* HDi *εἰς τὰ* H 2 *πόλτη* H *ἐξ αὐτοῦ* om. E *στατικὸς* E: *σταλτικὴ* H 3 mg. add. alterum de avena cap. e R interpolatum H², cf. D. IV 137 (283 W.)

4 num. cap. *σκδ* ODi: *ρβ* E 5 *ἐνύδροις* E: *ὑγροῖς* HDi *ἐστι* om. HDi *στατικὴ* E.

6 num. cap. *σκε* ODi: *ργ* E 7 *δὲ* om. RE *καὶ στεγνωτικὸς* R: *καὶ στεγνωτικώτερος* E: *καὶ στατικὸς* Orib. *εὐστόμαχος* ROrib.E 8 *ἑψηθεῖσα δὲ σὺν ὄξει καὶ καταχρισθεῖσα αἴρει λέπρας καὶ ὄνυχας λεπροὺς ἀφ.* N *καὶ* om. C *ἑψηθεῖσα* C *σὺν ὄξει ἑψηθεὶς* QDi 9 *καταχρισθεῖσα* C *λεπροὺς δὲ* (om. *καὶ*) C 10 *ἐπὶ* om. ODi *τῶν*] *τοῦ* R: om. P: *τοῖς* (*δυσεντερικοῖς*) HDi 11 in fine e Geop. III 7 add. H *γίνεται δὲ χόνδρος οὕτως· ζειὰς πτιστέον καὶ βραστέον καὶ ἐμβλητέον θερμῷ ὕδατι καὶ συνεκπιαστέον, ἔπειτα κοπτέον γύψον λευκὸν καὶ εἰς λεπτὸν σηστέον· εἶτα ἄμμου τῆς λευκοτάτης καὶ λεπτοτάτης τὸ τέταρτον σὺν γύψου μέρει κατ' ὀλίγον μίξας αὖθις ἐπίπασσε τῇ ζειᾷ. σκευαζέσθω δὲ ἐν ταῖς ὑπὸ κύνα ἡμέραις, ἵνα μὴ ὀξύσῃ. ἐπὰν δὲ ἅπας ἐπιπτισθῇ, κοσκινισθήτω ἁδρότερον. κάλλιστος δὲ ὁ πρότερον σησθεὶς γίνεται χόνδρος, δεύτερος δὲ ὁ ἐπὶ τούτῳ, καὶ τρίτος ἐλάττων.*

12 num. cap. *σκϛ* ODi: *ρδ* E *ἀτροφώτερος* E *σιτηρίων* PFN: *σιτηρῶν* EHA: *σιτίων* C post *σιτηρῶν* add. *ἐστιν* C

13 C 377r: N 167

θεῖσα δὲ ἡ ὥσπερ πόλτος σκευασθεῖσα κοιλίαν ἵστησιν, οὖρα δὲ κινεῖ. φωχθεῖσα δὲ καὶ βληθεῖσα εἰς σάκκους πυριωμένη στρόφων καὶ τῶν ἄλλων ἀλγημάτων ἐστὶ βοήθημα.

98 καὶ ἡ ἔλυμος δέ, ἥν τινες μελίνην καλοῦσι, τῶν σιτηρῶν ἐστι σπερμάτων, κέγχρῳ ὁμοίων, ὡσαύτως σιτοποιουμένη καὶ πρὸς τὸ αὐτὸ ἁρμόζουσα, ἀτροφωτέρα μέντοι τῆς κέγχρου καθέστηκε καὶ ἧσσον στυπτική.

99 σήσαμον κακοστόμαχον καὶ δυσωδίας στόματος ποιητικόν, ὁπόταν βιβρωσκόμενον ἐμμείνῃ μεταξὺ τῶν ὀδόντων. καταπλασθὲν δὲ διαφορεῖ τὰς ἐν νεύροις παχύτητας καὶ τὰ ἐν ὠσὶ θλάσματα καὶ φλεγμονὰς καὶ πυρίκαυτα καὶ κόλον ἀλγήματα, καὶ κεράστου δῆγμα θεραπεύει· σὺν ῥοδίνῳ δὲ κεφαλῆς ἀλγήματα ἐξ ἐγκαύσεως γινόμενα παραμυθεῖται. ἡ δὲ πόα καθεψηθεῖσα ἐν οἴνῳ τὰ αὐτὰ ποιεῖ, μάλιστα δὲ φλεγμοναῖς ὀφθαλμῶν καὶ περιωδυνίαις ἁρμόζει. γίνεται δὲ καὶ ἔλαιον ἐξ αὐτοῦ, ᾧ οἱ ἐν Αἰγύπτῳ χρῶνται.

100 αἶρα ἡ γινομένη ἐν τοῖς πυροῖς ἀλεσθεῖσα δύναμιν

---

97 RV: κέγχρος· Ῥωμαῖοι μίλεουμ.

98 RV: ἔλυμος· οἱ δὲ μελίβιον, οἱ δὲ μελίνην, Ῥωμαῖοι πάνικουμ.

---

4 SIM. Pl. XXII 131.

4 EXC. Orib. XI s. v. (καὶ ἡ ἔλυμος — στυπτική); Gal. XI 875; Hes. s. v. ἔλυμος, μελίνη.

8 SIM. Pl. XXII 132; D. eup. I 236 (218).

17 SIM. Pl. XXII 160 (cf. XVIII 153); Lyc. (Orib. II 360).

---

1 δὲ ἡ ὥσπερ om. RDi: δὲ ἡ om. E (superscr. E²) πόλτος δὲ RDi 2 δὲ (pr.)] τε HE ἀποκαθαρθεῖσα δὲ καὶ R: φωχθεῖσα δὲ καὶ ἀλεσθεῖσα (2 litt. eras. E²) E σάκους FEDi: σακκέλλια C: σάκκια N 3 τῶν ἄλλων om. R

4 num. cap. σκζ ODi: ρε E ἔλυμος· οἱ δὲ μελίνην, ῥωμαῖοι πανικοὺμ Di (e R) μηλίνην E σιτηρίων PFN: σιτηρεσίων C: σιτηρῶν reliqui 5 σπέρμα κέγχρῳ ὅμοιον RE ὅμοιον P: ὁμοία QDi: correxi 6 τὰ αὐτὰ NE: ταὐτὰ C post ἁρμόζουσα add. τῷ κέγχρῳ C μέντοι γε R τῆς κέγχρου] ταύτης C 7 καθέστηκεν post στυπτική colloc. C: om. HDi ἧττον QREDi

8 num. cap. σκη ODi: ϙϛ E δυσωδίας τε (καὶ om.) E 10 τὰ om. E 11 κώλων HDi: κῶλον F: κωνώπων E ἀλγήματα καὶ κεράστου om. E 12 δήγματα E 13 γενόμενα E θεραπεύει H 16 οἱ om. E: οἱ Αἰγύπτιοι HDi

17 num. cap. σκθ ODi: ϙζ E αἶρα· οἱ δὲ θύαρος, Ῥωμαῖοι λολιοῦμ· αἶρα ἡ γινομένη Di αἶρα δὲ E: ἡ δὲ γεννωμένη αἶρα R ἐν τῷ σίτῳ R

18 C 192r: N 86 (*milium* mg. add. m. rec.) μίλλεουμ R: μιλεοῦμ Di: fort. μίλιουμ

19 C 117r: N 69 οἱ δὲ ἔλεβιον C: om. N: *mel frugum* Diocles (Pl. l. s.): correxi οἱ δὲ (alt.)] ἢ N: μηλίνην R: correxi post μηλίνην add. καλοῦσιν N

ἔχει περιχαρακτικὴν νομῶν καὶ σηπεδόνων καὶ γαγγραινῶν μετὰ ῥεφάνου φλοιοῦ καὶ ἁλῶν καταπλασσομένη, καὶ λειχῆνας ἀγρίους καὶ λέπρας σὺν θείῳ ἀπύρῳ καὶ ὄξει θεραπεύει. σὺν κόπρῳ δὲ περιστερᾶς καὶ λινοσπέρμῳ ἑψομένη ἐν οἴνῳ χοιράδας διαλύει καὶ τὰ δύσπεπτα ῥήττει, ἰσχιαδικούς τε σὺν μελικράτῳ ἑψηθεῖσα καὶ καταπλασσομένη ὠφελεῖ. σὺν ἀλφίτῳ δ' ἢ σμύρνῃ ἢ κρόκῳ ἢ λιβανωτῷ ὑποθυμιωμένη συνεργεῖ ταῖς συλλήμψεσιν.

101 ἄμυλον ὠνόμασται διὰ τὸ χωρὶς μύλου κατασκευάζεσθαι· ἄριστον δέ ἐστι τὸ σκευαζόμενον ἐκ πυροῦ σητανίου, Κρητικὸν δὲ ἢ Αἰγύπτιον. σκευάζεται δὲ ἐκ πυροῦ σητανίου καθαροῦ, βρεχομένου καὶ πλυνομένου ἐν ὕδατι γλυκεῖ καὶ ἀποχεομένου πεντάκις τῆς ἡμέρας, εἰ δυνατὸν δέ, καὶ τῆς νυκτός. ὅταν δὲ μαλακὸς γένηται, πραέως τὸ ὕδωρ ἐκχεῖν δεῖ χωρὶς τοῦ κινεῖν, ἵνα μὴ συνεκκλύζηται τὸ νόστιμον. ἐπὰν δὲ παραστῇ μαλακώτατος γενόμενος, ἀποχέας τὸ ὕδωρ τρίβειν τοῖς ποσίν, εἶτα ὕδωρ ἐπιχέοντας ⟨πάλιν⟩ τρίβειν· εἶτα ἀναιρεῖσθαι τὸ ἐφιστάμενον πίτυρον ἠθμῷ, καὶ τὸ λοιπὸν διηθήσαντας βαλεῖν εἰς ὑλιστῆρα, δινλίσαντάς τε εὐθέως ψύχειν ἐπὶ κεραμίδων καινῶν ἐν ἡλίῳ ὀξυτάτῳ· ἔνικμον γὰρ κἂν ἐπ' ὀλίγον μείνῃ, ὀξίζει.

---

100 RV: αἶρα· οἱ δὲ θύαρος, Ῥωμαῖοι λόλλιουμ.

---

9 SIM. Pl. XXII 137 (cf. XVIII 76); Dieuches (Orib. I 294), cf. Orib. I 561 (ed. Dar.).
9 EXC. Orib. XI s. v. (ἄριστον — ὀξίζει); Paul. Aeg. VII 3 s. v.; Sim. Seth. s. v. (23, 1 L.), cf. Gal. XII 111 (s. v. πυρός) VI 500. XI 442; Ps. Orib. de simpl. V 6.

---

1 γαγγραίνης REDi: γαγγραίνων PF 2 ῥεφάνου φλοιοῦ P: ῥαφάνου RF: ῥεφάνων E: ῥαφάνων reliqui 3 καὶ ὄξει om. RE 5 δύσπεπτα τῶν ἀποστημάτων N ῥήσσει REHDi τε] δὲ R 7 ἢ (pr.)] καὶ N ἢ λιβάνῳ ἢ σμύρνῃ ἢ λιβανωτῷ ἢ κρομμύῳ C: σμύρνῃ ἢ λιβανωτῷ ἢ κρόκῳ NE 8 συλλήμψει συνεργεῖ N: συνεργεῖ συνλήμψεσιν C
9 num. cap. σλ ODi: ρη E 10 κράτιστον E δέ ἐστι om. Orib. σκευαζόμενον om. Orib.E σητανείου E: σιτανίου HDi, cf. Herwerden lex. gr. s. v. σητανίου — πυροῦ (v. 11) om. Orib. 11 κηρωτικὸν H δὲ ἢ] καὶ E σητανίου om. E 12 πλυνομένου καὶ βρεχομένου Orib.E καὶ (pr.) — ἀποχεομένου om. HDi καὶ (alt.) om. Orib.E 14 πράως Orib. δεῖ ante πραέως colloc. QDi 15 συνκινεῖν E παραστῇ post γενόμενος transpos. H: καταστῇ Orib. 16 ἀπηθήσας Orib.: ἀφηθήσαντας E: fort. ἀποχέαντας 17 τὸ ὕδωρ E ἐπιχέαντες E πάλιν addidi τρίβειν εἶτα om. Orib.E ὑφιστάμενον QDi 18 ἰσθμῷ Q: ἰθμῷ Di διηθήσαντα E ἐμβαλεῖν Di: βάλλειν Orib. 19 δινλίσαντα E τε] δὲ Orib.E ψύγειν QDi 20 μένῃ Di
21 C fol. 71r: N fol. 21 (*lolium* mg. add. m. rec.) ἀθαλιουμ C: λόλιουμ Di

2 ποιεῖ δὲ πρὸς ὀφθαλμῶν ῥεύματα καὶ κοιλότητας καὶ φλύκτεις· στέλλει δὲ καὶ αἵματος ἀναγωγὰς πινόμενον καὶ τὰς περὶ ἀρτηρίαν ⟨τραχύτητας⟩ πραΰνει· μείγνυται δὲ καὶ γάλακτι καὶ προσοψήμασι. σκευάζεται δὲ καὶ ἐκ ζέας βραχείσης καὶ πλυθείσης πρὸς μίαν ἢ δευτέραν ἡμέραν καὶ σταιτὸς τρόπον ἀποθλιβείσης διὰ τῶν χειρῶν καὶ ξηρανθείσης ἐν ὀξυτάτῳ ἡλίῳ, ὡς προείρηται. τὸ δὲ τοιοῦτον ἄθετον πρὸς τὴν ἐν ἰατρικῇ χρῆσιν, πρὸς δὲ τὰ λοιπὰ εὔθετον.

102 καὶ τὸ ἐκ τῆς τήλεως ἄλευρον, ἣν ἔνιοι βούκερων, οἱ δὲ αἰγόκερας, οἱ δὲ κάρφος, οἱ δὲ λωτόν, οἱ δὲ κέρας αἴγειον ἐκάλεσαν, δύναμιν ἔχει μαλακτικήν. καταπλασσόμενον δὲ λεῖον σὺν μελικράτῳ ἑφθὸν ποιεῖ πρὸς φλεγμονὰς τὰς ἐντὸς καὶ ἐκτός, σὺν νίτρῳ δὲ καὶ ὄξει λεῖον καταπλασθὲν σπλῆνα μειοῖ. τὸ δὲ ἀφέψημα αὐτῆς ἐγκάθισμα εἰς τὰ γυναικεῖα, ὅσα κατὰ
2 φλεγμονὴν ἢ μύσιν συνίσταται. σμήχει δὲ καὶ τρίχας καὶ πίτυρα καὶ ἀχῶρας τὸ ἀπόθλιμμα ἑψηθείσης αὐτῆς ἐν ὕδατι, σὺν στέατι δὲ χηνείῳ προστίθεται ἀντὶ πεσσοῦ, μαλάσσον καὶ ἀνευρῦνον τοὺς περὶ τὴν ὑστέραν τόπους. χλωρὰ δὲ μετ' ὄξους ἀτονοῦσι

102 RV: τῆλις· οἱ δὲ [τῆλις] κάρφος, οἱ δὲ βούκερας, οἱ δὲ αἰγόκερας, οἱ δὲ κεραῖτις, οἱ δὲ λωτόν, Ῥωμαῖοι φαινου⟨μ⟩ γραίκου⟨μ⟩, Αἰγύπτιοι ἴτασιν, Ἄφροι τιτλώ.

9 SIM. Pl. XXIV 184sq. cf. Theophr. h. pl. IV 4, 10. VIII 8, 5 (saepius); Lyc. (Orib. II 351); Nic. Al. 424 cum. schol.; Etym. M. 207, 40.
9 EXC. cf. Gal. XII 141. VI 537 (unde Aet. I s. v. cf. Paul. Aeg. VII 3 s. v.); Gal. XIX 70. 89. 99; Hes. s. v. *βούκερας, αἰγίκερας, κάρφος*; Erot. s. v.

1 *δὲ καὶ* E *φλύκτεις* PF: *φλυκτεῖς* E: *φλυκταίνας* reliqui 2 *τὰ περὶ τὰς ἀρτηρίας* E 3 *τραχύτητας* addidi Serap. duce c Dl *aspredines arteriarum dislenit* 4 *ἐκ*] *διὰ* E *λυθείσης* PF 5 *δύο ἡμέρας* E 6 *ἐν* om. E 7 *ἄθετον μὲν* HDi: fort. recte *ὡς πρὸς* E *τὴν ἰατρικὴν χρῆσιν* E: *ἰατρικὴν χρῆσιν* HDi
9 num. cap. *σλα* ODi: *ρθ* E initio add. Di *τῆλις* et post *τῆλις* syn. e R *τήλεος* F *βούκερον* ODl: *βούκερας* ER: *buceras* Pl.Gal.: correxi 10 *αἰγόκερων* H: *αἰγόκερον* E: *αἰγόκερως* N 11 *μαλακτικὴν ἔχει δύναμιν* RE: *μαλακτικὴν καὶ διαχυτικὴν ἔχει δύναμιν* Di *δὲ* om. RE: add. E² 12 *ἑφθῷ* QDi *ποιεῖ δὲ* R verba *τὰς ἐντὸς — φλεγμονὴν* om. H *τὰς ἐκτὸς καὶ* (*τὰς* add. E) *ἐντὸς* FE *τὰς ἐκτὸς* R 14 *εἰς ἐγκαθίσματα γυναικεῖα* R 15 *ἐνίσταται* R *πίτυρα καὶ ἀχῶρας* om. RE 16 *ἀπόθλιμμα δὲ* RE *αὐτῆς ἑψηθείσης* R: *ἑψηθείσης* post *ὕδατι* colloc. QDi 17 *δὲ* om RE *μαλάσσων καὶ ἀνοτρύνων* R 18 verba *χλωρὰ — αἰδοίοις* om. REDl *ἀτονοῦντας τόπους καὶ ἡλκωμένους* Di: *ἀτονοῦσι τόποις* (*τόπους* F) *καὶ ἡλκωμένοις* Q: mg. add. *ἐν ἄλλοις ἀντιγράφοις·* Ť *ἄτονον καὶ εἱλκωμένον στόμαχον* P
19 C fol. 334ᵛ: N 156 *τῆλις* (alt.) delevi *καρπός* R: correxi 20 *αἰγόκερως* N *οἱ δὲ κεραῖτις* om. N *φαινου γραικου* R 21 *Ἄφροι τιτλώ* om. N

στόμαχον καὶ εἱλκωμένοις ἁρμόζει, τὸ δὲ ἀφέψημα αὐτῆς πρὸς τεινεσμὸν καὶ δυσώδη ὑποχωρήματα δυνεντερικά· τὸ δὲ ἀπ' αὐτῆς ἔλαιον μετὰ μυρσίνης σμήχει τρίχας οὐλάς τε τὰς ἐν αἰδοίοις.

103 καὶ τὸ λινόσπερμον τὴν αὐτὴν ἔχει δύναμιν τῇ τήλει, διαφοροῦν καὶ μαλάσσον πᾶσαν φλεγμονὴν ἐντός τε καὶ ἐκτὸς σὺν μέλιτι καὶ ἐλαίῳ καὶ ὕδατι ὠμὸν ἀναλημφθέν. αἴρει δὲ καὶ ἐφήλεις καὶ ἰόνθους καταπλασθὲν σὺν νίτρῳ καὶ σύκῳ, σὺν κονίᾳ δὲ παρωτίδας καὶ σκληρίας διαφορεῖ, ἕρπητάς τε σὺν οἴνῳ ἑψηθὲν καὶ κηρία ἐκκαθαίρει, ὄνυχάς τε λεπροὺς ἀφίστησι σὺν ἴσῳ καρδάμῳ καὶ μέλιτι· ἀνάγει καὶ τὰ ἐκ θώρακος σὺν μέλιτι ἀντὶ ἐκλεικτοῦ λημφθὲν καὶ βῆχας παρηγορεῖ. παρίστησι δὲ καὶ πρὸς ἀφροδίσια μιγὲν μέλιτι καὶ πεπέρει ἀντὶ κοπτῆς πολὺ λαμβανόμενον· καὶ τὸ ἀφέψημα δὲ αὐτοῦ ἐνίεται πρὸς ἐντέρων καὶ ὑστέρας δηγμοὺς καὶ ἐκκομιδὴν περιττωμάτων, καὶ πρὸς φλεγμονὰς τὰς ἐν μήτρᾳ εἰς ἐγκάθισμα, ὥσπερ τὸ τῆς τήλεως, εὐχρηστεῖ.

---

103 RV: λίνον· οἱ δὲ λινοκάλαμις, οἱ δὲ αἴλινον, οἱ δὲ λίνον ἄγριον, Ῥωμαῖοι λίνουμ ῥούστικουμ, οἱ δὲ λίνουμ ἀγρέστεμ, Ἄφροι ζεραφοίστ.

---

5 SIM. cf. Pl. XIX 3sq. Lyc. (Orib. II 350) — D. eup. I 147 (168). I 148 (169) I 172 (183) I 130 (160) — Zop. (Orib. II 568) eup. II 32 (244) — eup. II 96 (300) — II 42 (256) II 74 (286) II 49 (262) II 70 (284).

5 EXC. cf. Gal. XII 62. VI 549. Hehn[6] 160.

---

2 τεινεσμὸν PDi: τεινεσμοὺς reliqui

5 num. cap. σλβ ODi: ρι E initio e R interpol. Di λίνον, οἱ δὲ λινοκάλαμις κτλ. γνώριμον· δύναμιν δὲ ἔχει (ἔχον R) τὸ σπέρμα τὴν αὐτὴν τῇ τήλει (ὅ τινες λινόσπερμον ἐκάλεσαν pro τὴν αὐτὴν τῇ τήλει R) καὶ τὸ om. EH λινόσπερμα Q ἔχει post δύναμιν colloc. F τῇ τήλι δύναμιν E post τήλει syn. e R add. H 6 διαφορεῖ καὶ μαλάσσει H post μαλάσσον add. καὶ ἀνευρῦνον E 7 ὕδατι ὀλίγῳ ἑψηθὲν ἢ ἑφθῷ μέλιτι ἀναλημφθέν REDi: ὕδατι ἑψηθὲν καὶ ἐν ἑφθῷ μέλιτι ἀναληφθὲν H 8 post ἐφήλεις add. ὠμὸν Di καταπλασθὲν post νίτρῳ coll. Q συκίνῃ κονίᾳ καὶ παρωτίδας RDi: σύκῳ ἢ κονίᾳ· καὶ παρωτίδας E 9 ἕρπητα PF 11 ἴσῳ om. R, post καρδάμῳ coll. Di καρδαμώμῳ REDl, at cf. D. eup. I 130 (160) ἀνάγει — μέλιτι om. R ἀνάγει δὲ καὶ RDi 12 παρορμᾷ Di 13 τὰ ἀφροδίσια E μιγὲν] ληφθὲν Di 14 post αὐτοῦ add. πινόμενον N 15 κομιδὴν RE περιπτώματος R 16 πρὸς om. REDi τὰς φλεγμονὰς E μήτραις E

18 C fol. 206r: N 110 (*linum* mg. add. m. rec.) λινοκαλαμίς HDi ἄννον R: αὔνον HDi: correxi 19 λινομυρουμ (= λίνουμ ῥούστικουμ) RHDi: correxi, cf. Pl. XIX 16 20 Ἄφροι ζεραφοίστ NDi: om. C, cf. *Löw* aram. Pflanzenn. 233, 406. Hehn[6] 186

104 *ἐρέβινθος* ὁ ἥμερος εὐκοίλιος, οὐρητικός, πνευμάτων γεννητικός, εὐχροίας περιποιητικός, καταμηνίων ἀγωγὸς καὶ ἐμβρύων, καὶ γάλακτος γεννητικός. καταπλάσσεται δὲ μάλιστα ὁ ὀροβίας ἑφθὸς πρὸς ὄρχεων φλεγμονὰς καὶ ἀχῶρας καὶ λειχῆνας καὶ ψώρας καὶ μυρμηκίας καὶ τὰ καρκινώδη ἕλκη καὶ κακοήθη
2 σὺν μέλιτι. καλεῖται δὲ τὸ ἕτερον αὐτῶν εἶδος κριός. ἀμφότεροι δ᾽ εἰσὶ διουρητικώτατοι, διδομένου πρὸς ἴκτερον καὶ ὕδρωπα τοῦ ἀφεψήματος αὐτῶν σὺν λιβανωτίδι, — βλάπτουσι δὲ [καὶ] κύστιν εἱλκωμένην καὶ νεφρούς — πρός τε μυρμηκίας καὶ ἀκροχορδόνας νουμηνίας οὔσης ἔνιοι ἑκάστης ἐξοχῆς ἐρεβίνθῳ ψαύοντες ἄλλῳ καὶ ἄλλῳ εἴς τε ὀθόνιον ἀποδήσαντες αὐτοὺς ῥίπτειν εἰς τοὐπίσω κελεύουσιν, ὡς ἀποπιπτουσῶν τῶν ἀκροχορδόνων.

γίνεται δὲ καὶ ἄγριος ἐρέβινθος, ὅμοιος τοῖς φύλλοις τῷ ἡμέρῳ, ὀσμῇ δριμύς, τῷ καρπῷ διαφέρων, ποιῶν πρὸς ὅσα καὶ ὁ ἥμερος.

---

104 RV: ἐρέβινθος· Ῥωμαῖοι κίκερ.

---

1 SIM. [Hipp.] *περὶ διαίτης* II 45 (VI 542 L.); Diocl. (frg. 118); Diph. (Ath. II 55b); Theophr. h. pl. VIII 5, 1. 6, 5; Pl. XXII 148sq. cf. XVIII 124. Sim. S. 37, 9. — Zop. (Orib. II 567) Pl. XXII 149 — Diph. l. s. — D. eup. I 111 (149) — Pl. 149 eup. II 76 (288) — eup. I 138 (163) — Pl. 149 eup. I 141 (165) — Pl. 148 eup. I 105 (146) — Pl. 149 — eup. I 176 (185) — Pl. 149 eup. I 203 (198) — Pl. 149 eup. II 56 (267) — Pl. 149 eup. II 63 (277) — Pl. XXII 149 — Pl. l. s. eup. I 176 (185).

1 EXC. Gal. XI 876 (= Aet. I s. v. Paul. Aeg. VII s. v.).

---

1 num. cap. $\overline{σλγ}$ ODi: $\overline{ρ ιβ}$ E ὁ om. Di *οὐρητικός, εὐκοίλιος* REDl 2 *εὔχρους ὅστις ποιητικός* R *ἀγωγὸς* om. F 3 *καὶ* om. R *μάλ. σὺν ὀρόβοις ἑφθὸς* RHDi 4 *ὄρχεων* om. R *καὶ ἀχῶρας καὶ λειχῆνας* om. *καὶ ψώρας* post *μυρμηκίας* transp. R: *καὶ πρὸς μυρμηκίας πρός τε λειχῆνας καὶ ἀχῶρας καὶ ψώρας* (om. Dl) *καὶ τὰ καρκινώδη καὶ τὰ κακοήθη ἕλκη* EDl: *καὶ μυρμηκίας πρός τε ψώρας καὶ λειχῆνας καὶ ἀχῶρας καὶ τὰ καρκινώδη ἕλκη καὶ κακοήθη* Di *καὶ λειχῆνας* om. P, at cf. Pl. XXII 149. Gal. XI 877 5 *καὶ ψώρας* post *καρκινώδη* transpos. P (mg. add. falso loco in textum irrepsisse videtur) *τὰ δὲ* (*καὶ* tert. om.) R *ἕλκη* om. P: post *κακοήθη* colloc. RE 6 *σὺν κριθῇ καὶ μέλιτι καταπλασσόμενος* R: *σὺν κριθῇ καὶ μέλιτι* Di: *σὺν μέλιτι καὶ κριθῇ* H *αὐτῶν τὸ ἕτερον* H 7 *οὐρητικώτατοι* E: *διουρητικοὶ* QDi *ὕδρωπα καὶ ἴκτερον* HDl 8 *ὕδρωπας* P 9 *καὶ* (pr.) om. E: delevi *ἡλκωμένην* QDi *τε* P: *δὲ* reliqui, post *μυρμηκίας* transpos. H 10 *νεομηνίας* E et D. eup. l. s.: *οὐμηνίας* P: *νουμηνίας* reliqui *ἔνιοι δὲ* F 11 *ὀθόνην* HDi 14 *δὲ* om. E *τοῦ ἡμέρου* E (corr. E[2]) 15 *τῷ* om. E *ποιῶν δὲ* E

17 C fol. 118[v]: N 75 (*cicerus* mg. add. m. rec.)

105 κύαμος Ἑλληνικὸς πνευματωτικός, φυσώδης, δύσπεπτος, δυσόνειρος, βηχὶ δὲ σύμφορος καὶ σαρκῶν γεννητικός, ἑψηθείς τε ἐν ὀξυκράτῳ καὶ σὺν τῷ λέπει ἐσθιόμενος δυσεντερίας καὶ κοιλιακὰς ῥύσεις ἐπέχει, καὶ πρὸς ἐμέτους δὲ εὔθετος βρωθείς· γίνεται δὲ ἀφυσότερος τοῦ πρώτου ὕδατος κατὰ τὴν ἕψησιν ἀποχεομένου. ὁ δὲ χλωρὸς κακοστομαχώτερος καὶ φυσωδέστερος. τὸ δὲ ἄλευρον τοῦ κυάμου καταπλασθὲν καθ' ἑαυτό τε καὶ σὺν ἀλφίτῳ τὰς ἐκ πληγῆς φλεγμονὰς πραΰνει καὶ οὐλὰς ὁμοχρόους ποιεῖ καὶ μαστοὺς χονδριῶντας καὶ φλεγμαίνοντας ὠφελεῖ γάλα τε σβεννύει. σὺν μέλιτι δὲ καὶ τηλίνῳ 2
ἀλεύρῳ δοθιῆνας καὶ παρωτίδας καὶ ὑπώπια διαφορεῖ, σὺν ῥόδοις δὲ καὶ λιβάνῳ καὶ τῷ τοῦ ᾠοῦ λευκῷ ὀφθαλμῶν προπτώσεις καὶ σταφυλώματα στέλλει. φυραθὲν δὲ σὺν οἴνῳ συγχύσεις καὶ πληγὰς ὀφθαλμῶν καθίστησιν, εἴς τε ἀνακόλλημα ῥεύματος χωρὶς τοῦ λέπους μασηθεὶς ἐπιτίθεται ἐπὶ τοῦ μετώπου, καὶ διδύμων ⟨δὲ⟩ φλεγμονὰς ἑψηθεὶς ἐν οἴνῳ θεραπεύει· καὶ τοῖς ἐφηβαίοις δὲ τῶν παίδων καταπλασσόμενος ἀνήβους ἐπὶ

105 RV: κύαμος· Ῥωμαῖοι φάβα.

---

1 SIM. Pl. XXII 140 (e S. N. aliis e Varrone adscitis), cf. XVIII 117; [Hipp.] *περὶ διαίτης* II 45 (VI 542); Sim. S. 113, 13 — Pl. XVIII 118 — Pl. XXII 140 — D. eup. II 49 (262) — eup. I 136 (162) — eup. I 135 (161) — Pl. XXII 140 — eup. I 148 (169) — D. eup. I 30 (108) 39 (111) — Pl. 140 eup. I 141 (164) — eup. I 104 (145) — eup. I 119 (152) — eup. I 103 (145) — eup. I 154 (173).
1 EXC. Gal. XII 49 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

---

1 num. cap. σλδ ODi: ριβ E *Ἑλληνικὸς — ἀποχεομένου* (v. 6) om. R *κύαμος ὁ ἑλληνικὸς* E *πνευματικός* H: *πνευματώδης* Di *φυσσώδης* HDi 2 post *γεννητικός* add. *μέσος θερμοῦ καὶ ψυχροῦ* (e Paul. Aeg.?) HDi 3 *τε*] *δὲ* HDi *ἐν*] *σὺν* EHDi 5 *ἀφυσώτερος* O *κατὰ*] *μετὰ* P 6 *χλωρὸς κύαμος* R *κακοστομαχωδέστερος* RE: *κακοστόμαχος* Q 7 post *ἄλευρον* extremum pag. 95ᵛ vocabulum aliquot cod. P folia perierunt 8 *τε*] *δὲ* R: om. E *καὶ* (alt.) — *ποιεῖ* om. REDl: *καὶ — καὶ* (pr. vers. 9) om. VF 9 post *χονδριῶντας* transpos. *ὠφελεῖ* E *φλεγμονῶντας* V: *φλεγμονὰς* N (*καὶ φλ.* om. C) 10 *ὠφελεῖ*] *ὠφελίμως* C: *πραΰνει ὠφελίμως* N *καὶ γάλα* N *τε*] *δὲ* F *σβέννυσι* RHDi 11 *δοθιῆνας καὶ* om. REDiDl, cf. Pl. XXII 140 12 *ῥόδῳ* Di: *ῥοδίνῳ* R: *cum rosa et ture* Dl *δὲ*] *τε* E *καὶ* (pr.)] *ἢ* C *καὶ* (alt.)] *ἢ* N *καὶ ᾠοῦ τοῦ λευκοῦ* R: *καὶ ᾠοῦ τῷ λευκῷ* E post *προπτώσεις* add. *καὶ οἰδήματα* H, post *σταφυλώματα* Di 13 *σὺν* om. E 14 *πληγὰς*] *φλεγμονὰς* V, fort. recte *ὀφθαλμῶν* om. R: *ὀφθαλμῶν — εἴς τε* om. V *εἰς ἀνακόλλημα δὲ* Di *κόλλυμα* V, ad rem cf. D. eup. I 28 (107) 15 *ἐπὶ*] *κατὰ* REDi 16 *δὲ* addidi e CE 17 *παιδίων* RE *καταπλαττόμενος* RE *πρὸς πολὺ* RE
18 C fol. 190ʳ: N 86 (*faba* mg. add. m. rec.)

3 πολὺ τηρεῖ, σμήχει δὲ καὶ ἀλφούς. τὰ δὲ λέπη καταπλασσό-
μενα τὰς ἐκτιλθείσας τρίχας ἀτρόφους καὶ ἰσχνὰς κατασκευάζει,
μετὰ δὲ ἀλφίτου καὶ σχιστῆς καὶ ἐλαίου παλαιοῦ καταπλασθέντα
χοιράδας διαφορεῖ, καὶ ἔρια βάπτει τὸ ἀφέψημα αὐτῶν. ἐπι-
τίθεται δὲ καὶ πρὸς τὰς ἀπὸ βδελλῶν αἱμορραγίας λελεπισμένος
εἰς δύο διαιρεθεὶς καθ' ἃ προσπέφυκεν καὶ ἐπέχει προστυπού-
μενος κατὰ τὸ ἡμιτόμιον.

106 ὁ δὲ Αἰγύπτιος κύαμος, ὃν ἔνιοι Ποντικὸν καλοῦσι,
πλεῖστος ἐν Αἰγύπτῳ γεννᾶται, καὶ ἐν Ἀσίᾳ δὲ καὶ ἐν Κιλικίᾳ
ἐν ταῖς λίμναις εὑρίσκεται. ἔχει δὲ φύλλον μέγα ὡς πέτασον,
καυλὸν δὲ πηχυαῖον, δακτύλου πάχος, ἄνθος δὲ ῥοδόχρουν, δι-
πλάσιον μήκωνος, ὅπερ ἐξανθῆσαν φέρει σφηκιᾷ παραπλήσιον
θυλακίσκον, ἐν ᾧ κύαμος μικρὸν ὑπεραίρων τὸ πῶμα ὡς πομ-
φόλυξ. καλεῖται δὲ κιβώριον ἢ κιβώτιον διὰ τὸ τὴν φυτείαν
τούτου γίνεσθαι ἐν ἰκμοβώλῳ ἐντιθεμένου οὕτω τε εἰς τὸ ὕδωρ
2 ἀφιεμένου. ῥίζα δὲ ὕπεστι παχυτέρα καλάμου, βιβρωσκομένη
ἑφθή τε καὶ ὠμή, κολοκάσιον καλουμένη. ὁ δὲ κύαμος βιβρώ-
σκεται μὲν καὶ χλωρός, ξηρανθεὶς δὲ γίνεται μέλας καὶ μείζων
τοῦ Ἑλληνικοῦ, ἔχων δύναμιν στυπτικὴν καὶ εὐστόμαχον. ἁρμό-
ζει δὲ κοιλιακοῖς καὶ δυσεντερικοῖς τὸ ἐξ αὐτῶν ἄλευρον ἐπι-
πασσόμενον ἀντὶ ἀλφίτου τῷ ποτῷ, καὶ πολτοποιούμενον ⟨δὲ⟩

7 SIM. Herod. II 92; Theophr. h. pl. IV 8, 7 (unde Ath. III 72 c. Pl. XVIII 122); Diphil. (Ath. III 73 a); Strab. 823; Diod. I 34.
7 EXC. cf. Gal. VI 532.

1 *καταπλαττόμενα* CE 2 *ἐκταλείσας* VF: *ἐκτείλλσας* E: *ἐκτίλλσας* R *ἰσχνὰς*] *λεπτὰς* RE: *καὶ ἰσχνὰς* post *κατασκευάζει* colloc. Q 3 *παλαιοῦ* post *καταπλ.* transpos. QDi 5 *πρὸς* om. V *ἀπὸ* om. R *τῶν βδελλῶν* HDi *ὁ δὲ λελεπισμένος* R 6 *καὶ* inser. E^2: om. Di *προστυπούμενος* om. R 7 *κατὰ τὸ* E^2 (in ras.) *τὸ* om. VR *ἡμιτόμιον* corr. E^2

8 num. cap. $\overline{\sigma\lambda\varepsilon}$ QDi: $\overline{\varrho\iota\gamma}$ E 9 *πλεῖστος μὲν γεννᾶται* (*γίνεται* Di) EDi *κιλικίᾳ πλεῖστος* H 10 *ὥσπερ* E 11 *φέρει δὲ καυλὸν* Q (*δὲ* mg. add. alieno loco inductum interpol. ansam dedit) *διπηχυαῖον* E (corr. E^2) *περὶ δακτύλου* EDi *δὲ* (alt.) om. E (in confinio pag.) *διπλάσιον ἢ μ.* Theophr. 12 *ἐξανθῆσαν* FE^2: *ἀπανθῆσαν* reliqui *φυσκία* HDi: *σφίκια* F: *σφήκια* E (*σφηκία* corr. E^2): *σφηκίῳ* Theophr. l. s. *παραπλήσια θυλακίσκῳ ἐν ᾧ* Q: *παραπλήσια θυλακίσκοις ἐν οἷς* Di 13 *μικρὸς* E (at *ς* in ras. E^2) Di, cf. Theophr. l. s. 14 *δὲ καὶ* E *κηβώριον ἢ κηβώλιον* (*λ* in ras.) E *τὴν* om. Q 15 *τούτου*] *τοῦ κυάμου* DiE (corr. E^2) *ἐντιθεμένου αὐτοῦ ἐν ἰγμοβώλῳ* (*ἰκμοβ.* Di) EDi *οὕτως* E 16 *ἐντιθεμένου* H *ῥίζα τε* E (*ε* del. E^2) 17 *κολλοκασία* H, cf. Diphil. (Ath. l. s.) *ῥίζα ἥτις λέγεται κολοκάσιον* 18 *καὶ* (pr.) om. HE 19 *στ. καὶ ἐκπεπτικὴν καὶ εὐστόμαχον* E: *virtus est ei stiptica, eustomaca* Dl 20 *δὲ*] *οὖν* Di *δυσεντερικοῖς καὶ κοιλιακοῖς* Di *αὐτῶν* libri 21 *τῷ ποτῷ* om. HDi *δὲ* addidi ex E

δίδοται. τὰ δὲ λέπη μᾶλλον ποιεῖ ἑψόμενα ἐν οἰνομέλιτι καὶ ποτιζόμενα πλῆθος κυάθων τριῶν· καὶ πρὸς ὠταλγίαν δὲ ποιεῖ τὸ ἐν μέσῳ χλωρὸν αὐτῶν, πικρὸν δὲ κατὰ τὴν γεῦσιν, λεῖον σὺν ῥοδίνῳ ἐνσταζόμενον.

107 φακὸς βιβρωσκόμενος συνεχῶς ἀμβλυωπός, δύσπεπτος, κακοστόμαχος, πνευματωτικὸς στομάχου καὶ ἐντέρων, κοιλίας τε σταλτικὸς σὺν τῷ λέπει ἑψόμενος· διαφέρει δὲ αὐτοῦ ὁ εὐψανὸς καὶ μηδὲν ἀνιεὶς ἐν τῇ βροχῇ μέλαν. δύναμιν δὲ ἔχει στυπτικήν, ὅθεν κοιλίαν ἵστησι προαπολεπισθεὶς καὶ ἑψηθεὶς ἐπιμελῶς, τοῦ πρώτου ἐν τῷ ἀφέψεσθαι ὕδατος ἀποχεομένου· λυτικὸν γὰρ κοιλίας τὸ ἀφέψημα αὐτοῦ. ἔστι δὲ δυσόνειρος, ἄθετος πρὸς τὰ νευρώδη καὶ πνεύμονα καὶ κεφαλήν. βέλτιον δὲ τὸ ἴδιον 2
ἔργον ἀποτελεῖ πρὸς τὰ ῥεύματα τῆς κοιλίας, μιγείσης αὐτῷ σέριδος ἢ κιχορίου ἢ ἀρνογλώσσου ἢ ἀνδράχνης ἢ σεύτλου μέλανος ἢ μύρτων ἢ σιδίων ἢ οὔων ξηρῶν ἢ μεσπίλων ἢ κυδωνίων ἢ ἀπίων ⟨ἢ φοινίκων⟩ Θηβαικῶν ἢ κηκίδων ὁλοκλήρων, αἵτινες μετὰ τὴν ἕψησιν ῥίπτονται, ἢ ῥοὸς τοῦ ἐπὶ τὰ ὄψα· δεῖ δὲ τὸ ὄξος ἐπιμελῶς συγκαθεψεῖν αὐτῷ, εἰ δὲ μή γε, ταράττει τὴν κοιλίαν· καὶ ἀνατροπὴν δὲ στομάχου περιπτισθέντες τριάκοντα

107 RV: φακός· Ῥωμαῖοι λέντεμ, οἱ δὲ λεντίκλαμ.

2 SIM. D. eup. I 57 (121).
5 SIM. Pl. XXII 142 (e S. N.) D. eup. I 43 (114) II 49 (261. 262) II 10 (231) I 154 (173) I 200 (197) I 169) (181) I 181 (190) I 134 (161).
5 EXC. Gal. XII 149 (= Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

1 *λέπυρα* E: *καὶ τὰ λέπη* H   2 *δὲ* om. H   4 *συνεψόμενόν τε καὶ ἐνσταζόμενον* Di
5 num. cap. *σλϛ* FDi: *σλξ* H: *ρıδ* E   *φακὸς ἐσθιόμενος· Ῥωμαῖοι λεντέμ, οἱ δὲ λεντικλάμ. φακὸς βιβρωσκόμενος* (e R) Di   *συνεχῶς ἐσθιόμενος* R: *συνεχῶς βιβρωσκόμενος* E   *ἀμβλυωπής* REDi   6 *πνευματικὸς* R   *κοιλίας τε καὶ ἐντέρου* E (*κοιλίας τε* del. E²)   *τε*] *δὲ* RDi   7 *μαλακτικὸς* REDi   *ἐσθιόμενος* Di   *δὲ καὶ* E   8 *ἀνεὶς* FE   *βροχῇ αὐτοῦ* H: *διαβροχῇ αὐτοῦ* Di   9 *ἀφεψηθεὶς* RDi   10 *ἐν τῷ ἀφέψεσθαι* om. Q: *mutabis aqua in coctura* Dl   11 *αὐτοῦ* om. RE   13 *αὐτῷ μετ' ὄξους* HDi   14 *σέρεως* REDi   *ἢ κιχορίου ἢ ἀρνογλώσσου* om. VQDi: *seris aut cicorium aut plantaginem* Dl: *φακὸς μετὰ ἀρνογλώσσου ἢ ἀνδράχνης ἢ σέριδος, ἢ κιχορίων* D. eup. II 49 (262), cf. Pl. XXII 144   15 *ἢ ᾠῶν ξηρῶν* R: *ἢ ἴνων ξηρῶν ἢ ῥόδων ξηρῶν* E (*ἢ ὄνων ξ.* del. E²): *ἢ ῥόδων ξηρῶν* VQ: *ἢ οὔων ξηρῶν* Di: om. Dl, cf. D. eup. l. s. *οὖα ξηρὰ ἀποζεννύμενα* (i. e. coeliacis utiliter adhibentur)   *μήλων κυδωνίων* E   16 *ἢ ἀπίων ἢ θηβαικῶν* E: *ἢ ἀπίων θηβαϊκῶν* reliqui, correxi Saraceno duce coll. D. eup. l. s.   *ἢ* (tert.) om. E: *ἢ κηκίδων ὁλοκλήρων* om. Di   17 *τοῦ*] *τῆς* E   18 *ἐπιμελῶς* post *αὐτῷ* colloc. RE   *συνκαθηψῆσθαι* E   *μή γε* V: *μήτε* Q: *μὴ* reliqui   19 *περιπυσθέντες* V: *περιλεπισθέντες* Spr.
20 C fol. 365ᵛ: N 164 (*lenticula* mg. add. m. rec.)

φακοὶ καὶ καταποθέντες ὠφελοῦσι. παρηγορεῖ δὲ καὶ ποδάγρας σὺν ἀλφίτῳ ἑφθὸς καταπλασθείς, μετὰ μέλιτος δὲ κόλπους κολλᾷ, ἐσχάρας περιρρήττει, ἕλκη τε ἀνακαθαίρει, σὺν ὄξει δὲ
3 ἑψηθεὶς σκληρώματα καὶ χοιράδας διαχεῖ. σὺν μελιλώτῳ δὲ ἢ κυδωνίῳ ὀφθαλμῶν φλεγμονὰς καὶ δακτυλίου θεραπεύει ῥοδίνου μειγνυμένου, ἐπὶ δὲ τῶν μειζόνων περὶ δακτύλιον φλεγμονῶν καὶ κόλπων μεγάλων σὺν σιδίοις ἢ ῥόδοις ξηροῖς ἡψημένοις μειγνυμένου καὶ μέλιτος, πρὸς νομὰς δὲ γαγγραινικὰς ὁμοίως ἢ καὶ θαλάσσης μειγνυμένης, πρὸς δὲ φλυκταίνας καὶ ἕρπητας καὶ ἐρυσιπέλατα καὶ χιμέτλας, ὡς προείρηται, πρὸς δὲ χονδριῶντας μαστοὺς καὶ σπαργήσεις ἑψόμενος ἐν θαλάσσῃ ἁρμόζει καταπλασθείς.

108 ὄροβός ἐστι θαμνίσκος στενόφυλλος, λεπτός, ἔχων σπερμάτιον ἐν λοβοῖς, ἐξ οὗ γίνεται τὸ καλούμενον ὀρόβινον ἄλευρον, ὃ καὶ πρὸς τὴν ἰατρικὴν ἁρμόζει χρῆσιν. ἔστι δὲ καρηβαρικός, κοιλίας ταρακτικός, εἰ βρωθείη, αἷμά τε δι' οὔρων ἄγει. βοῦς δὲ λιπαίνει ἑφθὸς παρατιθέμενος.

108 RV: ὄροβος· Ῥωμαῖοι ἔρβον⟨μ⟩.

13 SIM. Pl. XXII 151, cf. XVIII 139. Dieuch. (Orib. I 295) — Pl. XXII 153 cf. Cels. V 5. D. eup. I 25 (106).
13 EXC. Orib. XII s. v. *ὀρόβινον ἄλευρον* (*σκευάζεται — ἀπόθου*); cf. Gal. XII 91. VI 546.

1 *καὶ* (pr.) om. V *ποδάγραν* QDi 2 *ἑφθὸς*] *ἐπτῶ* V *καθεψηθεὶς* F: *ἑψηθεὶς* H: *καθεψηθεὶς καὶ καταπλασθείς* Di *μετὰ δὲ μέλιτος* RDi 3 *καὶ ἕλκη* Di: *τε* om. CE *δὲ*] *τε* VFE: om. H 4 *ἑψηθεῖσα* E *χοιράδας καὶ σκληρώματα* V: *duritias et scrofas* Dl post *χοιράδας* add. *καὶ ῥαγάδας* E *διαχεῖ*] *διαφορεῖ* RHDi: *διαχεῖ καὶ διαφορεῖ* E *ἢ*] *καὶ* E 5 *δακτύλιον* R 6 *ἐν δακτυλίῳ* Di 7 *ἢ*] *καὶ* C: *δὲ ἢ* N *ξηροῖς* om. R *ἑψόμενος* R: *ἀφεψόμενος* E²QDi: *ἑψημένοις* VE: correxi 8 *τε* R: *δὲ* reliqui *τὰς* ante *γαγγραινικὰς* add. E, fort. *νομάς τε καὶ γαγγραίνας* coll. Dl 9 *προσμιγνυμένης* N: *προσμιγνυμένου* C *καὶ πρὸς φλυκταίνας* E *φλυκτίδας* R 10 *χίμετλα* EDi 11 *σπαργανώσεις* H 12 cap. *περὶ φασιούλου* add. Di (post c. 106 add. H) *φασίολος φυσσώδης, πνευμάτων γεννητικός, δύσπεπτος, ἑψηθεὶς δὲ χλωρὸς καὶ ἐσθιόμενος κοιλίας μαλακτικός, πρὸς δὲ ἐμέτους εὔθετος.*
13 num. cap. σλζ FDi: σλη H: ριε E *ὄροβος· ῥωμαῖοι ὄρβον· γνώριμος* e R interpol. Di: *ὄροβος γιγνώσκεται* E: *ὄροβός ἐστι γνώριμος* H 14 *τὸ σπερμάτιον* RDi *σπερμάτιον*] *κεράτιον* V *ὡς λοβούς* V *ἐξ ὧν* RDi *ὀρόβειον* E (corr. E²) 15 *ὃ* om. R *καὶ* om. QDi: *καρπὸς* (pro *καὶ πρὸς*) V *χρῆσιν ἁρμόζει* EDi *δὲ καὶ* H 16 *κοιλίας στατικὸς* C: *κ. σταλτικὸς* N *τε*] *δὲ* R: *τι* V 17 *βῶας* R: *βόας* E *πιαίνει* R *παραβαλλόμενος* R, fort. recte: non recte verba *εἰ βρωθείη* et *ἑφθὸς παρατιθέμενος* transpos. Spr. Serapione duce, cf. Dl *elixus et datus bobes pinguescere facit*, aliter Gal. VI 546
18 C fol. 250ʳ: N 98 *ἔρβον* R: *ὄρβον* reliqui

σκευάζεται δὲ τὸ ἐξ αὐτοῦ ὀρόβινον οὕτως· ἐκλέξας τοὺς εὐτρόφους καὶ λευκοὺς ῥαῖνε ὕδατι ἀναφυρῶν, ἐάσας τε ἐφ' ἱκανὸν συμπιεῖν φρῦγε, ἄχρι οὗ ἂν περιρραγῇ ὁ φλοιός, εἶτα ἀλέσας καὶ διασήσας κοσκίνῳ λεπτῷ ἀπόθου. ἔστι δὲ εὐκοίλιον, οὐρητικόν, 2
εὐχροίας ποιητικόν, πλεονασθὲν δὲ ἐν βρωτῷ ἢ ἐν ποτῷ μετὰ στρόφων αἷμα ἄγει διὰ κοιλίας καὶ κύστεως. καθαίρει δὲ ἕλκη σὺν μέλιτι καὶ φακοὺς καὶ σπίλους καὶ ἐφήλεις καὶ τὸ λοιπὸν σῶμα, νομάς τε ἵστησι [καὶ σκληρώματα] καὶ γαγγραίνας, καὶ σκληρίας τὰς ἐν μαστοῖς μαλάσσει καὶ θηριώδη καὶ ἄνθρακας καὶ κηρία περιρρήττει. φυραθεὶς δὲ σὺν οἴνῳ κυνόδηκτα καὶ ἐχεόδηκτα καὶ ἀνθρωπόδηκτα θεραπεύει καταπλασσόμενος, σὺν ὄξει δὲ δυσουρίας καὶ στρόφους καὶ τεινεσμοὺς παύει· ἁρμόζει δὲ καὶ ἀτρόφοις ὅσον καρύου μέγεθος φρυκτὸν λημφθὲν σὺν μέλιτι. τὸ δὲ ἀφέψημα αὐτοῦ καταντλούμενον χιμέτλας καὶ κνησμοὺς τοὺς ἐν σώματι θεραπεύει.

109 θέρμος ὁ ἥμερος γνώριμος, οὗ τὸ ἄλευρον σὺν μέλιτι

4 SIM. Pl. l. s. 152 D. eup. II 109 (308) — [Hipp.] περὶ δ. II 45 (VI 544) Dieuch. (Orib. I 295). Cels. V 8. Pl. 153 eup. I 108 (148) — Pl. 151 eup. I 121 (154) — eup. I 201 (198) — Pl. 151 — Pl. 152 eup. I 199 (196) — eup. IV 113 (314) — Pl. 151 eup. II 117 (318) — Pl. 152 — eup. II 43 (256) Pl. 152 — Pl. 152 — eup. I 179 (189).

16 SIM. Pl. XXII 154 (e S. N.); Diph. (Ath. II 55 f.); [Hipp.] περὶ διαίτης II 45 (VI 544) — Pl. 155 D. eup. II 67 (282); Ruf. (Orib. II 217) Geop. II 39, 8 — Pl. 157 eup. II 61 (273) — Pl. 156 eup. I 201 (198) — eup. I 203 (199) — Pl. 155 — eup. I 105 (146) — Pl. 156 eup. II 78 (290) — Pl. 155 eup. I 108 (148) I 56 (119) I 145 (167).

16 EXC. Gal. XI 885 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.), cf. Ps. Ap. 110.

1 οὕτω HDi τοὺς ὀρόβους τοὺς λευκοὺς Di, ὀρόβους post λευκοὺς cogitando facile suppleas 2 λευκοὺς καὶ εὐτρόφους R ἐν ὕδατι (om. ἀναφυρῶν) E ἀναποιῶν ROrib. 3 ἄχρι ἂν οὗ E: ἄχρις ἂν οὗ Orib.: ἄχρις ἂν HDi 4 κοσκίνῳ λεπτῷ om. R ἀπόθες Di: ἀπόθει Q 5 περιποιητικόν H: εὐχρ. ποιητ. om. mg. add. E² δὲ om. E ἐν (utrobique) om. R: ἐπὶ βρωτῶν ἢ πότων E (ἐν βρωτῷ ἢ ποτῷ E² in mg.) 6 δὲ καὶ E 7 καὶ ἐφήλεις καὶ σπίλους RDi 8 τε om. R καὶ σκληρώματα VQ: om. reliqui: καὶ καρκινώματα coni. Lac.: delevi σκληρίας μαλάσσει QDi 9 καὶ θηριώδη om. VQ: τὰ θηριώδη NE, cf. Dl *maligna vulnera et carbunculos imposita curat* 10 κηρία] σκληρίας E περιρήσσει E: ῥήττει C φυραθεὶς libri: φυραθὲν coni. Sarac.: non recte (inconcinna dictio ut saepius; ὄροβος suppl.), cf. Pl. 151 *contra serpentium ictus ex aceto, ad crocodilorum hominumque morsum* (sc. ervum datur) 11 καὶ ἀνθρωπόδηκτα om. REDiDl, at cf. Pl. l. s. καταπλασσόμενα (. . ος E) δὲ σὺν ὄξει REDiDl καταπλασσόμενον H 12 δυσουρίαν R τηνεσμὸν RE 13 στρόφοις FE²: τοῖς ἀτροφοῦσι HDi 14 αὐτῶν RE 15 τῷ σώματι RE παύει R

16 num. cap. σλθ H: σλη FDi: ρις E post θέρμος add. τὸ λεγόμενον λουππινάρ V: κοινῶς λουμπηναρία effigiei herb. pict. add. C (fol. 134r): mg. λουπιναρία add. Di ὁ om. RVDi post ἥμερος syn. c R add. Di

ἐκλειχόμενον ἢ μετὰ ὄξους πινόμενον ἕλμινθας φθείρει. καὶ αὐτοὶ δὲ ἀποβραχέντες καὶ ἔμπικροι ἐσθιόμενοι τὸ αὐτὸ δρῶσι, καὶ τὸ ἀφέψημα ⟨δὲ⟩ αὐτῶν τὸ αὐτὸ ποιεῖ μετὰ πηγάνου ποθὲν καὶ πεπέρεως, καὶ σπληνικοὺς ὠφελεῖ, ἐπάντλημά τε γαγγραίνης, θηριωμάτων, ψώρας ἀρχομένης, ἀλφῶν, σπίλων, ἐξανθημάτων, ἀχώρων· τὸ δ' αὐτὸ καὶ καταμηνίων καὶ ἐμβρύων ἐπισπαστικὸν μετὰ σμύρνης καὶ μέλιτος ἐν προσθέτῳ. καθαίρει δὲ τὸ ἄλευρον χρῶτα καὶ πελιώματα, καὶ φλεγμονὰς πραΰνει σὺν ὕδατι καὶ ἀλφίτῳ, σὺν ὄξει δὲ ἰσχιάδας παρηγορεῖ καὶ φύματα.
2 *χοιράδας δὲ μεταβάλλει ἑψηθεὶς ἐν ὄξει καὶ καταπλασθεὶς καὶ ἄνθρακας περιρρήσσει. μεθ' ὕδατος δὲ ὀμβρίου ἑψηθέντες οἱ θέρμοι ἄχρι χυλώσεως πρόσωπον σμήχουσι, μετὰ δὲ χαμαιλέοντος ῥίζης τοῦ μέλανος ἑψηθέντες προβάτων ψώρας ἰῶνται ἐκλελουμένων τῷ ἀφεψήματι χλιαρῷ. ἡ δὲ ῥίζα ἑψηθεῖσα σὺν ὕδατι καὶ ποθεῖσα οὔρησιν κινεῖ. οἱ δὲ ἀπογλυκανθέντες λεῖοι σὺν ὄξει ποθέντες στομάχου ἄσην πραΰνουσι καὶ ἀνορεξίαν ἰῶνται.*

γίνεται δὲ καὶ ἄ γ ρ ι ο ς θ έ ρ μ ο ς, ἐμφερὴς τῷ ἡμέρῳ κατὰ πάντα, μικρότερος δέ, ποιῶν ὅσα καὶ ὁ ἥμερος.

---

109 RV: *θέρμος ἥμερος· Ῥωμαῖοι λουππίνουμ, Αἰγύπτιοι βρεχού.*
RV: *θέρμος ἄγριος· Ῥωμαῖοι λουππίνουμ ἀγρέστεμ.*

---

9 SIM. Pl. l. s. 156 D. eup. I 240 (221) — Pl. 156 eup. I 149 (170) — Pl. 156 eup. I 154 (173) — Pl. 156 eup. I 198 (195) — Pl. 157 — Pl. l. s. eup. II 112 (312) — eup. II 9 (230) — Pl. 155.

---

1 *ἢ — πινόμενον* om. H *φθείρει*] *ἐκτινάσσει καὶ κινεῖ* (*κεινεῖ* N) R: *ἐκτινάσσει καὶ κτείνει* Di 2 *τὰ αὐτὰ* RDi 3 *δὲ* addidi ex E *τὰ αὐτὰ* RDi *ποθὲν* post *πεπέρεως* transpos. REDi: *ὅθεν* (pro *ποθὲν*) N: *ποθὲν ὅθεν* Di *μετὰ πηγάνου κτλ.* ad insequ. trah. Dl, at cf. D. eup. II 67 (282) 4 *γαγγραίνης ἐστὶ χρήσιμον καὶ* Di 5 *σπίλων*] *σπληνὸς* R 6 *δὲ* om. V: *τὸ αὐτὸ δὲ* Q (*δὲ* om. alieno loco in text. rec.) *καὶ* (alt.) om. V 8 *δὲ καὶ* E *χρόαν* F *καὶ* (pr.) om. VFE *σὺν ἀλφίτῳ καὶ ὕδατι* REDi 9 *μετ' ὄξους* RE *δὲ καὶ* R: *δὲ* om. E 10 *καὶ χοιράδας δὲ* E: *χοιράδας τε* N *σὺν ὄξει* R 11 *περιρρήττει* RE 12 *χυμώσεως* N: *μεθύσεως* C *σμήχουσι πρόσωπον* REDi 13 *τοῦ μέλανος ῥίζης* R 14 *ἐκλουόμενον* C: *ἐκλουωμένων* E: *ἐκλουόμενοι* N *χλιερῷ* RE 15 *οὖρα* E *λεῖοι*] *λύει* V 16 *καὶ ποθέντες* E 18 *θέρμος ἄγριος· ῥωμαῖοι λουπινοὺμ ἀγρεστέμ· καὶ ὁ ἄγριος θέρμος γίνεται* Di (e N) *ὁ ἄγριος* E *ἐμφερὴς δὲ* C 19 *πάντα δὲ* (om. *δὲ* post *μικρότερος*) REDi (corr. E²) *μικρὸς* E (corr. E²) *ποιῶν δὲ* E (corr. E²)
20 C fol. 133ᵛ: N 36 (*lupinus* add. m. rec.) *λουπινούμ* Di
22 C fol. 135ʳ: N 36 *λουπινούμ* Di

110 γογγύλης ἡ ῥίζα ἑφθὴ τρόφιμος, πνευματωτική, σαρκὸς πλαδαρᾶς γεννητική, ἀφροδισίων παρορμητική. τὸ δὲ ἀφέψημα αὐτῆς ποδάγρας καὶ χιμέτλης ἐστὶ καταντλημα, καὶ αὐτὴ δὲ λεία καταπλασσομένη ὠφελεῖ. εἰ δέ τις ἐγγλύψας τὴν ῥίζαν κηρωτὴν ῥοδίνην ἐν αὐτῇ ἐπὶ θερμοσποδιᾶς τήξει, ποιεῖ πρὸς τὰς εἰλκωμένας χιμέτλας. ὁ δὲ ἐξ αὐτῆς ἀσπάραγος βιβρώσκεται ἑφθός· ἔστι δὲ οὐρητικός. τὸ δὲ σπέρμα εἰς ἀντιδότους καὶ θηριακὰς ἀνωδύνους εὔθετον, βοηθεῖ δὲ καὶ τοῖς θανασίμοις· ποθὲν δὲ παρορμᾷ καὶ πρὸς ἀφροδίσια. ἁλμευθεῖσα δὲ ἀτροφωτέρα γίνεται βιβρωσκομένη· τὰς μέντοι ὀρέξεις ἀναλαμβάνει.

2 ἡ δὲ ἀγρία γογγύλη φύεται ἐν ἀρούραις, θάμνος πηχυαῖος τὸ ὕψος, πολύκλαδος, ἐξ ἄκρου λεῖος, φύλλα ἔχων λεῖα, ⟨ῥίζαν⟩ μεγάλου δακτύλου τὸ πάχος ἢ καὶ μείζονα, καρπὸν δὲ

110 RV: γογγύλη· οἱ δὲ γογγυλίδα, οἱ δὲ γορσόσιον, Ῥωμαῖοι ῥάπαμ.

1 SIM. Pl. XX 18sq. (unde Garg. Mart. 35, 173 aliis aliunde adscitis); cf. Pl. XIX 129sq.; [Hipp.] περὶ διαίτης II 54 (VI 560); Diph. (Ath. IX 369 de) Sim. Seth. s. v. (32) — Pl. XX 19 (e Ps. Democr.) — Pl. l. s. (e Diocle) — Pl. 18 D. eup. I 139 (215) — Pl. 18 eup. I 179 (189) — eup. I 181 (189) — Pl. l. s. 18 — eup. I 108 (148).

1 EXC. Orib. XI s. v. (γογγύλη — παρορμητική, ὁ δὲ ἐξ — εὔθετον); Gal. XI 861 (= Aet. Paul. et Aeg. l. s.), cf. Gal. VI 648.

12 SIM. Pl. XX 20 (e S. N.).

12 EXC. Orib. XI s. v. γογγύλη (ἡ δὲ — ἔνδοθεν).

1 num. cap. ο̅μ̅ H: σ̅λ̅θ̅ FDi: ρ̅ι̅ζ̅ E γογγύλη ἥμερος· οἱ δὲ γογγυλίδα, οἱ δὲ γοργόσιον, Ῥωμαῖοι ῥαπά· γογγύλης (ταύτης R) ἡ ῥίζα e R add. Di ἡ om. E πνευματική R 3 ποδάγραν καὶ χεμέθλας ἰᾶται F χεμέτλας R: χιμέτλας E: χέμετλα V: correxi, cf. D. IV 105 καὶ (alt.) om. RDiE (mg. add. E^2) αὐτὴ πελία (= αὐτή τε λεῖα) N: αὐτὴ προσπελία C: αὐτή τε Di 4 γλύψας R: ἐκλέψας E (in mg. corr. E^2) 5 ἐν αὐτῇ ῥόδινον (om. κηρωτὴν) R κηρωτάριον ῥόδινον E (corr. E^2) θερμοσποδιᾷ REDi (corr. E^2) τήξας C: τήξῃ N 6 τὰ ἡλικωμένα χύμεθλα Di 7 διουρητικός Di ἀντιδότους εὔθετον καὶ θηριακαῖς ἀνωδύνοις R 9 δὲ (pr.) om. REDi, at cf. Dl *bibitum venerem stimulat* παρορμᾷ — ἀφροδίσια om. N δὲ (alt.) om. H 10 ἐμβιβρωσκομένη E ἀντιλαμβάνει Q 12 nov. cap. (ρ̅ι̅η̅) incip. EDl γογγύλη ἀγρία φύεται E θάμνος πηχιαῖος corr. E^2 13 ὕψος] μῆκος H λεῖος om. QDl ἔχουσα HDi 14 ῥίζαν addidi Saraceno duce μεγάλου om. HDi πάχος] πλάτος Di: πάχος ἢ τὸ πλάτος E (ἢ τὸ πλάτος del. E^2): *folia levia et grossa in modum digiti et satis lata* Dl

15 C fol. 88^v: N 60 (*rapa* mg. add. m. rec.) γογγύλη ὁμοίως C: γογγύλη N: γογγύλη ἥμερος Di γοργόσιον Di: γορσόσιον R: corruptum, fort. ὀρθώσιον, cf. Hes. s. v. ὀρθέσιον

ἐν λοβοῖς καλυκώδεσιν· ἀνοιχθέντων δὲ τῶν περικαρπίων ἔσωθεν ἄλλος κεφαλοειδής ἐστι λοβός, ἐν ᾧ σπερμάτια μέλανα, θλασθέντα δὲ λευκὰ ἔνδοθεν. μείγνυται δὲ σμήγμασι προσώπου καὶ τοῦ ἄλλου χρωτός, ὅσα δι' ἀλεύρων γίνεται θερμίνων ἢ πυρίνων ἢ ἐρεγμίνων ἢ ὀροβίνων.

111 βουνιάς· καὶ ταύτης ἡ ῥίζα ἑφθὴ φυσώδης ἐστίν, ἧττον δὲ τρόφιμος. ποιεῖ δὲ τὸ σπέρμα αὐτῆς ἀνενεργῆ τὰ θανάσιμα προπινόμενον, μείγνυται δὲ καὶ ἀντιδότοις. ἁλμεύεται δὲ καὶ ταύτης ἡ ῥίζα.

112 ῥαφανὶς καὶ αὐτὴ πνευμάτων γεννητική, εὔστομος, οὐκ εὐστόμαχος, ἐρευκτική. οὐρητικὴ δέ ἐστι καὶ θερμαντική, εὐκοίλιος δέ, εἴ τις αὐτὴν ἐπιλαμβάνει μᾶλλον συνεργοῦσαν τῇ ἀναδόσει, προεσθιομένη δὲ μετεωρίζει τὴν τροφήν· ἁρμόζει δὲ

---

112 RV: ῥάφανος κηπαία· οἱ δὲ πολύειδος ἠρυγγίου, Ῥωμαῖοι ῥάδιξ νόστρα, Ἄφροι θορφάθ.

---

6 SIM. Pl. XX 21 (e S. N.); Diph. (Ath. IX 369d), cf. Gal. VI 622.

10 SIM. Pl. XX 23sq. (e S. N.), cf. XIX 80sq. (unde Garg. Mart. 1, 133 R ∾ A. Mai. VII 427. Ps. Orib. simpl. I 122); Geop. XII 22 (e Pl. aliis aliunde additis); Sim. Seth. s. v. 90; Isid. XVII 10, 10 (e G. M. ut videtur); Ruf. (Orib. III 93, cf. Ruf. ed. Ruelle 9. 546) — [Hipp.] περὶ διαίτ. II 54 (VI 558) — Cels. II 32 Pl. XX 23 D. eup. II 112 (312) Ruf. 9. 546 — Cels. II 29 Plistonic. (Pl. 26) — Ruf. (Orib. II 107) Archig. (Orib. II 149. 152) Pl. 28.

10 EXC. cf. Gal. XII 111 (∾ Act. I s. v. aliis in fine additis, Paul. Aeg. VII 3 s. v.).

---

1 ἀνυχθέντων E   δὲ om. H   τούτων τῶν Di   2 φακοειδής coni. Scaliger   σπέρματα E   3 θλασθέντα δὲ om. H: θρανοθέντα EDi   4 ἀλεύρου γίν. θερμίνου κτλ. E   5 ἐρεγμίνων] αἰρίνων QDi   ἢ ὀροβίνων om. E

6 num. cap. σμ FDi: σμα H: ρια E   7 ἧττον δὲ τρόφιμος] cf. Diph. l. s.   δὲ (alt.)] γὰρ Di   8 προπινομένη E: πινόμενον Di   9 δὲ om. HDi

10 num. cap. σμα FDi: σμβ H: ρκ E   ῥάφανος RDiDl: ῥέφανος E   post ῥαφανὶς syn. e R add. Di   δὲ καὶ E   αὐτὴ F: αὕτη Di   post γεννητική transpos. καὶ θερμαντική CDi   εὔστομος—ἐρευκτική om. post βοηθεῖ (S. 187, 7) transpos. Q: εὔστομος οὐκ om. Dl: ante et post εὔστομος 3 litt. del. et οὐκ inser. E[2]   11 post εὐστόμαχος add. ἔνιοι δὲ τὰ ἐναντία ἔγραψαν E (var. lectio) ῥευτική V: ἐρευκτικὴ δέ ἐστιν καὶ (οὐκ add. C) οὐρητική REDi   12 δὲ εἴ τις κτλ.] δεῖ δὲ αὐτὴν ἐπιλαμβάνειν (λαμβάνειν R) RDi: εἴ τις in ras. E[2]   13 προσθειομένη V: προοεσθιομένη E (corr. E[2])   δὲ pr.] γὰρ REDi

14 C 283[r]: N 131 (*radix domestica* add. m. rec.)   15 νοστρατα (τα dittogr.) libri, cf. Col. XI 3, 18. Isid. XVII 10, 10   θορφαθ NDi: θορφαθε C, cf. D. IV 175, *Löw* l. s. 407

καὶ τοῖς ἐμεῖν μέλλουσι προεσθιομένη, ἀκριβοῖ δὲ καὶ τὰς αἰσθήσεις. ἑφθὴ δὲ ποιεῖ λαμβανομένη βῆσσουσι χρονίως καὶ τοῖς πάχος γεννῶσιν ἐν θώρακι. ὁ δὲ φλοιὸς αὐτῆς μετ' ὀξυμέλιτος λαμβανόμενος ἐμετικώτερος, ἁρμόζων ὑδρωπικοῖς, καταπλασθεὶς δὲ εὐθετεῖ καὶ σπληνικοῖς· σὺν μέλιτι δὲ [ἔτι] νομὰς ἐφίστησι καὶ ὑπώπια αἴρει καὶ ἐχεοδήκτοις βοηθεῖ ἀλωπεκίας τε δασύνει, φακοὺς ⟨δὲ⟩ ἀποσμήχει σὺν αἰρίνῳ ἀλεύρῳ· βοηθεῖ
δὲ καὶ τοῖς ὑπὸ μυκήτων πνιγομένοις, ἔμμηνά τε ἄγει. τὸ δὲ 2
σπέρμα αὐτῆς ἐμετικόν, οὐρητικόν, σπληνὸς καθαιρετικὸν πινόμενον μετ' ὄξους, συναγχικοῖς τε βοηθεῖ ἀφεψηθὲν σὺν ὀξυμέλιτι θερμῷ εἰς ἀναγαργάρισμα, καὶ πρὸς κεράστου δῆγμα σὺν οἴνῳ πινόμενον βοηθεῖ, ἐπιπλασθὲν δὲ μετ' ὄξους γαγγραίνας εὐτόνως περιχαράσσει.

ἡ δὲ ἀγρία ῥαφανίς, ἣν Ῥωμαῖοι ἀρμορακιον καλοῦσι, φύλλα ἔχει ὅμοια τῇ ἡμέρῳ πρὸς τὰ τῆς λαμψάνης μᾶλλον, ῥίζα δὲ ἰσχνή, μακρά, ὑπόδριμυς. λαχανεύεται δὲ ἡ ῥίζα καὶ τὰ φύλλα εἰς βρῶσιν ἑφθά. ἔστι δὲ θερμαντική, οὐρητική, καυματώδης.

1 TEST. Sim. Seth. 91, 16: ὁ δὲ Διοσκουρίδης φησί, ὅτι τὰς αἰσθήσεις ἀκριβοῦσιν.

2 SIM. Zop. (Orib. II 568) Pl. l. s. 24 — Pl. 25 — D. eup. I 200 (197) — Pl. 24 Apollon. (Gal. XII 815) eup. I 56 (119) — Pl. 27 eup. I 95 (141) — eup. I 121 (154) — Pl. 25 eup. II 160 (336) Ruf. (Orib. II 216) — Pl. 26 eup. II 75 (287) — eup. II 112 (312) — eup. I 87 (137) — Pl. 25 eup. II 117 (318) — eup. I 201 (197) — Pl. XX 22.

1 προσεσθιομένη R 2 λαμβανομένη ποιεῖ N χρονίως om. RE 5 δὲ (pr.) om. REDi εὐθετεῖ δὲ (δὲ om. NDi) καὶ REDi, at cf. Dl *cataplasmis adibitus cum melle pascentia vulnera curat* σὺν δὲ μέλιτι καὶ (om. N) νομὰς (καὶ νομὰς om. Di) REDi δ' ἔτι V: δὲ ἔτι Q: ἔτι delevi 6 ἐφίστησι om. R βοηθεῖ καὶ ἐχιοδήκτοις Di 7 τε R: om. EDi: δὲ reliqui δὲ addidi ex E 8 δὲ (pr.) om. RDi καὶ om. E post πνιγομένοις add. βιβρωσκόμενος καὶ (ἢ Di) πινόμενος EDi καὶ ἔμμηνα EDi: ἔμμηνά τε RH: τε om. FV καὶ τὸ σπέρμα δὲ RE 10 post ὄξους transpos. γαγγραίνας εὐτόνως περιχαράσσει RDi: ἐπιπλασθὲν δὲ γαγγρ. περιχ. EDl συνάγχαις CDi τε] δὲ C: om. NDi συνεψηθὲν E μετ' ὀξυμέλιτος θερμοῦ E 14 nov. cap. (ρκα) incip. E s. v. ῥάφανος ἀγρία habet R (C fol. 285v N 131) cap. Diosc. de apio (IV 175), quod hoc loco interpol. Di, deinde perg. ἐν ἄλλῳ· ῥάφανος ἀγρία ἣν ῥωμαῖοι ἀρμοράκιον καλοῦσι κτλ. ῥάφανος ἀγρία E: ἡ δὲ ἀγριοράφανος F ἀμαράκινον E: *emoracium* Dl: *armoraciam* Pl. 15 ἔχει μὲν οἷα Q: ἔχει ὅμοια EDi: ἐχομένη ὅμοια V λαψάνης E 16 ῥίζαν ἰσχνήν· μακράν· ὑπόδριμυς (sic) E μακρά] μαλακή HDi τὰ φύλλα καὶ ἡ ῥίζα E 17 ἑφθή E θερμαντική om. E διουρητική E

113 *σίσαρον* γνώριμον, οὗ ἡ ῥίζα ἑφθὴ [εὔστομος] εὐστόμαχος, οὐρητική, ὀρέξεως προκλητική.

114 *λάπαθον*· τὸ μέν τι αὐτοῦ ὀξυλάπαθον λέγεται, φυόμενον ἐν ἕλεσι, σκληρόν, κατὰ τὰ ἄκρα ἄποξυ, τὸ δέ τι κηπευτόν, οὐκ ἀνόμοιον τῷ πρώτῳ. τρίτον δέ ἐστιν ἄγριον, μικρόν, παρόμοιον ἀρνογλώσσῳ, μαλακόν, ταπεινόν. ἔστι δὲ

---

114 RV: λάπαθον, Ῥωμαῖοι ῥούμηξ, προφῆται αἷμα Τυφῶνος, Αἰγύπτιοι ἐπτίς· γνώριμον, κοιλίας μαλακτικὸν ἑψηθέν. ὠμὸν δὲ καταπλασσόμενον μελικηρίδας σὺν χρόνῳ διαφορεῖ.

ὀξυλάπαθον τὸ μέγα· οἱ δὲ σύμφυτον, οἱ δὲ φλόμος Ἰουδαία, οἱ δὲ σατύριον, Ῥωμαῖοι ῥουμίκουλα, οἱ δὲ ῥούμηξ ἄκιδους, οἱ δὲ ῥούμηξ κανθηρίνους, Αἰγύπτιοι σεμίθ, Ἄφροι ἀμουτίμ.

ὀξυλάπαθον τὸ μικρόν· οἱ δὲ ὀξαλίδα, Ῥωμαῖοι ῥουμιγάστρουμ, Ἄφροι ἀμουζεγαράφ. τὸ δὲ ὀξυλάπαθον, φυόμενον ἐν ἕλεσι, σκληρόν, ἄποξυ κτλ.

---

1 SIM. Pl. XX 34 (e S. N. et I. B.); Diocl. frg. 122. 157.
1 EXC. Gal. XII 124 (unde Paul. Aeg. 3 s. v. aliis additis).
3 SIM. Pl. XX 231 sq. (e S. N.), cf. XIX 123, schol. Nic. Th. 838.
3 EXC. Orib. XI s. v. (*λάπαθον — παραφυάδων*); Ps. D. de h. f. 48 (∾ A. Mai. VII 430. Ps. Orib. III 39); Garg. Mart. 8 (e Pl. et Dl); Gal. XII 56 (unde Paul. Aeg. VII 3 s. v. aliis in fine additis); Aet. I s. v.; Geop. XII 38, cf. Ps. Ap. 13 (Ps. Orib. I 6). 34.

---

1 num. cap. $\overline{σμβ}$ FDi: $\overline{σμγ}$ H: $\overline{ρκβ}$ E   *οὗ ἡ ῥίζα, γνώριμον γάρ, ἑφθὴ* H   *ἑφθὴ καὶ ὠμή* E   *εὔστομος* om. EDl: delevi (var. lect.) coll. Paul. Aeg. l. s. *σισάρου ἡ ῥίζα ἑφθὴ εὐστόμαχός τέ ἐστι καὶ οὐρητική*, cf. Gal. l. s.   2 *προσκλητική* H

3 num. cap. $\overline{σμδ}$ H: $\overline{σμγ}$ FDi: $\overline{ρκγ}$ E   *μέντοι* F: *τι* om. Di   4 *ἕλεσιν τόποις* E, corr. E²: *ἑλώδεσι* N   *κατὰ τὰ ἄκρα* om. R: *καὶ τὰ ἄκρα* Orib.: *καὶ κατὰ ἄκρον* E: *κατὰ ἄκρα* Di   *τι* om. HE   *κηπευόμενον* R   5 *οὐ κατὰ πᾶν ὅμοιον* Orib.: *οὐχ ὅμοιον* VQDi: *ἀνόμοιον* (om. *οὐκ*) R: *οὐκ ἀνόμοιον* E, cf. Pl. l. s. *est alterum genus — fere oxylapathum vocant — sativo id similius*   *τὸ δὲ τρίτον μικρὸν* (om. C) *παρόμοιον ἀρνογλ.* R: *τρίτον δὲ τὸ ἄγριον* Orib.E   6 *μαλακόν*] *μικρόν* R: post *μαλακόν* del. *μικρόν* Orib.

7 N fol. 110: cap. om. C   *νυμφῶνος* N: correxi coll. Ps. Ap. l. s. *prophetae ematyfonos*   8 *αἰπτις* N: *etitus* Ps. Ap. l. s.

10 C fol. 243ᵛ: N 115 (*lapatium marinum* add. m. rec.)   *σύνφυτον* R   *φλόμμος ἰουδέα* R   11 *ῥομικουλα* N   *itali lapatium acutum* Ps. Ap. 34   12 *nostri vero rumicem, alii lapathum canterinum* Pl. l. s.: *alii rumex cantaritis* Ps. Ap.   *σεμίθ*] *egypti seme vocant* Ps. Ap.   14 *τὸ μικρόν* om. C   *ὀξαειδα* C: *οἱ δὲ ὀξαλίδα* om. N: correxi   15 *Ἄφροι*] cf. *Löw* a. a. O. 402

καὶ τέταρτον εἶδος αὐτοῦ, ὃ ἔνιοι ὀξαλίδα ⟨ἢ ἀναξυρίδα⟩ ἢ λάπαθον ἄγριον καλοῦσιν, οὗ ⟨τὰ⟩ φύλλα ὅμοια τῷ ἀγρίῳ καὶ μικρῷ λαπάθῳ, καυλὸς δὲ οὐ μέγας, ἄποξυς, καρπὸς δὲ ἐρυθρός, δριμὺς ἐπὶ τοῦ καυλοῦ ἐπὶ παραφυάδων.

πάντων δὲ τὸ λάχανον μαλάσσει κοιλίαν ἑψηθέν. αὐτὸ δὲ 2 ὠμὸν καταπλασσόμενον μελικηρίδας σὺν ῥοδίνῳ ἢ κρόκῳ διαφορεῖ. τὸ δὲ σπέρμα τοῦ ἀγρίου καὶ τοῦ ὀξυλαπάθου καὶ τῆς ὀξαλίδος πίνεται ὠφελίμως μεθ' ὕδατος ἢ οἴνου πρὸς δυσεντερίαν καὶ κοιλιακὴν διάθεσιν καὶ ἄσην στομάχου καὶ πρὸς σκορπίου πληγήν· καὶ εἰ προπίοι δέ τις, οὐδὲν πείσεται πληγείς. αἱ δὲ ῥίζαι αὐτῶν, ἑφθαί ⟨τε⟩ καὶ ὠμαὶ σὺν ὄξει καταπλασθεῖσαι, θεραπεύουσι λέπρας, λειχῆνας, ὄνυχας λεπρούς· δεῖ δὲ προανατρίβειν τὸν τόπον ἐν ἡλίῳ νίτρῳ καὶ ὄξει· πραΰνει δὲ καὶ κνησμοὺς τὸ ἀφέψημα αὐτῶν περιαντλούμενον ⟨ἢ τῷ λουτρῷ μειγνύμενον⟩. παρηγοροῦσι δὲ καὶ ὀδονταλγίας ἑψόμεναι 3 ἐν οἴνῳ καὶ διακλυζόμεναι, διαφοροῦσι καὶ χοιράδας καὶ παρωτίδας ἑφθαὶ ἐν οἴνῳ καταπλασθεῖσαι, σπλῆνα δὲ σὺν ὄξει ⟨τήκει⟩. καὶ ἐνδέσματι δέ τινες χρῶνται ταῖς ῥίζαις πρὸς χοιράδας, περιάπτοντες τῷ τραχήλῳ· ἱστᾶσι καὶ ῥοῦν γυναικεῖον προστε-

6 SIM. Pl. XX 231 sq. D. eup. I 156 (175) II 48 (260) II 9 (230) II 121 (319) 132 (324) I 129 (158) I 130 (160) I 154 (173) I 148 (169) II 62 (275) I 155 (175) II 56 (268) II 77 (290).

1 εἶδος] γένος H εἶδος αὐτοῦ om. R: αὐτοῦ om. Orib. ὀξαλλίδα Orib. VQE: ξαλίδα R ἢ ἀναξυρίδα addidi e ROrib.EDl, cf. schol. Nic. Th. 838 2 οὗ om. Orib. τὰ addidi φύλλα ἔχει Orib. ἀγρίῳ καὶ om. R καὶ μικρῷ om. E 3 δὲ (pr.) om. RDi ἄποξυς post καρπὸς colloc. (om. δὲ) Di δὲ (alt.) om. REDi ἐρυθρότερος E 4 καὶ ἐπὶ παραφυάδων Di: εἰσὶ παραφυάδες H 5 quae sequuntur bis habet R (s. v. ὀξυλάπαθον et ἱππολάπαθον) τὴν κοιλίαν E 6 ὠμὸν δὲ (om. αὐτὸ) REQDi καὶ καταπλασσόμενον V σὺν χρόνῳ διαφορεῖ RE (ῥοδίνῳ corr. E[2]): ἐν χρόνῳ διαφορεῖ Di 7 ἀγριολαπάθου καὶ τῆς ὀξαλλίδος E 8 ὠφελίμως om. V δυσεντερίας καὶ κοιλιακὰς διαθέσεις QDi 9 ἄλσην C πρὸς om. RE 10 προπίει H: προπίῃ FDi βλαβήσεται R 11 δὲ] τε R ἑφθαὶ σὺν ὄξει καὶ ὠμαὶ C: ἑφθαί τε σὺν ὄξει καὶ ὠμαὶ E τε addidi 12 τεπροὺς V (λε superscr.) 13 νίτρῳ τὸν τόπον καὶ ὄξει C: νίτρῳ καὶ ὄξει τὸν τόπον N πραΰνει] παύει E 14 ἐπαντλούμενον E ἢ τῷ λουτρῷ μειγνύμενον addidi ex EDl coll. D. eup. I 123 λαπάθου ἀγρίου τὸ ἀφέψημα τῆς ῥίζης τῷ λουτρῷ μειγνυμένης, cf. Pl. XX 234: ἢ λούτρῳ ἀνατριβόμενον Di 15 δὲ om. V καὶ om. Di ὠταλγίαν EH: ὀδονταλγίαν F: ὠταλγίαν καὶ ὀδονταλγίαν Di 16 ἐν οἴνῳ ἑψηθεῖσαι RE διαφοροῦσι δὲ καὶ RE 17 σὺν οἴνῳ REDi καὶ καταπλασθεῖσαι R σπλῆνας RE τήκει addidi 18 τῇ ῥίζῃ R 19 καὶ περιάπτουσι R δὲ καὶ H

θεῖσαι λεῖαι. ἑψηθεῖσαι δὲ ἐν οἴνῳ καὶ πινόμεναι ἰκτερικοὺς ἀποθεραπεύουσι καὶ λίθους τοὺς ἐν κύστει θρύπτουσιν ἔμμηνά τε ἄγουσι σκορπιοπλήκτοις τε βοηθοῦσιν.

115 ἱ π π ο λ ά π α θ ο ν λάπαθόν ἐστι μέγα, ἐν ἕλεσι γεννώμενον. δύναμιν δὲ ἔχει τὴν αὐτὴν τοῖς προειρημένοις.

116 λ α μ ψ ά ν η λάχανόν ἐστιν ἄγριον, τροφιμώτερον καὶ

---

115 RV: ἱππολάπαθον· οἱ δὲ λάπαθον ἄγριον, Ῥωμαῖοι ῥούμηξ ῥούστικα· λάπαθόν ἐστι μέγα ἐν ἕλεσι γεννώμενον καὶ κατὰ πάντα ὅμοιον καὶ τῇ δυνάμει τῷ μικρῷ λαπάθῳ. ἑψηθὲν δὲ καὶ βρωθὲν κοιλίαν μαλάσσει, ὠμὸν δὲ καταπλασσόμενον μελικηρίδας σὺν χρόνῳ διαφορεῖ. αἱ δὲ ῥίζαι αὐτῶν ἑφθαὶ σὺν ὄξει καὶ ὠμαὶ καταπλασθεῖσαι θεραπεύουσι λέπρας, λειχῆνας, ὄνυχας λεπρούς· δεῖ δὲ προανατρίβειν τὸν τόπον ὄξει. πραΰνει δὲ καὶ κνησμοὺς τὸ ἀφέψημα αὐτῶν περιαντλούμενον. παρηγοροῦσι δὲ καὶ ὀδονταλγίας ἐν οἴνῳ ἑψηθεῖσαι καὶ διακλυζόμεναι. διαφοροῦσι δὲ καὶ χοιράδας καὶ παρωτίδας ἑφθαὶ σὺν οἴνῳ καταπλασθεῖσαι, σπλῆνας δὲ σὺν ὄξει. καὶ ἐνδέσματι δέ τινες χρῶνται τῇ ῥίζῃ πρὸς χοιράδας καὶ περιάπτουσι τῷ τραχήλῳ. ἱστᾶσι δὲ καὶ ῥοῦν γυναικεῖον λεῖαι προστεθεῖσαι, ἀφεψηθεῖσαι δὲ ἐν οἴνῳ καὶ πινόμεναι ἰκτέρους ἀποκαθαίρουσιν καὶ λίθους τοὺς ἐν κύστει θρύπτουσιν ἔμμηνά τε ἄγουσι καὶ σκορπιοπλήκτοις βοηθοῦσιν.

116 RV: λαμψάνη· Ῥωμαῖοι ναπίκιουμ, Αἰγύπτιοι εὐθμοί.

---

4 SIM. Pl. XX 231 sq. (e S. N.).
4 EXC. Orib. XI s. v. λάπαθον (ἱππολάπαθον — προειρημένοις), cf. Gal. XII 56 s. v. λάπαθον; Paul. Aeg. VII 3 s. v. ἱππολάπαθον
6 SIM. Pl. XX 96 (e S. N.).
6 EXC. cf. Gal. XII 56.

---

1 λεῖαι προστεθεῖσαι Q ἀφεψηθεῖσαι RDi σὺν οἴνῳ Di ἰκτέρους RE 2 καὶ ἔμμηνα E 3 καὶ σκορπ. (om. τε) REDi σκορπιοδήκτοις R
4 num. cap. σμδ FDi: σμε H: ρκδ E τὸ δὲ ἱππολάπαθον Orib. λάπαθον] λάχανον QDi: λάπαθον (κανον superscr. O²) Orib.: *ippolapazu genus est lapati maioris* Dl μέγα om. H γινόμενον H 5 δύναμιν ἔχον Orib.E προγεγραμμένοις Orib.E
6 num. cap. σμε FDi: σμϛ H: ρκε E λαψάνη δὲ E post λαμψάνη syn. e R add. Di γνώριμον post ἐστὶν add. R: post ἄγριον E τρόφιμον E
7 C fol. 142ᵛ: N 40 (*rumex rustica* add. m. rec.) 8 ῥούμιξ R: correxi quae de virtute medica profert R, ex cap. 114 desumpta sunt ἐστὶν C καὶ om. N 11 δὲ] τε R ἑφθαὶ καὶ ὠμαὶ N 16 διαφοροῦσιν καὶ C 17 ἐνδέματι R δὲ (alt.) om. C 19 ἵστησιν R δὲ om. N προστεθεῖσαι δὲ C
23 C fol. 219ʳ: N 92 (*napicium* mg. add. m. rec.) ναπικούλουμ C: ναπικιουμ N: ναπιούμ Di εὔθμοι Di

εὐστομαχώτερον τοῦ λαπάθου, οὗ τὰ φύλλα καὶ ὁ καυλὸς ἐσθίεται ἑφθά.

117 βλίτον λαχανεύεται καὶ τοῦτο. ἔστι δὲ εὐκοίλιον, οὐδεμίαν ἔχον φαρμακώδη δύναμιν.

118 μολόχη· ἐδωδιμωτέρα ἡ κηπευτὴ μᾶλλον τῆς χερσαίας, κακοστόμαχος δὲ καὶ εὐκοίλιος, καὶ μᾶλλον οἱ καυλοί, ἐντέροις δὲ καὶ κύστει ὠφέλιμος.

δύναμιν δὲ ἔχει τὰ φύλλα ὠμὰ μασηθέντα καὶ ἐπιπλα-

---

117 RV: βλίτον· Αἰγύπτιοι ἐχλωτοριπλάμ, οἱ δὲ ῥιπλάν, Ῥωμαῖοι βλίτουμ, Δάκοι βλίς.

118 RV: μαλάχη κηπαία· Ῥωμαῖοι μάλβα ὀρτένσε, Πυθαγόρας ἀνάθεμα, Ζωροάστρης διάδεσμα, Αἰγύπτιοι χωκόρτην, προφῆται αἰγὸς σπλήν, οἱ δὲ οὐρὰ μυός.

μαλάχη ἀγρία χερσαία· οἱ δὲ στρεμφύλλιον, Ῥωμαῖοι μάλβα ῥούστικα, Ἄφροι βοιββά.

---

3 SIM. Theophr. h. pl. I 14, 2. Pl. XX 252, unde Garg. M. 9 (= A. Mai VII 411); cf. Pl. XIX 123; Isid. XVII 10, 15; Hes. s. v. *βλίτον*.

5 SIM. Diphil. (Ath. II 58e); Pl. XX 222sq. (e S. N.); Ruf. ed. Ruelle 485. 445; Garg. M. 5 (e Pl. Gal. Diosc.) ∾ Ps. Orib. I 25 (= A. Mai VII 410), unde Isid. XVII 10, 5; Ps. Ap. 41 (= Ps. Orib. I 26); Geop. XII 12 (e Gal. Pl.); Sim. S. s. v. (e Gal. Diosc. aliis).

5 EXC. Ps. Orib. I 27 (= A. Mai VII 449); cf. Gal. XII 66. VI 629.

6 TEST. Garg. M. 5: Sextius Niger et *Dioscorides* stomacho inutiles arbitrantur. *Dioscorides* et Galenus (VI 629) criminantur in malvis quod corpus minime alant sed citato lapsu per meatum ventris erumpant.

---

1 *καὶ τὰ* N post *καυλὸς* add. *ἢ ὁ καρπὸς* (var. lect.) E 2 *ἑφθὰ* (*λεπτὰ* C) *ἐσθίεται* RE sequitur in Di cap. *περὶ βουνείου* (cf. D. IV 123); marg. add. *περισσόν*. p

3 num. cap. $\overline{σμϛ}$ FDi: $\overline{σμζ}$ H: $\overline{ρκϛ}$ E *βλῆτον* QEDi: *βλίτον* R Theophr. Gal. post *βλίτον* syn. e R add. HDi *δὲ ἐστιν* C 4 *μηδεμίαν* R

5 num. cap. $\overline{σμζ}$ FDi: $\overline{σμη}$ H: $\overline{ρκζ}$ E *μολόχη* F: *μαλάχη* reliqui: *μαλάχη κηπευτή* Di initio syn. e R add. HDi *μᾶλλον ἢ κηπευτὴ* REDi 8 *φύλλα αὐτῶν* R *μασηθέντα καὶ* om. R: *καταπλασθέντα καὶ μασηθέντα* E (corr. E[2] superscr. *β* et *α*) *ἐπιπλασθέντα* VQ: *καταπλασθέντα* reliqui, cf. D. eup. I 54 (117)

9 C fol. 77[r]: N fol. 32 *ἐχλωτορειπλαμ* C: *ἐχλωτωριπλαμ* N: *ἐχλωτοριπλάμ* Di: *ἐχλατορίπλαμ* H *οἱ δὲ ῥιπλάν* om. N: *ῥιμπλάν* H 10 *βλητούμ* H *Δάκοι βλίς* om. HDi, cf. Tomaschek die alten Thraker II 24

11 C fol. 228[r]: N 94 *ὀρτῆνσε* NDi 12 *ἄνθαιμα* CDi: *ἄνθεμα* N: *anyloa* Ps. Ap. (L): correxi *Ζωροάστης* R: *ζωρόαστρις* Di: *ζωρόαστις* H *zoroastris diadema* Ps. Ap. (L): fort. *διάδημα* *χοκορτήν* H: *egypti locortes* Ps. Ap. 13 *prophetae uramoys* Ps. Ap.

14 C fol. 229[r]: N 94 *οἱ δὲ χερσέαν* add. N *στρεμφύλλιον*] suspectum

σθέντα μετ' ὀλίγων ἁλῶν αἰγιλώπια ἀνασκευάζειν· πρὸς μέντοι τὴν ἀπούλωσιν δίχα τῶν ἁλῶν χρηστέον αὐτῇ. ποιεῖ δὲ καὶ πρὸς σφηκῶν καὶ μελισσῶν πληγὰς καταπλασσομένη· κἂν περιχρίσηται δέ τις αὐτοῖς ὠμοῖς λείοις σὺν ἐλαίῳ, ἄπληκτος διαμένει·

2 μετὰ δὲ οὔρου καταπλασθέντα ἀχῶρας καὶ πίτυρα ἰᾶται. ἑφθὰ δὲ λεῖα τὰ φύλλα σὺν ἐλαίῳ ἐπιτιθέμενα πυρίκαυτα καὶ ἐρυσιπέλατα ὠφελεῖ. τὸ δὲ ἀφέψημα αὐτῆς μαλακτικὸν ἐγκάθισμα ὑστέρας, εἴς τε ἐνέματα πρὸς δηγμοὺς ἐντέρων καὶ μήτρας καὶ δακτυλίου ἁρμόδιον. ὁ δὲ ζωμὸς σὺν ταῖς ῥίζαις βοηθεῖ ἑψόμενος πᾶσι τοῖς θανασίμοις· ἐξερᾶν δὲ δεῖ συνεχῶς πίνοντας. ὠφελεῖ δὲ καὶ φαλαγγιοδήκτους καὶ γάλα κατασπᾷ. ὁ δὲ καρπὸς μιγέντος αὐτῷ λωτοῦ ἀγρίου σπέρματος πινόμενος μετ' οἴνου τὰ περὶ κύστιν ἀλγήματα παύει.

119 ἀνδράφαξυς λάχανον γνώριμον· διττόν, τὸ μὲν ἄγριον τὸ δὲ κηπευτόν, λαχανεύεται δὲ ἑφθόν. ἔστι δὲ κοιλίας μαλακτικόν, καταπλασσόμενον δὲ ὠμόν τε καὶ ἑφθὸν φύγεθλα διαφορεῖ. ὁ δὲ καρπὸς αὐτῆς πινόμενος μετὰ μελικράτου ἴκτερον θεραπεύει.

---

119 RV: ἀνδράφαξις· οἱ δὲ ἀνδραφάξ, οἱ δὲ χρυσολάχανον· Ῥωμαῖοι ἀτρίπλικεμ, Αἰγύπτιοι ὠχεί.

---

1 SIM. Sext. N. (Pl. XX 226) — Cels. II 29 — Pl. XX 228 D. eup. II 107 (305) — eup. I 54 (117) — Pl. 223 eup. 122 (321) — Pl. 224 eup. I 105 (146) Apollon. (Gal. XII 478) — Pl. 228 eup. I 178 (187) — Pl. 228 eup. I 169 (181) — Pl. 228 eup. II 71 (285) — Pl. 228 eup. II 42 (256) eup. I 215 (206) Ruf. (Orib. II 210) — Nic. Al. 487. eup. II 156. 163. Pl. 223 — eup. II 121 (320) — eup. I 138 (163).

14 SIM. Pl. XX 219sq., unde Garg. M. c. 7 (aliis e Gal. additis) cf. schol. Arist. Eq. 630.

14 EXC. Gal. XI 843 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

---

1 *αἰγίλωπα* RE   *σὺν μέλιτι* add. ante *ἀνασκευάζειν* H: post *ἀνασκ.* REDi: om. reliqui et D. eup. l. s.   2 *τὴν ἀπούλωσιν* E: *τῇ ἀπουλώσει* reliqui   *αὐτοῖς* H   *δὲ* om. REDi   3 *μελισσῶν καὶ σφηκῶν* REDi   *καταπλασσόμενα* R   4 *αὐτὴν λείαν* R: *αὐτὴν λεῖα* E   *λείοις* om. V   5 *μετ' ἐλαίου δὲ* E   *καταπλασθέντα* VQC: *καταπλασθεῖσα* reliqui   6 *τὰ φύλλα λεῖα* RE   8 *δηγμὸν* R   9 *ἑψηθεὶς βοηθεῖ πινόμενος* RE, fort. recte   10 *ξερᾶν* HDiE (at *ξερ* in ras.)   *πίνοντα* V   12 *καὶ πινόμενος* RE   13 *πραΰνει* HDi

14 num. cap. *σμη* FDi: *ρκη* E   tit. *περὶ ἀνδραφάξεως* F: *περὶ ἀνδραφάξυος* Di   *ἀτράφαξις* H: *ἀντράφαξυς* Di   post *ἀνδρ.* syn. e R add. Di, post *κηπευτόν* H   15 *κηπευόμενον* R   *λαχανεύεται· ἔστι δὲ ἑφθὸν κ.* R: *elixi si comedantur, ventrem molliunt* Dl   *δὲ* (alt.)] *καὶ* F

19 C fol. 51r: N 20   *vulg. ἀτράφαξις* mg. add. C (m. rec.): *atriplex* mg. add. N (m. rec.)   *οἱ δὲ 'ἀνδραφαξ'* (sic C): om. HDi   20 *ἀτριπληκεμ* R   *ὠχί* H

120 κράμβη ἥμερος εὐκοίλιος ἀκρόζεστος ἐσθιομένη, ἡ δὲ καθεψηθεῖσα κοιλίαν ἵστησι καὶ μᾶλλον ἡ δίεφθος καὶ ἐν κονίᾳ ἑψηθεῖσα· κακοστόμαχος δὲ καὶ μᾶλλον δριμυτέρα ἡ θερινή, ἡ δὲ ἐν Αἰγύπτῳ διὰ πικρίαν ἄβρωτος. ἀμβλυωποῦσι δὲ βοηθεῖ καὶ τρομώδεσιν ἐσθιομένη, καὶ τὰς ἐκ κραιπάλης δὲ καὶ οἴνων κακίας σβέννυσιν ἐπιλαμβανομένη. τὸ δὲ ἀπ᾽ αὐτῆς κύημα εὐστομαχώτερον καὶ οὐρητικώτερον, ταριχευθὲν δὲ κακοστόμαχον καὶ κοιλίας ταρακτικόν. ὁ δὲ χυλὸς αὐτῆς ὠμῆς μετὰ 2
ἴριδος καὶ νίτρου καταπινόμενος κοιλίαν μαλάττει, μετ᾽ οἴνου δὲ ποθεὶς ἐχεοδήκτοις βοηθεῖ, σὺν τηλίνῳ δὲ ἀλεύρῳ καὶ ὄξει ποδαγρικοῖς καὶ ἀρθριτικοῖς, ἕλκεσί τε ῥυπαροῖς καὶ παλαιοῖς ἐπιπλαττόμενος ἁρμόζει, ἐγχεόμενός τε καθ᾽ ἑαυτὸν ταῖς ῥισὶ κεφαλὴν καθαίρει· μετὰ δὲ αἰρίνου ἀλεύρου προστεθεὶς καταμήνια ἄγει. τὰ δὲ φύλλα ⟨λεῖα⟩ καταπλασσόμενα καθ᾽ ἑαυτὰ ἢ μετὰ ἀλφίτων ποιεῖ πρὸς πᾶσαν φλεγμονὴν καὶ οἰδήματα, καὶ ἐρυσιπέλατα καὶ ἐπινυκτίδας καὶ λέπρας ἰᾶται. μεθ᾽ ἁλῶν

120 RV: κράμβη ἥμερος· οἱ δὲ κράμβη κηπαία, Ῥωμαῖοι βράσσικα.

---

1 SIM. [Hipp.] π. δ. II 54 (VI 560); Theophr. h. pl. IV 16, 6; Diph. (Ath. IX 369f.); Pl. XX 84sq. (e S. N.); Garg. M. 30 (e Pl. D. Gal.); Geop. XII 17; Sim. S. s. v. (e Gal. D.) — Pl. XX 84 D. eup. II 49 (263) Mnesith. (Orib. I 279) — Diph. (Ath. l. s.) Pl. 91 — Mnesith. (Orib. I 278) Pl. 85 eup. I 43 (113) — Pl. 85 (ex Erasistr.) eup. I 231 (213) — Pl. 84 eup. I 24 (105) — Pl. 90 — Pl. 88 eup. II 115 (317) — Pl. 87. 88 eup. I 235 (217) Mnesith. (Orib. I 279) — Pl. 88 — Pl. 85 eup. I 3 (96) — eup. I 145 (167) — Pl. 88 — eup. I 199 (196) — Pl. 88 — Mnesith. l. s. Pl. 87 eup. II 61 (273) — eup. I 91 (138) — eup. II 78 (291) — eup. II 67 (282) — eup. I 121 (154) — Pl. 90 eup. II 35 (248).

1 EXC. Gal. XII 42, cf. VI 630. Aet. I s. v. Paul. Aeg. VII 3 s. v. (e Gal.).

8 TEST. Garg. M. 30: *Dioscorides* sucum eius viridem cum iri et nitro ad molliendum alvum dari censet. podagricis et arthriticis cum aceto et feni graeci farina utiliter inponitur.

---

1 num. cap. σμθ FDi: σν H: ρκθ E post ἥμερος syn. e R add. Di εὐστόμαχος πινομένη καθεψηθεῖσα· κακοστόμαχος R ἡ δὲ καθεψηθεῖσα VQE: καθεψηθεῖσα δὲ Di 2 ἡ — μᾶλλον om. H: διεψηθεῖσα (om. εφθος καὶ ἐν κονίᾳ) V: δὶς ἑψηθεῖσα F, at cf. Dl *si maxime in cinere calido ⟨coctus⟩ fuerit* δισεφθῇ E: δίσεφθος Di: correxi 3 μᾶλλον om. REDi 5 δὲ (alt.) om. RHEDi 6 οἴνου Di ἐξ αὐτῆς RDi 7 κλῆμα R: κύκμα H: *cerna* Dl, cf. Spr. comm. in D. II 464, Nic. ed. Schneider 117sq. εὐστομαχώτερον μέν, δριμύτερον δὲ καὶ οὐρ. REDi: *eustomaca est et diuretica* Dl 8 ὠμῆς QE: ὠμὸς reliqui 11 ἕλκεσιν παλαιοῖς καὶ ῥυπαροῖς E 12 ἐγχριόμενος δὲ R 14 λεῖα addidi e R, post καταπλασσόμενα colloc. E, post ἀλφίτων Di 15 ἢ] καὶ RE ἀλφίτου RE 16 ἐρυσιπέλατα δὲ Di

16 C fol. 183r: N 83

δὲ ἄνθρακας περιρρήττει· ἴσχει δὲ καὶ ῥύσιν τῶν ἐν κεφαλῇ
3 τριχῶν. ὠμὰ δὲ ἐσθιόμενα μετ᾽ ὄξους σπληνικοὺς ὠφελεῖ, διαμασώμενα δὲ φωνῆς ἀποκοπὴν καθίστησι τοῦ χυλοῦ καταπινομένου, καὶ τὸ ἀφέψημα δὲ αὐτῆς κοιλίαν καὶ ἔμμηνα κινεῖ πινόμενον. τὸ δὲ ἄνθος ἀτόκιον μετὰ τὴν ἀποκύησιν προστεθὲν ἐν πεσσῷ. τὸ δὲ σπέρμα μάλιστα τῆς ἐν Αἰγύπτῳ γεννωμένης πινόμενον ἕλμινθας ἐκτινάσσει· μίσγεται δὲ καὶ εἰς ἀντιδότους θηριακάς, πρόσωπόν τε ἀποκαθαίρει καὶ φακούς. οἱ δὲ καυλοὶ χλωροὶ κατακαέντες σὺν ταῖς ῥίζαις καὶ ἀναλημφθέντες στέατι χοιρείῳ παλαιῷ πλευρᾶς χρόνια ἀλγήματα ἐπιτεθέντες παύουσιν.

121 κ ρ ά μ β η ἀ γ ρ ί α φύεται ὡς ἐπὶ τὸ πολὺ ἐν παραθαλασσίοις τόποις καὶ κρημνώδεσιν, ἐοικυῖα τῇ ἡμέρῳ, λευκοτέρα δέ ἐστι καὶ δασυτέρα καὶ πικρά. τὸ δὲ κύημα αὐτῆς ἐν κονίᾳ ἑψηθὲν οὐκ ἄστομον.

δύναμιν δὲ ἔχει τὰ φύλλα καταπλασσόμενα κολλητικὴν τραυμάτων καὶ διαφορητικὴν οἰδημάτων καὶ φλεγμονῶν.

122 ἡ δὲ θ α λ α σ σ ί α λεγομένη κ ρ ά μ β η ἐξήλλακται τῷ

121 RV: κράμβη ἀγρία· Ῥωμαῖοι βράσσικα ῥούστικα.

122 RV: κράμβη θαλασσία· οἱ δὲ θαλασσοκράμβην καλοῦσιν, Ῥωμαῖοι κολίκλουμ μαρίνουμ.

12 SIM. Pl. XX 92; Ps. Ap. 127 (= A. Mai. l. s. VII 445).

12 EXC. Orib. XI s. v. (*κράμβη — πικρά*); Gal. XII 43 (= Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

18 SIM. Pl. XX 96 (e S. N.).

18 EXC. Gal. XII 43.

1 *ἴσχει*] *ἐπέχει* R 2 post *τριχῶν* add. *ἑψόμενα δὲ καὶ μιγνύμενα μέλιτι πρὸς νομὰς γαγγραινῶν ποιοῦσιν* NHDi post *σπληνικοὺς* c. 9 litt. del. E[2] 3 *καὶ τοῦ ξύλου πινομένου* C: *μετὰ καὶ τοῦ χυλοῦ πινομένου* N 5 *ἀτόκιόν ἐστιν* E *τὴν χρῆσιν* R 6 *γενομένης* E 7 *ἕλμης* E *σμίγεται* H: *μίγνυται* E *ἀντιδότους καὶ εἰς κοιλιακάς* RE: *ἀντιδότους κοιλιακάς* HDi: *antidotis quiliacis miscetur* Dl 9 *καέντες* HDi *ἐναλιφθέντες* R 10 *χηνείῳ* Q: *ἀξουγγίῳ παλαιῷ* D. eup. II 35 (248): *absungia porcina* Dl, cf. D. IV 41 *ἐπιτιθέμενα παύει* N

12 num. cap. *σν* FDi: *σνα* H: *ρλ* E post *ἀγρία* e R add. *ἣν ῥωμαῖοι βρασοκαρουστίκα* Di *ἐπὶ* om. Orib.E *πλεῖστον* RDi 13 *τόποις* post *κρημνώδεσιν* transpos. REDi *ἐοικοῦσα* R 14 *κλῆμα* RDi (*κύημα* superscr. *υ*) *ἐγκονίζει ὅθεν* R 17 *διαφορητικὴν — καὶ* (alt.) om. V *τε καὶ* RDi

18 num. cap. *σνα* FDi: om. E *θαλασσοκράμβη* R *ἔξεστιν ἔχουσα* C: *ἔστιν ἔχουσα* N *τῷ παντὶ*] *πάντῃ* H

19 C fol. 184r: N 84 *cauliculus silvester* mg. add. N (m. rec.).

20 C fol. 185r: N 84 *cauliculus marinus apud montem pessidanum vocatur baretus* mg. add. N (m. rec.)

παντὶ τῆς ἡμέρου, ἔχουσα φύλλα μακρὰ τῇ στρογγύλῃ ἀριστολοχείᾳ ὅμοια. ἐκπέφυκε δὲ ἕκαστον αὐτῶν ἀπὸ κλωνίων ὑπερύθρων ἐξ ἑνὸς μόσχου ὥσπερ κισσός· ἔχει δὲ καὶ ὀπὸν λευκόν, οὐ πολύν. ἔστι δὲ τῇ γεύσει ὑφάλμυρος καὶ ποσῶς ἔμπικρος κατὰ τὴν γεῦσιν.

ὅλη δὲ ἡ πόα λυτικωτάτη κοιλίας ἑφθὴ βρωθεῖσα. συνέψουσι δὲ αὐτῇ ἔνιοι διὰ τὴν δριμύτητα τὰ λιπαρὰ τῶν κρεῶν.

123 *σεῦτλον διττόν ἐστιν, οὗ τὸ μὲν μέλαν σταλτικώτερον κοιλίας σὺν φακῇ ἑψηθέν, καὶ μᾶλλον ἡ ῥίζα, τὸ δὲ λευκὸν εὐκοίλιον. κακόχυμα δὲ ἀμφότερα διὰ τὸ ἐν αὐτοῖς νιτρῶδες, ὅθεν ὁ χυλὸς αὐτῶν καθαίρει κεφαλὴν ῥινὶ ἐγχεόμενος μετὰ μέλιτος καὶ ὠταλγίας ὠφελεῖ. τὸ δὲ τῶν ῥιζῶν καὶ τῶν φύλλων ἀφέψημα πιτύρων καὶ κονίδων σμηκτικὸν καὶ χιμέτλης πραυντικὸν καταντλούμενον. ὠμοῖς δὲ τοῖς φύλλοις καταπλάσσειν δεῖ ἀλφοὺς προεκνιτρωθέντας καὶ ἀλωπεκίας προκατα-*

---

123 RV: *σεῦτλον μέλαν ἄγριον· Ῥωμαῖοι βῆτα σιλβάτικα.*

---

8 SIM. [Hipp.] *π. δ.* II 54 (VI 560); Theophr. h. pl. VII 4, 4 (unde Ath. IX 371a); Diphil. (Ath. l. s.); Pl. XX 69 (e S. N.); Geop. XII 15; Sim. S. s. v. (e Gal. aliis additis) — [Hipp.] l. s. Diph. l. s. Pl. XX 71 — Pl. 69 eup. I 3 (96) — Pl. 69 — eup. I 105 (146) — Pl. 70 — eup. I 118 (151) — Pl. 71 eup. I 95 (141) — Pl. 71 eup. I 200 (197) — eup. I 106 (147) — Pl. 70 eup. I 178 (187) — Pl. 70 eup. I 169 (181).

8 EXC. Gal. XII 138, cf. VI 629; Garg. M. 10 (e Gal. D. alio), cf. A. Mai. VII 409 (= Ps. Orib. I 14).

---

1 *φύλλα πολλὰ* (*π.* post *λεπτὰ* colloc. N) *εὐμήκη λεπτά* R: *φύλλα εὐμήκη λεπτά* Di: *folia habens longa et rotunda, similia aristolocis* Dl *μακρὰ* om. E *τῇ — ὅμοια* om. R 2 *πέφυκεν* R *ἐπὶ* R 3 *κισσοί* E *καὶ ὀπὸν*] *καρπὸν* R *λευκὸν ὀπόν* H 4 *ποσῶς ἐν τῇ αὐτῇ ἐστιν συνστάσει* R *ἔμπικρος παρὰ τὴν σύστασιν* E: *ἔμπικρος λιπαρὰ τὴν σύστασιν* Di: *salsum est et amarum* Dl 6 post *πόα* add. *κακοστόμαχος, δριμεῖα* Di *κοιλίας λυτικωτάτη* REDi 7 *αὐτῇ* om. E: *αὐτὴν* F *διὰ τὴν δριμύτητα* om. REFDl, at cf. Pl. l. s. *coquitur propter acrimoniam cum pingui carne* *μετὰ* (e *δριμύτητα* natum) *τῶν λιπαρωτάτων κρεῶν* F: *τῶν λιπαρωτάτων κρεῶν* H

8 num. cap. *σνβ* QDi: *ρλα* E *σεῦτλον* F: *τεῦτλον* reliqui *τεῦτλος μέγα· ῥωμαῖοι βιταλσιλβατικά* Di *ἐστιν οὗ* om. R (*οὗ* add. C m. rec.) *ὧν* Di *στατικότερον* E 9 post *ἑψηθὲν* add. *ἐσθιόμενον* C 10 *ἀμφότερα δὲ κακόχυμα* REDi 11 *κεφαλῆς* (*s* add. m. rec.) *ῥοῦν* C *ῥινεγχυτούμενος* RE (at *εγ* E[2] in ras.) 12 *ὠταλγίαν* E *τῶν* (alt.) om. E 13 *ἕψημα* E *σμηκτικὸν*] *ἐφκτικὸν* F, cf. D. eup. I 105 (146) *χεμέθλων* N 15 *δεῖ* om. RE *καὶ — προκατακνισθεῖσας* om. E *κατακνισθεῖσας* RDi

18 C fol. 301v: N 159

κνισθείσας καὶ τὰ νεμόμενα ἕλκη. ἑφθὴ δὲ ἐξανθήματα καὶ πυρίκαυτα καὶ ἐρυσιπέλατα ἰᾶται.

124 ἀνδράχνη δύναμιν ἔχει στυπτικήν, ⟨ψυκτικήν⟩. καταπλασσομένη δὲ μετ᾽ ἀλφίτου βοηθεῖ κεφαλῆς ἀλγήμασι καὶ ὀφθαλμῶν φλεγμοναῖς καὶ ταῖς ἄλλαις καὶ στομάχου πυρώσει καὶ ἐρυσιπέλατι καὶ κύστεως ἀλγήματι. βρωθεῖσα δὲ αἱμωδίαν καὶ στομάχου καὶ ἐντέρων πύρωσιν καὶ ῥευματισμὸν πραΰνει, νεφρούς τε δακνομένους καὶ κύστιν εὖ διατί-
2 θησι καὶ τὰς πρὸς συνουσίαν ὁρμὰς ἐκλύει. παραπλησίως δὲ καὶ ὁ χυλὸς αὐτῆς ἐνεργεῖ πινόμενος καὶ ἐν πυρετοῖς ποιῶν, καὶ πρὸς ἕλμεις στρογγύλας καὶ αἵματος πτύσιν καὶ δυσεν-

---

124 RV: ἀνδράχνη ἀγρία· οἱ δὲ ἀείζων ἄγριον, οἱ δὲ τηλέφιον, Ῥωμαῖοι ἐλέκεβραμ, οἱ δὲ πορτούλακαμ, Ἄφροι μοιμμοίμ, Δάκοι λάξ, Αἰγύπτιοι μοχμοντίμ. ἔχει δὲ αὕτη πλατύτερα ⟨τὰ⟩ φυλλάρια πρὸς τὰ τῆς ἀνδράχνης καὶ δασέα· φύεται ἐν πετρώδεσι τόποις. δύναμιν δὲ ἔχει θερμαντικήν, δριμεῖαν, ἑλκωτικήν, χοιράδων διαφορητικὴν σὺν ὀξυγγίῳ καταπλαττομένη.

---

3 SIM. Pl. XXV 162 sq., cf. XIII 120; Ps. Ap. 103 (cf. Ps. Orib. V 33) — Pl. XXV 162 Cels. II 33 — Pl. 168 D. eup. I 1 (94) — Pl. 163 eup. I 29 (107) 32 (109) — eup. II 1 (226) — eup. I 168 (180) — eup. II 105 (305) — eup. I 75 (131) — eup. II 107 (305) — eup. II 97 (301) II 67 (282) II 29 (239) II 49 (263) II 118 (318) II 74 (286) I 105 (146).

3 EXC. Gal. XI 830; Garg. M. 39 (117 R = A. Mai VII 413).

---

2 ἐρυσιπέλατα καὶ πυρίκαυτα H

3 num. cap. σνγ QDi: ρλβ E ἀνδράχνη ἀγρία Di initio syn. e R add. HDi post syn. e R interpol. Di (aliis additis) ἔχει αὕτη πλατύτερα φυλλάρια πρὸς τὰ τῆς ἀνδράχνης καὶ δασέα. φύεται ἐν πετρώδεσι τόποις, ἔστιν ὅτε καὶ ἐν κήποις. φύλλα ἔχει ὅμοια ἐλαίᾳ, μικρότερα δὲ πολλῷ, πλείονα δὲ καὶ ἁπαλά· καυλία ἐρυθρὰ ἀπὸ μιᾶς ῥίζης πολλά, ἐπὶ γῆν κεκλιμένα, μασώμενα δὲ εὔχυλα καὶ γλίσχρα καὶ ὑφαλμυρά. δύναμιν δὲ ἔχει θερμαντικήν, δριμεῖαν, ἑλκωτικήν, χοιράδων διαφορητικὴν σὺν ἀξουγγίῳ καταπλαττομένη. τοῦ ἀναζαρβέως· ἀνδράχνη δύναμιν ἔχει κτλ. ψυκτικήν addidi Spr. duce, cf. Pl. l. s. Gal. l. s. 4 δὲ om. F: μετὰ δὲ ἀλφίτου καταπλ. H ἀλφίτων Di βοηθεῖ post ἀλγήματι (v. 6) colloc. Di 5 καὶ ταῖς ἄλλαις om. E 6 πυρώσεσι QDi ἐρυσιπέλασι QDi ἀλγήματι FE: ἀλγήμασι reliqui 9 ἐκβάλλει ἢ ἐκλύει E (corr. E^{2}) 11 στρογγύλας ἕλμις E ἕλμινθας HDi αἵματός τε (om. καὶ) Di πτύσεις HE καὶ δυσεντερίαν om. F, at cf. Dl δυσεντερίας EDi

12 C fol. 38^{r}: om. N, cf. D. II 186. IV 90 eff. h. pict. (37^{v}) add. m. rec. ἰδιῶται γλυστρίδα ἀείζωον HDi τελέφιον CDi: τέλφιον H 13 ἐλεκεβράμ libri προτουλακάμ HDi μοίμοιμ Di: μοίββαμ H 14 *Daci lax dicunt* Ps. Apul., cf. Tomaschek l. s. 24 μουρχμουτίμ H verba ἔχει — καταπλαττομένη e D. IV 90 huc translata sunt

τερίαν καὶ πρὸς αἱμορροίδα καὶ πρὸς σηπὸς δήγματα. καὶ εἰς τὰ ὀφθαλμικὰ δὲ χρησίμως μείγνυται, ἔγκλυσμά τέ ἐστιν ἐντέρων ῥευματιζομένων καὶ ὀδαξωμένης μήτρας, καὶ πρὸς τὰς ἐξ ἐγκαύσεως κεφαλαλγίας σὺν ῥοδίνῳ ἐλαίῳ ἔμβρεγμα, πρός τε τὰ ἐν κεφαλῇ ἐξανθήματα σὺν οἴνῳ σμῆγμα, πρὸς τραύματα δὲ σφακελίζοντα σὺν ἀλφίτοις καταπλασσόμενος.

125 ἀσπάραγος πετραῖος ἢ μυάκανθος, οἱ δὲ ὅρμινον καλοῦσιν, οὗ τὸ καυλίον ἑψηθὲν καὶ βρωθὲν κοιλίαν μαλάσσει καὶ οὖρα κινεῖ. τῶν δὲ ῥιζῶν τὸ ἀφέψημα πινόμενον βοηθεῖ δυσουροῦσιν, ἰκτερικοῖς, ἰσχιαδικοῖς, φαλαγγιοδήκτοις δὲ μετ' οἴνου ἀφηψημένον, καὶ ὀδονταλγοῦσι δὲ κρατουμένου τοῦ ἀφεψήματος ἐπὶ τῷ πονοῦντι ὀδόντι. ποιεῖ δὲ πρὸς τὰ αὐτὰ καὶ τὸ σπέρμα πινόμενον. φασὶ δὲ καὶ τοὺς κύνας πιόντας τὸ

---

125 RV: μύαγρον ἢ ἀσπάραγον ἄγριον, οἱ δὲ πετραῖον, οἱ δὲ μελάμπυρον, οἱ δὲ μυόθηρον, οἱ δὲ μυάγραν, Ῥωμαῖοι σπάραγουμ.

---

7 SIM. [Hipp.] π. δ. II 54 (VI 558); Pl. XX 108 sq. XIX 151; Garg. M. 31 (e Pl. ∾ A. Mai. VII 429); Ath. II 62e; Ps. Ap. 84 (= A. Mai. VII 417); Geop. XII 18; Sim. S. s. v. — Pl. XX 108 — D. eup. II 112 (311) 109 (306) Pl. 109. 111 — Pl. 110 eup. II 56 (267) — eup. I 237 (219) — Pl. 110 — Pl. 111 eup. I 69 (128) — Pl. 111 — Pl. XIX 151 Geop. XII 18.

7 EXC. Gal. XI 841 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

---

1 *αἱμόρρουν* E: *αἱμορροίδα* reliqui, cf. D. eup. II 118 (318) post *αἱμορροίδα* add. *καὶ αἱμορραγίας πολύεφθος γενομένη* Di 2 *τὰ* om. E 3 *καὶ* (pr.) E: *ἢ* reliqui *ὀδαξουμένης* (*ης* in ras.) E: *ὀδαξομένης* Di 4 *ἢ ἐλαίῳ* Di 5 *πρὸς δὲ τραύματα* E 6 *ἀλφίτῳ* EDi *καταπλασσόμενον* E: *καταπλασσομένη* Di in fine add. H quae Di initio interpolavit *περὶ ἀνδράχνης ἀγρίας· ἀνδράχνη ἀγρία λεγομένη καὶ ἐν ἄλλοις ὡς ἄνωθεν εἴρηται· ἔχει φύλλα κτλ.*

7 num. cap. *σνδ* QDi: *ρλγ* E *μυάκινθος* H: *μυάκανθα* Di post *μυάκανθος* add. *Ῥωμαῖοι σπαραγγούμ* H *ὅρμινον* scripsi: *μύιον* F: *μύινον* E: *μύρον* H: *μύον* Di: *mion* Dl, cf. Pl. XIX 151 Poll. VI 54 init. sic habet R *ὁ μὲν πετραῖος ἀσπάραγος ἤ μέν τι* (sic) *ἑφθός· ἔστι δὲ μύαγρον γιγνωσκόμενον τῶν καυλῶν ἑψηθέντων ἐπ' ὀλίγον καὶ βρωθέντων* 8 *καλοῦσιν* om. E ante *οὗ* add. *γνώριμος* Di: *γινοσκώμενον* E *ἐπ' ὀλίγον ἑψηθὲν* E 10 *ἰσχιαδικοῖς, ἰκτερικοῖς* RE post *ἰκτερικοῖς* add. *νεφριτικοῖς* Di 11 *ἀφηψημένον — κρατουμένου* om. R *ἀφεψόμενον* Di: *ἀφεψημένον* reliqui: correxi *δὲ* om. E 12 *δὲ* om. E 13 *πινόμενον* om. R *τοὺς κύνας* om. R *πίνοντας* RQ: *πιόντας* reliqui *πιόντας* post *αὐτοῦ* colloc. R

14 C fol. 227r: N 91 *sparagus agrestis* mg. add. N (m. rec.) *ἢ ἀσπάραγον ἄγριον* om. C

ἀφέψημα αὐτοῦ θνήσκειν. ἔνιοι δὲ ἱστορήκασιν ὅτι, ἐάν τις κριοῦ κέρατα συγκόψας κατορύξῃ, φύεται ἀσπάραγος.

126 ἀρνόγλωσσον, οἱ δὲ ἑπτάπλευρον, οἱ δὲ πολύπλευρον· διττόν ἐστι, τὸ μὲν μικρὸν τὸ δὲ μεῖζον. ἔχει δὲ τὸ μὲν μικρὸν φύλλα στενότερα καὶ μικρότερα καὶ λειότερα, καυλὸν γωνιοειδῆ, [καὶ] κεκλιμένον ὡς ἐπὶ τὴν γῆν, ἄνθη ὠχρά, τὸ δὲ σπέρμα ἐπ' ἄκρῳ τῷ καυλῷ. τὸ δὲ μεῖζον εὐερνέστερον, πλατύφυλλον, λαχανῶδες· καυλὸς δὲ καὶ ἐπὶ τούτῳ γωνιοειδής,

---

126 RV: ἀρνόγλωσσον· οἱ δὲ ἄρνειον, οἱ δὲ προβάτειον, οἱ δὲ κυνόγλωσσον, οἱ δὲ ἑπτάπλευρον, οἱ δὲ πολύνευρον, προφῆται οὐρὰ ἰχνεύμονας, Αἰγύπτιοι ἀσοήθ, Ῥωμαῖοι πλαντάγω μίνορ, Γάλλοι ταρβηλοθάδιον, Σπάνοι θισάρικαμ, Ἄφροι ἀστιρκόκ.

---

3 SIM. Pl. XXV 80 (e S. N.).

3 EXC. Orib. XI s. v. (*ἀρνόγλωσσον — δακτύλου*); Ps. D. de h. f. 50 (cf. Isid. XVII 9, 50). Gal. XI 838 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.); Ps. Ap. 2 (unde Ps. Orib. III 53); Hes. s. v.

---

1 *ἀποθνήσκειν* E *ἱστόρησαν* REDi *ὅτι* om. Q 2 *συγκόψας* om. R in fine add. *ἐμοὶ δὲ ἀπίθανον. ὁ μέντοι ἀσπάραγος οὗτος θάμνος ἐστὶ πολύκλαδος, φύλλα ἔχων πολλά, μακρά, ὅμοια μαράθρῳ· ῥίζα στρογγύλη, μεγάλη, ἔχουσα κόνδυλον, οὕτινος τὸ καυλίον λειούμενον μετ' οἴνου λευκοῦ παύει φρενίτιδας. ἑφθὸς δὲ ἢ ὀπτὸς λαμβανόμενος παύει στραγγουρίας καὶ δυσουρίας καὶ δυσεντερίας. ἡ δὲ ῥίζα αὐτοῦ ἑψηθεῖσα ἐν ὄξει ἢ οἴνῳ παύει στρέμματα, ἑφθὴ δὲ μετὰ σύκων καὶ ἐρεβίνθων λαμβανομένη ἰᾶται ἴκτερον καὶ παύει ἰσχιάδα καὶ στραγγουρίαν. περιαπτομένη δὲ καὶ τὸ ἀπόζεμα αὐτῆς πινόμενον ποιεῖ ἀτόκιον καὶ ἄγονον* HDi (unde?)

3 num. cap. *σνε* QDi: *ρλδ* E initio syn. e R add. Di *ἑπτάνευρον* Orib.: *heptapleuron* Pl. *πολύνευρον* Orib.E, fort. recte 4 *ἐστι* om. C *ἐστι μικρὸν καὶ μέγα* Orib. *ἔχει — μικρὸν* om. C 5 *μακρότερα* (at *α* corr. O[2]) *καὶ στενότερα* Orib. *καὶ μικρότερα καὶ λειότερα* om. C: *καὶ λειότερα* om. VE *καὶ μικρότερα καὶ λειότερα καὶ λεπτότερα* Q: *καὶ μικρότερα καὶ μαλακώτερα καὶ λειότερα καὶ λεπτότερα* Di: *minuta folia et angusta ct levia* Dl: correxi *καυλία δὲ γωνιοειδῆ* CDi 6 *γονατώδη* E *καὶ* om. COrib.EDi, delevi *κεκλιμένα* CDi *ὡς* om. E *ἄνθη λευκὰ ὠχρά* E 7 *δὲ* (pr.) om. Orib. *ἄκρων τῶν καυλῶν* COrib.Di *τὸ δὲ — δακτύλου* om. C 8 *καὶ* om. QDi *τούτου* EHDi: *τοῦτο* Orib.

9 C fol. 30[r]: om. N effig. h. p. (fol. 29[v]) mg. add. *κοινῶς πεντάνευρον* C (m. rec.) *ἄρνιον* CDi: *arnion* Ps. Ap.: correxi *προβάτιον* C: *tusci dicunt probatiōn* Ps. Ap.: correxi 10 *cynoglossa* Ps. Ap., cf. D. IV 100 *corinthi eptapleuron* Ps. Ap. *siculi dicunt polireunon tursion* Ps. Ap. 11 *ο* (*ε* Di) *ὑρεχνευμονος* CDi: *uraecneumonos* Ps. Ap.: correxi *ἀσοηθ* C: *ἀσόνθ* Di: *asaer* Ps. Ap. 12 *γάλλοι*] *οἱ δὲ* Di *ταρβηλοδάθιον* Di: *tarpidopium* Ps. Ap. *ἱσπανοί* Di *θησαρικάμ* Di: *thicaricam* Ps. Ap. 13 *ἀτιειρκοκ* C: *ἀτιειρκόν* Di: *atiercon* Ps. Ap.: correxi coll. D. IV 100

ὑπέρυθρος, ὕψος πήχεως, ἐκ μέσου μέχρι κορυφῆς στέρματι περιεχόμενος λεπτῷ. ῥίζαι δὲ ὕπεισιν ἁπαλαί, δασεῖαι, λευκαί, πάχος δακτύλου. γεννᾶται δὲ πρὸς τοῖς τέλμασι καὶ φραγμοῖς καὶ ⟨ἐν⟩ ἐνίκμοις τόποις· εὐχρηστότερον δὲ τὸ μέγα.
δύναμιν δὲ ἔχει τὰ φύλλα στυπτικήν, ξηραντικήν, ὅθεν 2
καταπλασσόμενα πρὸς πάντα τὰ κακοήθη καὶ ἐλεφαντιῶντας καὶ ῥευματικὰ καὶ ἀκάθαρτα ἕλκη ἁρμόζει. ἐπέχει δὲ καὶ αἱμορραγίας, νομάς, ἄνθρακας, ἕρπητας, ἐπινυκτίδας· ἀπουλοῖ καὶ χρόνια ἕλκη καὶ ἀνώμαλα καὶ τὰ χειρώνια ἰᾶται καὶ κόλπους παρακολλᾷ, καὶ κυνόδηκτα καὶ πυρίκαυτα, φλεγμονάς, παρωτίδας, φύγεθλα, χοιράδας καὶ αἰγίλωπας σὺν ἁλσὶν ἐπιπλασσόμενα ὠφελεῖ. ἑφθὸν δὲ τὸ λάχανον μεθ' ἁλῶν καὶ ὄξους λαμβανόμενον δυσεντερικοῖς καὶ κοιλιακοῖς ἁρμόζει· δίδοται δὲ καὶ μετὰ φακῆς ἀντὶ σεύτλου συνεψόμενον, καὶ πρὸς λευκοφλεγματίας μετὰ τὸ ξηροφαγῆσαι μέση δίδοται ἡ πόα ἑφθή· ποιεῖ δὲ καὶ ἐπιληπτικοῖς καὶ ἀσθματικοῖς διδομένη. ὁ δὲ χυλὸς τῶν φύλλων τὰς ἐν στόματι νομὰς ἀνακα- 3

5 SIM. Pl. XXV 80 — D. eup. I 205 (200) — Pl. XXV 80 — Pl. XXVI 141 — eup. I 208 (202) — eup. I 200 (197) — Pl. XXVI 118 eup. I 178 (195) — eup. I 171 (183) — Pl. XXV 125 eup. II 114 (314) — Pl. XXVI 129 eup. I 178 (187) — eup. I 145 (167) — Pl. XXV 164 eup. I 148 (169) — Pl. XXVI 92 — Pl. XXVI 24 eup. I 154 (172) — eup. I 54 (117) — Pl. XXVI 44 eup. II 47 (258) 49 (261) — Pl. XXVI 119. 120 eup. II 63 (276) — Pl. XXVI 113 eup. I 18 (103) — eup. I 39 (252) — Pl. XXV 174 eup. I 79 (133) — Pl. XXVI 121 eup. I 168 (180) — Pl. XXVI 126 — Pl. XXV 164 eup. I 58 (122) — eup. I 29 (107) — Pl. XXV 165 — Pl. XXVI 136 eup. II 29 (238) — eup. II 51 (264) — Pl. XXVI 110 eup. II 38 (251) — Pl. XXVI 153 eup. II 71 (285) eup. II 86 (295) — eup. I 69 (127) — Pl. XXVI 38. 78 — Pl. XXVI 115 eup. II 20. 21 (234) — eup. I 155 (174).

2 *αἱ ῥίζαι ἁπαλαὶ* E: *ῥίζαι ἁπαλαὶ ὕπεισιν* Orib. *ἔπεισιν* V *ἁπαλαί*] *πολλαὶ* Orib. *δασεῖαι* om. Ps. D. de h. f. 3 *φύεται* H: *εὑρίσκεται* F *δὲ* om. E 4 *ἐν* addidi *ἐνύδροις* E *μεῖζον* CDi 5 *ξηραντικήν, στυπτικήν* CEDiDlPs. D. de h. f. 6 *καὶ καταπλασσόμενα* HDi (dittogr.) *ἐλεφαντιῶσι καὶ ῥευματιζομένοις καὶ ἀκαθάρτοις ἕλκεσιν* H *ἐλεφαντιῶντα* CDi 7 *ῥευματικὰ* CEDi: *ῥευματακακὰ ἀκάθαρτα* V: *ῥεύματα* F: *reumatica* Dl *ἴσχει* CEDi *αἱμορραγίαν* CQDi 8 *νομὰς καὶ ἄνθρακας* VQE 9 *δὲ καὶ* C *ἕλκη χρόνια* CEDi *ἀνώμαλα*] *νομὰς* VQ *χειρώνια*] *χρόνια* E *ἰᾶται* om. C 10 *τὰ κυνόδηκτα* EDi *τὰ πυρίκαυτα* E 11 *χοιράδας δὲ* Di *καὶ* om. E *αἰγιλώπια* RDi *ἐπιπλασσόμενον* VQ 13 *κοιλιακοῖς καὶ δυσεντερικοῖς* C *καὶ* om. VQ 14 *δίδοται* — 16 *διδομένη* om. C *καὶ* (pr.) om. H *τεύτλου* E: *σεύτλων* Di 15 *λευκοφλεγματίας* VE: *λευκοφλεγματίαν* reliqui *μέση*] cf. D. eup. II 63 (276) 16 *ἄσθμασιν* E 17 *τὰς ἐν στόματι ἀνακαθαίρει* VE (*τὰ* corr. E[2]): *τὰ ἐν στόματι* C: *τὰ ἐν στ. ἕλκη* reliqui: correxi coll. D. eup. I 82 (135) *ἀποκαθαίρει* H

θαίρει συνεχῶς διακλυζόμενος, σὺν δὲ κιμωλίᾳ ἢ ψιμυθίῳ ἐρυσιπέλατα ἰᾶται, σύριγγάς τε ἐγκλυζόμενος ὠφελεῖ, καὶ πρὸς ὠταλγίας καὶ ὀφθαλμίας ἐνσταζόμενος ὁ χυλὸς καὶ κολλυρίοις μισγόμενος, καὶ πρὸς οὖλα αἱμασσόμενα καὶ πρὸς αἷμα ἀνάγοντας πινόμενος, καὶ πρὸς φθισικοὺς καὶ ἐπὶ δυσεντερικῶν ἐγκλυζόμενος· πίνεται δὲ καὶ πρὸς φθίσιν, καὶ πρὸς ὑστερικὰς
4 πνίγας προστίθεται ἐν ἐρίῳ καὶ ὑστέρᾳ ῥευματιζομένῃ. καὶ ὁ καρπὸς δὲ πινόμενος μετ' οἴνου τοὺς τῆς κοιλίας ῥευματισμοὺς καὶ πτύσεις αἵματος ἐπέχει. ἡ δὲ ῥίζα ἀφεψηθεῖσα καὶ διακλυζομένη ἢ αὐτὴ διαμασωμένη ὀδονταλγίας παύει. πρὸς δὲ τὰ ἐν κύστει ⟨ἕλκη⟩ καὶ νεφροῖς δίδοται καὶ τὰ φύλλα καὶ ἡ ῥίζα μετὰ γλυκέος. φασὶ δὲ ῥίζας ἁδρὰς τρεῖς ποθείσας μετ' οἴνου κυάθων τριῶν καὶ ὕδατος ἴσου τριταίῳ βοηθεῖν, τεταρταίῳ δὲ τέσσαρας ῥίζας. ἔνιοι δὲ καὶ ἐνδέσματι χρῶνται ταῖς ῥίζαις πρὸς χοιράδας διαφορούσαις.

127 σίον φύεται ἐν τοῖς ὕδασι. θαμνίον λιπαρόν, ὀρθόν,

127 RV: σίον τὸ ἐν ὕδασιν· οἱ δὲ ἀναγαλλὶς ἔνυδρος, οἱ δὲ σχοῖνος ἀρωματική, οἱ δὲ δωρώνιον, Ῥωμαῖοι λάουερεμ.

16 SIM. Speusipp. (Ath. II 51 c) Pl. XXII 84, cf. XXVI 50. 88; schol. Theocr. V 125; Hes. s. v.
16 EXC. Orib. XII s. v. (σίον — εὐζώμῳ); Gal. XII 123; Paul. Aeg. VII 3 s. v.

1 σὺν δὲ — 6 ἐγκλυζόμενος om. C 2 ἰᾶται τὰ ἐρυσ. Di: ἰᾶται ἐρ. Q τάς τε σύριγγας E ὠφελεῖ om. E 3 ὠταλγίαν EQ πρὸς ὀφθαλμίαν E 4 μιγνύμενος E ἄγοντας V 5 καὶ πρὸς φθισικοὺς om. EDi καὶ πρὸς δυσεντερικοὺς HDi: ἐπὶ δὲ δυσεντερικῶν E 6 καὶ ἐνκλυζόμενος E δὲ om. E φθίσεις CE πρὸς om. V 7 προστίθεται — ῥευματιζομένῃ om. C καὶ κολλυρίοις δὲ μίγνυται ὁ χυλός· ὁ δὲ καρπὸς C 9 ἡ δὲ — παύει om. C ἑψηθεῖσα Q 10 ἢ αὐτὴ] καὶ Di δὲ] τε C 11 τὰς E ἕλκη addidi e Di καὶ (del. E²) ἡ ῥίζα καὶ τὰ φύλλα CEFDi 12 τὰς ῥίζας CE ἁδρὰς scripsi: ὅλας E, post ποθείσας colloc. C: om. reliqui, cf. D. eup. II 20 (234) 13 τριῶν om. V: δύο C: δυεῖν E ἴσων E τριταίοις E 15 τῇ ῥίζῃ CEDi ὡς (superscr. E²) πρὸς χ. διαφορούσῃ E καὶ διαφοροῦσι CEDi in fine add. Di οἱ δὲ σύροι τὸν τούτου ζωμὸν καὶ τῆς καλαμίνθης σὺν μέλιτί φασι τοὺς πυρετοὺς θεραπεύειν, διδόμενον δευτέρᾳ, τετράδι καὶ παρασκευῇ, τοῦτο ὡς μυστήριόν τι δέχου. ἔστι γὰρ ἀληθέστατον καὶ διὰ πείρας.
16 num. cap. σϙ FDi: σνζ H: ρλε E σίον τὸ ἐν ὕδασιν RDi initio syn. e R add. Di, post ὀρθόν H φύεται] εὑρίσκεται Di ὀρθὸν λιπαρόν Orib.EDi λιπαρόν om. R ὄρθιον Q
17 C fol. 304ᵛ: N fol. 361 18 σχῖνος Di ἀρωματικός H δωρωνιον C: δωρωνον N: δάρην ἴον HDi: corruptum, fort. ἀρωμάτιον λαουβιρδε C: λαου· οἱ δὲ λαουβιρδε N: λαουβέρδε Di: λάουερ ἔρβα coni. Spr.: correxi coll. Pl. XXVI 50

φύλλα ἔχον ἱπποσελίνῳ ἐοικότα, μικρότερα δὲ καὶ ἀρωματίζοντα, ἅπερ ἐσθιόμενα ἑφθά τε καὶ ὠμὰ λίθους θρύπτει καὶ ἐκκρίνει, οὖρά τε κινεῖ καὶ ἔμμηνα ἄγει καὶ ἔμβρυα, δυσεντερικοῖς τε χρήσιμα βρωθέντα. Κρατεύας δὲ ἱστορεῖται περὶ αὐτοῦ οὕτως· πόα θαμνοειδής, ὀλίγη, ἔχουσα πολλὰ φύλλα περιφερῆ, μείζονα ἡδυόσμου, μέλανα, λεῖα, παρεγγίζοντα εὐζώμῳ.

128 *σισύμβριον· οἱ δὲ καρδαμίνην, οἱ δὲ καὶ τοῦτο σίον καλοῦσιν. ἔνυδρός ἐστι πόα, κατὰ τὰ αὐτὰ τῷ σίῳ γεννωμένη. καρδαμίνην δ' ἔνιοι λέγουσι διὰ τὸ ἐοικέναι καρδάμῳ κατὰ τὴν γεῦσιν. φύλλα δὲ ἔχει τὰ μὲν πρῶτα περιφερῆ, αὐξανόμενα δὲ σχίζεται ὡς τὰ τοῦ εὐζώμου. ἔστι δὲ θερμαντικά, διουρητικά· βιβρώσκεται δὲ καὶ ὠμά. ἀποκαθαίρει δὲ καὶ φακοὺς καὶ ἔφηλιν καταπλασθέντα δι' ὅλης τῆς νυκτός, ἕωθεν δὲ ἀποκλυσθέντα.*

129 *κρῆθμον θαμνῶδές ἐστι βοτάνιον, ἀμφιλαφές, περὶ*

---

128 RV: *σισύμβριον ἕτερον· οἱ δὲ καρδαμίνην, οἱ δὲ καὶ τοῦτο σίον καλοῦσιν.*

---

8 SIM. Pl. XX 247 (e S. N.).
8 EXC. Orib. XII s. v. (*σισύμβριον — εὐζώμου*); Gal. XII 124 (= Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).
16 SIM. Pl. XXVI 82 sq. (e S. N.); schol. Nic. Th. 909 (ex Antigono); Hes. s. v.
16 EXC. Orib. XI s. v. (*κρῆθμον — ἡδείας*); Gall XII 44 (= Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

---

1 post *φύλλα* add. *πλατέα* RE: *φύλλα ἔχον πλατέα* Di *ἔχον* om. NOrib.E: *γεννῶν* C post *ἀρωματίζοντα* e Gal. add. *θερμότητος δὲ εἰς τοσοῦτον μετείληφεν ὡς ἐσθ.* H 2 *ὠμά τε καὶ ἑφθὰ* E 3 *τὰ ἔμμηνα* R *ἔμμηνα καὶ ἔμβρυα ἄγει* E: *ἔμβρυα καὶ ἔμμηνα ἄγει* Di: *καὶ ἔμβρυα* om. R 4 *ἱστορεῖται* VF: *ἱστορεῖ* reliqui: post *αὐτοῦ* coll. Orib.E 5 *αὐτοὺς* F *οὕτως* om. R *ὀλίγη* Q: *ὀλίγην* V: *ὀλίγα φύλλα ἔχουσα* ROrib.EDi 6 *λεῖα* om. HDiDl: *λίαν λιπαρά* R: *λιπαρά* EOrib. *ἐγγίζοντα* ROrib.: *ἔγγιστα* E: *παρεγγύζοντα* reliqui: correxi cap. *περὶ σισυμβρίου* (III 41) add. Di

7 num. cap. $\overline{\sigma\nu\zeta}$ FDi: $\overline{\sigma\nu\eta}$ H: $\overline{\rho\lambda϶}$ E *σισύμβριον ἕτερον* Di *οἱ δὲ* (alt.)] *ἔνιοι δὲ* E 8 *ἔστιν ἡ πόα* ROrib. 9 *ἣν καρδαμίνην ἔνιοι λέγουσι* Orib. *ἔνιοι* om. H *καρδαμώμῳ* C *κατὰ* om. ROrib.EDi 10 *φύλλον* Orib.EDi *δὲ* om. CDi post *ἔχει* add. *κατὰ τὴν γεῦσιν* F *τὸ μὲν πρῶτον* ROrib.EDi *περιφυές* R: *περιφερές* Orib.EDi *αὐξόμενον* ROrib.Di: *αὐξα/////* (c. 4 litt. del. E[2]) *νόμενον* E 11 *τὰ*] *τὸ* ROrib.EDi *θερμαντικόν, διουρητικόν* EF: *θερμαντικόν, οὐρητικόν* RDi 12 *καὶ* (pr.) om. R *ὠμόν* REDi 13 *καταπλασθὲν* RE: *καταπλασθέντα* VQDi *ἀποκλυσθέν* REDi: *ἀποπλυθέντα* F: *ἀποκυλισθέντα* V

15 num. cap. $\overline{\sigma\nu\eta}$ FDi: $\overline{\sigma\nu\vartheta}$ H: $\overline{\rho\lambda\zeta}$ E *κρίθμον* (*κρηθμόν* ind.) Q: *κρίθμον, οἱ δὲ κρίταμον* Di: *crethmos* Pl. XXVI 158

16 C fol. 324r: N 160

πῆχυν τὸ ὕψος, φυόμενον ἐν πετρώδεσι καὶ παραθαλασσίοις τόποις, φύλλοις περίπλεον λιπαροῖς καὶ ὑπολεύκοις, τοῖς τῆς ἀνδράχνης παρεοικόσι, πλατυτέροις μέντοι καὶ ἐπιμηκεστέροις, ἁλμυρίζουσι δὲ πρὸς τὴν γεῦσιν· ἄνθη λευκά, τὸν δὲ καρπὸν ὥσπερ λιβανωτίδος, μαλακόν, εὐώδη, στρογγύλον, ὃς ξηρανθεὶς διίσταται καὶ ἔνδον ὡς πυρὸν ἔχει τὸ σπέρμα, ῥίζας δὲ δακτύλου τὸ πάχος τρεῖς ἢ τέσσαρας, εὐώδεις, ἡδείας.

δύναται δὲ ὁ καρπὸς καὶ τὰ φύλλα καὶ ἡ ῥίζα ἐναφεψηθέντα οἴνῳ καὶ πινόμενα βοηθεῖν δυσουροῦσι καὶ ἰκτερικοῖς· κινεῖ καὶ καταμήνια, καὶ λαχανεύεται ἑφθόν τε καὶ ὠμὸν ἐσθιόμενον. καὶ ταριχεύεται δὲ ἐν ἅλμῃ.

130 κορωνόπους πρόμηκές ἐστι βοτάνιον, κατὰ τοῦ ἐδάφους κατεστρωμένον, κατεσχισμένον τὰ φύλλα· λαχανεύεται δὲ καὶ τοῦτο ἑφθόν.

τούτου ποιεῖ ἡ ῥίζα πρὸς κοιλιακοὺς ἐσθιομένη.

130 RV: κορωνόπους· οἱ δὲ Ἄμμωνος ⟨κέρας⟩, οἱ δὲ ἀστ⟨έ⟩ριον, Ἄφροι ἀτιρσιττή, Ῥωμαῖοι, κα⟨λ⟩κιάτρικεμ, οἱ δὲ στιλλάγω, οἱ δὲ σαγγουινάριαμ.

8 SIM. [Hipp] περὶ δ. II 54 (VI 562); Pl. l. s. D. eup. II 112 (311) — [Hipp.] π. γ. φ. 32 (VII 353); Zop. (Orib. II 597); D. eup. II 77 (289); Pl. XXVI 158.
12 SIM. Theophr. h. pl. VII 8, 3 (= Pl. XXI 99); Pl. XXII 48 (e S. N.); Hes. s. v. — D. eup. II 49 (262) Pl. l. s.
12 EXC. Orib. XI s. v. (κορωνόπους — λαχανεύεται); Gal. XII 40 (= Paul. Aeg. VII 3 s. v.).

1 παραθαλαττίοις Orib.EDi 2 φύλλοις δὲ H, fort. recte περίπλεων Di παρεμφέρουσιν ἀνδράχνῃ Orib.E 3 παχυτέροις coni. Lac.: *latiora* Dl 4 καὶ ἁλμυρίζουσι (om. δὲ) Orib.E μήλινα λευκά Orib.: *florem habens album* Dl post καρπὸν add. λευκὸν Orib.: *semen habens libanotidis* Dl: fort. καρπὸν ἔχει 5 στρογγύλον om. Orib. 6 πυρρὸν Orib.Di: πυρὸν reliqui: *habet intus nucleum* (πυρῆνα) *candidum* Pl. δὲ ἔχει E 8 καὶ ἡ ῥίζα καὶ ὁ καρπὸς καὶ τὰ φύλλα H: ὁ καρπὸς καὶ ἡ ῥίζα καὶ τὰ φύλλα Di: *folia et semen eius et radices* Dl ἐνεψηθέντα E 9 δυσουριῶσιν καὶ ἰκτέροις E 10 κινεῖν καταμήνια E καὶ (alt.) om. EDi λαχανεύεται δὲ E ὠμὸν καὶ ἑφθὸν E 11 δὲ om. Di
12 num. cap. $\overline{σνθ}$ FDi: $\overline{σξ}$ H: $\overline{ρλη}$ E κορονόπους FE post κορωνόπους syn. e R add. D, post ἑφθόν H ἐστι om. RDi 13 ἐστρωμένον ROrib.EDi τὰ om. Orib. post φύλλα add. ῥίζαν λεπτὴν ἔχον στυπτικήν Di 15 ἡ ῥίζα αὐτοῦ ποιεῖ R: οὗ ἡ ῥίζα ποιεῖ E ἐσθιομένην πρὸς κοιλιακοὺς ποιοῦσαν Di ἑψομένη καὶ ἐσθιομένη E in fine add. e Ps. Ap. c. 45 (ut videtur) γίνεται δὲ (om. H) ἐν χέρσοις τόποις καὶ ἐν δώμασι (sic) καὶ ἐν ταῖς ὁδοῖς HDi
16 C fol. 179r: N 83 *ervilia* mg. add. N (m. rec.) κέρας addidi (propter fructum sic appellatur) 17 ἄστριον libri: correxi κακκιατρικεμ R: κακιατρικέμ HDi: correxi 18 στιλλαγω N: στιλααγω C: στιλάγω Di: στιλατώ H: suspectum σανγονιναριαμ C: σανγυναριαμ N: σαγγουιρναριάμ Di

131 *σόγχου* δύο ἐστὶν εἴδη· τὸ μὲν γάρ ἐστιν ἀγριώτερον καὶ ἀκανθωδέστερον τὸ δὲ τρυφερώτερον καὶ ἐδωδιμώτερον· καυλὸς δὲ γωνιοειδής, ὑπέρυθρος, κενός· φύλλα δὲ ἔχει ἐκ διαστημάτων ἐσχισμένα τὴν περιφέρειαν. δύναμις δὲ αὐτῶν ἐστι ψυκτική, μετρίως ὑποστύφουσα, ὅθεν στομάχῳ καυσουμένῳ καὶ φλεγμοναῖς καταπλασσόμενα ἁρμόζουσιν· ὁ δὲ χυλὸς καταρροφούμενος δηγμοὺς στομάχου παύει καὶ γάλα κατασπᾷ, προστεθεὶς δὲ ἐν ἐρίῳ δακτυλίου καὶ μήτρας φλεγμοναῖς βοηθεῖ. ἡ δὲ πόα καὶ ἡ ῥίζα καταπλασθεῖσα σκορπιοπλήκτοις ἀρήγει.

132 *σέρις* ἀγρία καὶ ἥμερος, ὧν ἡ μὲν ἀγρία πικρὶς ἡ

131 RV: σόγκος τραχύς· οἱ δὲ κικώριον ⟨ἄρρεν⟩, Ῥωμαῖοι κικίρβιτα ἄσπρα, Ἄφροι γαθονονίμ.
σόγκος τρυφερός· οἱ δὲ κικώριον θῆλυ, Ῥωμαῖοι κικίρβιτα⟨μ⟩ μόλλε⟨μ⟩, Ἄφροι γαθονονίμ.

1 SIM. Theophr. h. pl. VI 4, 3. 8. VII 8, 3. Pl. XXII 88. Hes. s. v. D. eup. II 1 (226) — eup. I 145 (167) — Pl. XXII 89 eup. II 6 (229) — Pl. XXII 89. XXVI 163 eup. I 138 (163) — Pl. XXII 89 eup. I 215 (206) — eup. II 71 (285) — Pl. XXII 90 eup. II 122 (321).
1 EXC. Orib. XII s. v. (*σόγχου — περιφέρειαν*); Gal. XII 128.
11 SIM. Pl. XX 76 (e S. N.), unde Garg. M. 12 (initio aliis e D. additis). Geop. XII 28; Sim. S. s. v. *ἴντυβον*; Hes. s. v. *κιχόριον*.
11 EXC. Orib. XII s. v. (*σέρις — ἔμπικρος*); Gal. XII 119 (= Paul. Aeg. VII 3 s. v.).

1 num. cap. *σξ* FDi: *σξα* H: *ρλθ* E *σόγκον* E: *σόκχον* H: *σόκχος τραχύς* (e R) Di initio syn. sonchi asperi add. Di, post *ἐδωδιμώτερον* H *τούτου δύο εἴδη* RDi *ἐστὶν* (pr.) om. Orib.H, post *εἴδη* colloc. E *γάρ* om. H: *γάρ ἐστιν* om. Orib.: *γὰρ αὐτοῦ ἐστιν* E *ἀγριωδέστερον* RDiE (corr. E[2]) 2 *ἐδώδιμον* ROrib.Di 3 *δὲ* (pr.) om. COrib. *ὑπόκενος καὶ ὑπέρυθρος* C: *ὑπόκενος, ἐνίοτε καὶ ὑπέρυθρος* N: *ἐνίοτε καὶ ὑπέρυθρος* (om. *ὑπόκενος*) Di *δὲ* (alt.) om. NHDi: *δὲ ἔχει* om. Orib. *ἔχων* H 5 *δύναμιν δὲ ἔχει κτλ.* E *ἐστι* om. Q 6 *φλεγμαίνοντι* N *καταπλασσόμενοι* RHDi 7 *δηγμὸν* REDi: *δῆγμα* H 8 *παύει* Q: *πραΰνει* RE: *καταπραΰνει* Di *ἐνεργῶς* RE: *ἐν* om. Q, cf. D. eup. I 215 (206) *καὶ δακτυλίου* E: *δακτυλίων* H: *δακτυλ'* F 9 *μητρῶν* E 10 *σκορπιοδήκτοις* C post *ἀρήγει* add. *ὁ δὲ ἕτερος σόκχος ὁ καὶ τρυφερὸς δενδρώδης ἐστὶ καὶ πλατύφυλλος, τὰ δὲ φύλλα διεῖλε τὸν καυλόν, κλάδους ἔχοντα· καὶ οὗτος δὲ* (*εἰς* pro *δὲ* Di) *τὰ αὐτὰ ποιεῖ* HDi
11 num. cap. *σξα* FDi: *σξβ* H: *ρμ* E *σέρις ἥμερος· οἱ δὲ πικρίδα, Αἰγύπτιοι ἄγον, Ῥωμαῖοι ἰντύβου ἄγρεστε· δισσή, ὧν* (e R) Di *σέρις δισσή, ἀγρία καὶ ἥμερος, ὧν ἡ μὲν ἀγρία πικρὶς . . . ἡ δὲ κηπευτὴ καὶ πλατυφυλλοτέρα* coni. Sar. *ἡ ἥμερος* F (dittogr.) *πικρὰ* F: *πικροὺς* H: *picris* Dl *ἡ καὶ* NDi
12 C fol. 315r: N 154 *κιχώριον* HDi *ἄρρεν* addidi 13 *γαθονοννιμ* N: *γαθονόνημ* Di 14 C fol. 315v: N 154: om. HDi *σόνκος* C *θῆλυ* om. N 15 *γαοονινιμ* C: *γαοονιμ* N: correxi

κιχόριον καλεῖται, ἥτις ἐστὶ καὶ πλατυφυλλοτέρα καὶ εὐστομαχωτέρα τῆς κηπευτῆς. καὶ τῆς κηπευτῆς δὲ διττὸν εἶδος· ἡ μὲν γάρ τίς ἐστι θριδακωδεστέρα καὶ πλατύφυλλος ἡ δὲ στενόφυλλος καὶ ἔμπικρος.

2 πᾶσαι δὲ στυπτικαὶ καὶ ψυκτικαὶ καὶ εὐστόμαχοι. ἱστᾶσι δὲ καὶ κοιλίαν ἑφθαὶ μετ' ὄξους λαμβανόμεναι, καὶ μάλιστα αἱ ἄγριαι εὐστομαχώτεραι· βρωθεῖσαι γὰρ ἀτονοῦντα στόμαχον παρηγοροῦσι καὶ καυσούμενον ⟨καὶ⟩ καταπλασσόμεναι σὺν ἀλφίτῳ καὶ καθ' ἑαυτάς, καὶ καρδιακοῖς εἰσι κατάπλασμα· χρήσιμοι δὲ καὶ ποδάγραις καὶ ὀφθαλμῶν φλεγμοναῖς βοηθοῦσιν. ἡ δὲ πόα καὶ ἡ ῥίζα καταπλασθεῖσα σκορπιοπλήκτοις ἀρήγει καὶ ἐρυσιπέλασι σὺν ἀλφίτῳ. σὺν ψιμυθίῳ δὲ καὶ ὄξει ὁ χυλὸς αὐτῶν ἐπίχριστος τῶν ψύξεως δεομένων.

133 χονδρίλη· τὰ μὲν φύλλα καὶ τὸν καυλὸν καὶ τὰ ἄνθη

---

132 RV: σέρις ἥμερος· οἱ δὲ πικρίδιον, Αἰγύπτιοι ἄγον, Ῥωμαῖοι ἴντουβον⟨μ⟩ ἀγρέστε, οἱ δὲ κικίρβιτα ἄλβα, οἱ δὲ ἀμαριτούδω.

σέρις ἀγρία· οἱ δὲ κικώριον, οἱ δὲ πικρίδα ἀγρίαν, Αἰγύπτιοι ἀγονουχί, Ῥωμαῖοι κικίρβιτα⟨μ⟩ ἀγρέστε⟨μ⟩.

---

5 SIM. [Hipp.] π. δ. II 54 (VI 562) Pl. XX 76 — Pl. l. s. D. eup. II 8 (229) — Pl. 75 eup. II 49 (262) — eup. II 1 (226) — Pl. 77 eup. II 28 (238) — Pl. 77 eup. I 235 (216) — eup. I 29 (107) — eup. I 168 (180) — Pl. l. s. 76.

14 SIM. Pl. XXII 91 (e S. N.); cf. Theophr. h. pl. VII 7, 1. 11, 4 (cf. Pl. XXI 105); Hes. s. v.

14 EXC. Orib. XII s. v. (χονδρίλη — κναμιαῖα, ἔστι δὲ — μεστήν); Gal XII 156 (= Paul. Aeg. VII 3 s. v.).

---

1 κικώριον N: κιχώριον QEDi: κιχόριον Orib. καλουμένη NDi ἥτις] ἡ δέ τις NDi καί (pr.) om. E πλατύφυλλος E καὶ εὐστομαχωτέρα om. N εὐστομωτέρα Orib.EDi 2 τῆς δὲ κηπευτῆς (om. καί) Orib.: ταύτης NEDi 3 τίς om. Orib. πλατύφυλλος καὶ ἔμπικρος Orib.E 4 ὑπόπικρος Orib. 5 πᾶσαι] ἀμφότεραι EDi καὶ ψυκτ. καὶ om. N καί (pr.) om. HDi ἵστησιν καὶ N 7 εὐστομαχώτεραι om. N γὰρ διορθοῦνται στόμαχον καὶ παρηγοροῦσιν μάλιστα N 8 καί (alt.) addidi, cf. D. eup. II 1 (226): καταπλασσόμεναι δὲ Di μετ' ἀλφίτου N 9 καί (alt.) om. NHDi καρδιακῶν NE εἰσὶν χρήσιμοι (om. κατάπλασμα) NDi καταπλάσματα E χρήσιμος E 10 δὲ καί om. N: δὲ om. Di ποδάγραις τε N: καὶ ποδάγραις δὲ Di: ποδαγρικοῖς E 11 καὶ σκορπιοπλήκτοις E 12 ἐρυσιπέλατα σὺν ἀλφίῳ ἰᾶται NDi καὶ σὺν ψιμηθίω καὶ E ἐστὶν ὁ χυλὸς Di 13 ἐπιχρισθεὶς E

14 num. cap. $\overline{σξβ}$ FDi: $\overline{σξγ}$ H: $\overline{ρμα}$ E χονδρίλη FROrib.E: χονδρίλλη reliqui: χόνδρυλλα Theophr. initio syn. e R add. HDi φύλλα ἔχει E: ἔχει om. R

15 N fol. 153: om. C πικρίδιον N: πικρίδα HDi 16 ἴντυβον HDi οἱ δὲ κικίρβιτα — 19 ἀγρέστε om. HDi

ἔχει κιχορίῳ ὅμοια, ὅθεν καὶ εἶδος σέριδος ἀγρίας αὐτό τινες εἶπον, λεπτότερον δὲ τὸ ὅλον. περὶ δὲ τῷ κλωναρίῳ αὐτῆς εὑρίσκεται κόμμι ὅμοια μαστίχῃ, μεγέθει κυαμιαῖα, ἅ τινα προστεθέντα λεῖα μετὰ σμύρνης ἐν ὀθονίῳ μέγεθος ἐλαίας ἔμμηνα ἄγει. ἡ δὲ πόα σὺν τῇ ῥίζῃ κοπεῖσα εἰς τροχίσκους ἀναπλάσσεται μειγνυμένου μέλιτος, οἵτινες διεθέντες καὶ νίτρῳ μιγέντες ἀλφοὺς ἀποσμήχουσιν· ἀνακολλᾷ δὲ καὶ τρίχας τὸ κόμμι. καὶ ἡ ῥίζα δὲ πρόσφατος ποιεῖ εἰς τὰ αὐτά, βαπτο- 2
μένης εἰς αὐτὴν βελόνης καὶ προσαγομένης ταῖς θριξίν· ἁρμόζει δὲ καὶ πρὸς ἔχεις σὺν οἴνῳ πινομένη, καὶ κοιλίαν ἵστησιν ὁ χυλὸς αὐτῆς ἑψηθεὶς σὺν οἴνῳ καὶ ποθείς, καὶ καθ' ἑαυτόν.

ἔστι δὲ καὶ ἕτερον εἶδος χονδρίλης, φύλλον δὲ ἔχει περιβεβρωμένον, πρόμηκες, ἐπὶ γῆς ἐστρωμένον, καυλὸν δὲ ὀποῦ μεστόν, ῥίζαν δὲ λεπτήν, ἔπακμον, κούφην, στρογγύλην, ὑπόξανθον, ὀποῦ μεστήν.

δύναμιν δ' ἔχει ὁ καυλὸς καὶ τὰ φύλλα πεπτικήν. ὁ δὲ ὀπὸς τριχῶν τῶν ἐν βλεφάροις ἀνακολλητικός. φύεται δὲ ἐν γεώδεσι καὶ ἐργασίμοις χωρίοις.

134 κολόκυνθα ἐδώδιμος ὠμὴ καταπλασθεῖσα λεία

---

133 RV: χονδρίλη· οἱ δὲ καὶ τοῦτο κικώριον ἢ σερίδα καλοῦσιν.

---

5 SIM. Pl. XXII 91 D. eup. II 78 (292) — eup. I 119 (153) — Pl. 91 eup. I 53 (117) — Pl. l. s. — Pl. l. s. eup. II 48 (260).

19 SIM. [Hipp.] π. δ. II 54 (VI 560); Mnesith., Diphil. (Ath. II 59 b); Pl. XX 16 (e S. N.); Ruf. ed. R. 542 (ex Hipp.); Garg. M. 6 (e Gal. Pl. D.) ∾ Ps. Orib. I 117 (= A. Mai l. s. I 27); Sim. S. s. v. (e Ruf. Gal. aliis); Geop. XII 19, 8 — Pl. l. s. 16 — D. eup. I 9 (98) Pl. 17 — eup. I 29 (107) Pl. 16 — eup. I 235 (217) Pl. 17 — eup. I 57 (120) Pl. 16 — eup. II 2 (227) Pl. 17.

19 EXC. Gal. XII 35 (= Aet. I s. v. Paul. Aeg. VII 3 s. v.), cf. VI 561sq.

---

1 κορίῳ ἢ κιχορίῳ E (corr. E²) ὅθεν δὲ καὶ τὸ εἶδος· τινὲς δ' αὐτὸ σερίδα ἀγρίαν R post εἶδος colloc. αὐτό τινες E: τινὲς αὐτὸ Orib.: τινὲς αὐτὸ εἶπον Di 2 τὸ om. R τῶν κλοναρίων E (corr. E²): τοῖς κλωναρίοις RDi αὐτοῖς R 3 ὅμοια R: ὅμοιον reliqui: ὅμοια coni. Sarac. τῷ μεγέθει R (post κυαμιαῖα colloc. C): μεγέθη E 4 λεῖα om. R: post σμύρνης colloc. EDi ὀθω(ν^l superscr.) F 5 ἄγει ἔμμηνα R: ἄγει καὶ ἔμμηνα (καὶ del. E²) 6 διειθέντες F: ἀνεθέντες Di: διηττηθέντες R 7 τὰς τρίχας H 8 τὸ αὐτὸ ποιεῖ RE 11 ἐν οἴνῳ R καὶ (alt.) om. R: καὶ καθ' ἑαυτὸν om. E 12 verba ἔστι- χωρίοις om. R φύλλον ἔχον Orib.E 14 δὲ om. Orib. 14 post δὲ add. ἔχει μεστήν E ἐπ' ἄκρον κορυφὴν ἔχουσαν (ν add. E²) στρογγύλην Orib.E (δὲ λεπτὴν ἔπακμον κούφην mg. add. E²): *ad finem rotunda* Dl 16 τὰ φύλλα καὶ ὁ καυλὸς E 18 χωρίοις FDi: τόποις H: χωρίοις καὶ τόποις E (καὶ τόποις del. E²)

19 num. cap. σξγ FDi: σξδ H: ρμβ E ἐδώδιμος om. HDl

20 C fol. 378ʳ: N 167 κιχώριον HDi

οἰδήματα καὶ ἀποστήματα πραΰνει. τὸ δὲ ξύσμα αὐτῆς παιδίοις σειριῶσιν ὠφελίμως κατὰ τοῦ βρέγματος καταπλάσσεται, καὶ πρὸς ὀφθαλμοῦ φλεγμονὰς καὶ ποδαγρικὰς ὁμοίως. ὁ δὲ χυλὸς τῶν ξυσμάτων ὠταλγίας καθ' ἑαυτὸν καὶ μετὰ ῥοδίνου ἐγχυματιζόμενος ὠφελεῖ, καὶ πρὸς καυσουμένην ἐπιφάνειαν ἐγχριόμενος ὠφελεῖ. ὅλης δὲ αὐτῆς ἀποζεσθείσης καὶ ἐκθλιβείσης ὁ χυλὸς πινόμενος, μετὰ μέλιτος βραχέος καὶ νίτρου κοιλίαν λύει κούφως. καὶ εἴ τις κοιλάνας αὐτὴν ὠμὴν ἐγχέας τε οἶνον καὶ ἐξαιθριάσας κεράσας τε δοίη πιεῖν, μαλάσσει κοιλίαν κούφως.

135 *σίκυς ἥμερος εὐκοίλιος, εὐστόμαχος, ψυκτικός, οὐ φθειρόμενος, κύστει ἁρμόδιος, ἀνακτητικὸς λειποθυμιῶν ὀσφραινόμενος. καὶ τὸ σπέρμα ⟨δὲ⟩ αὐτοῦ μετρίως οὐρητικόν, ἁρμόζον σὺν γάλακτι ἢ γλυκεῖ πρὸς τὰς ἐν κύστει ἑλκώσεις. τὰ δὲ φύλλα αὐτοῦ σὺν οἴνῳ καταπλασθέντα κυνόδηκτα ἰᾶται, σὺν μέλιτι δὲ καὶ ἐπινυκτίδας.*

ἡ δὲ τοῦ πέπονος σὰρξ καὶ αὐτὴ πεπτική, οὐρητικὴ

1 TEST. Garg. M. 6: *Dioscorides* ramenta corticis viridis in cucurbita laudat, eorum effectus sic tradit: siriasim infantium capiti inposita depellunt, cum polenta podagrae aestuanti et ignibus sacris cum pane subveniunt.

11 SIM. [Hipp.] *π. δ.* II 55 (VI 564); Diocles (frg. 120. 121); Diphil. (Ath. III 74c); Pl. XX 10sq.; Geop. XII 19, 8 — D. eup. II 109 (306) II 113 (314) I 171 (183).

11 EXC. Gal. XII 121; Garg. M. 16 (aliis e Pl. additis) ∾ A. Mai l. s. VII 415. Ps. Orib. I 118.

17 SIM. [Hipp.] *π. δ.* II 55 (VI 654)), Diocles frg. 120. 121. Diphil. (Ath. III 68f.); Pl. XX 11 (c S. N.), unde Garg. M. 15 (aliis aliunde additis) ∾ A. Mai l. s. VII 415. Ps. Orib. I 119; Ruf. ed. Ruelle 542; Geop. XII 9, 8; Sim. S. s. v. *ἀγγούρια* — Pl. l. s. D. eup. I 29 (107) 30 (108); I 9 (98); I 108 (148) — Diocl. frg. 139. Ruf. (Orib. II 107). Pl. l. s. — eup. I 172 (183) Pl. l. s.

17 EXC. Gal. XII 121, cf. VI 564. Paul. Aeg. VII 3 s. v.

1 *καὶ ἀποστήματα* om. Q, post *πραΰνει* colloc. E: *apostematicis prodest* Dl, cf. Pl. l. s. post *πραΰνει* add. *ἔστι δὲ ἐδώδιμος* H *ξέσμα* Di 2 *σειριῶσιν κατὰ τοῦ βρέγματος ὠφέλιμον* (*ν* in ras.)· *καταπλάττεται δὲ καὶ* E 3 *ὀφθαλμῶν* E *ποδάγρας* E 4 post *ξυσμάτων* add. *θλιβέντων* Di *πρὸς ὠταλγίας* EHDi: *ὀδονταλγίας* F: *dolores aurium tollit* Dl, cf. Gal. l. s. *αὐτὸν* E 5 *καὶ πρὸς — ὠφελεῖ* om. FEDl, at cf. D. eup. II 2 (227) *ἐγχεόμενος* H 7 *βραχέος* om. H 8 *ἐκχέας* E *τε* om. E 9 *δὸς* F: *δώη* EDi: *πίνῃ νῆστις* H *κοιλίαν μαλάσσει* E: *κοιλίαν λύει* H

11 num. cap. $\overline{\sigma\xi\delta}$ FDi: $\overline{\sigma\xi\varepsilon}$ H: $\overline{\varrho\mu\gamma}$ E *σικυὸς* E: *σίκυος* Gal. D. eup. l. s. *ὁ ἥμερος* H 12 *ἀνακλητικὸς δὲ λειποθυμίας* E 13 *δὲ* addidi 14 *ἢ* om. E: *σὺν γάλακτι ἢ γλυκεῖ* D. eup. II 109 (306) *γλυκεῖ* corr. E[2] (*γλυ|||κεῖ||||||* c. 8 litt. eras.) 16 *καὶ* om. EDi 17 nov. cap. ($\overline{\varrho\mu\delta}$) inc. E: $\overline{\sigma\xi\delta}$· *περὶ πέπονος* Di *πεπτική* om. EDiDl, post *οὐρητικὴ* colloc. H

ἐσθιομένη, καταπλασθεῖσα δὲ ὀφθαλμοῦ φλεγμονὰς πραΰνει. τὸ δὲ δέρμα αὐτοῦ σειριῶσι παιδίοις ἐπιτίθεται ἐπὶ τοῦ βρέγ- 2
ματος, καὶ ῥαυματιζομένοις ὀφθαλμοῖς ἀντὶ ἀνακολλήματος κατὰ τοῦ μετώπου. ὁ δὲ χυλὸς σὺν τῷ σπέρματι μιγεὶς ἀλεύρῳ καὶ ξηρανθεὶς ἐν ἡλίῳ σμῆγμα γίνεται ῥυπτικὸν καὶ προσώπου λαμπρυντικόν. ἡ δὲ ῥίζα ξηρὰ ποθεῖσα σὺν ὑδρομέλιτι δραχμῆς ⟨μιᾶς⟩ ὁλκὴ ἐμέτους κινεῖ· εἰ δέ τις πραέως ἀπὸ δείπνου ἐμέσαι θέλοι, ἀρκέσουσιν ὀβολοὶ δύο· ὑγιάζει δὲ καὶ κηρία καταπλασθεῖσα ⟨λεία⟩ μετὰ [τοῦ] μέλιτος.

136 θ ρ ί δ α ξ ἥ μ ε ρ ο ς εὐστόμαχος, ὑποψύχουσα, ὑπνωτική, κοιλίας μαλακτική, γάλακτος κατασπαστική· ἑψηθεῖσα δὲ γίνεται τροφιμωτέρα, ἄπλυτος δὲ ἐσθιομένη στομαχικοῖς ἁρμόζει. τὸ δὲ σπέρμα αὐτῆς πινόμενον τοῖς συνεχῶς ὀνειρώττουσι βοηθεῖ καὶ συνουσίαν ἀποστρέφει. αὗται δὲ συνεχῶς ἐσθιόμεναι

---

136 RV: *θρίδαξ ἥμερος· Ῥωμαῖοι λακτοῦκα, Αἰγύπτιοι ἐμβρωσί.*

θρίδαξ ἀγρία· οἱ δὲ καὶ τοῦτο ἱεράκιον, προφῆται αἷμα Τιτάνου, Ζωροάστρης φέρομβρος, Αἰγύπτιοι ἐμβρωσί, Ῥωμαῖοι λακτοῦκαμ ἀγρέστε⟨μ⟩.

---

10 SIM. [Hipp.] π. δ. II 54 (558); Theophr. h. pl. VII 4, 5. 6, 2; Diphil. (Ath. II 69 e); Pl. XX 61 sq., unde Garg. M. 11 (aliis e Gal. initio additis) ∾ Ps. Orib. I 15 = A. Mai l. s. VII 411; Ruf. ed. Ruelle 430 (cf. Orib. III 94) 481. 544. 650. Sim. S. s. v. *μαρούλλια* (e Gal. Ruf. aliis); Geop. XII 13; Ps. Ap. 31 (= Ps. Orib. I 16); Isid. XVII 10, 11 (e G. M.).

10 EXC. Gal. XI 887 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.), cf. Gal. VI 624.

12 TEST. Garg. Mart. 11: optime illas stomachicis dari non lotas *Dioscorides* adfirmat.

---

1 *ὀφθαλμῶν* HE *καταπραΰνει* HE 2 *δέρμα* FE: *βρέγμα* HDi: *τὸ ἐπικείμενον τῇ σαρκὶ δέρμα* D. eup. I 9 (98) *κατὰ τοῦ βρέγματος ἐπιτίθεται* EDi 5 *γίνεται λαμπρυντικὸν ῥυ* (in ras.) *πτικὸν προσώπου* E: *καὶ λαμπρυντικὸν προσώπου* DiE² 6 *ὑδρομέλιτι ἢ οἰνομέλιτι ὁλκὴ* <- ā E 7 *μιᾶς* addidi, cf. D. IV 151 *ἀπὸ δείπνου πραέως* E 8 *θέλει* F: *θέλῃ* H: *θέλι///* E: *θελήσετε* Di: correxi *δὲ* om. H 9 *λεία* addidi ex E *τοῦ* om. E, delevi

10 num. cap. *σξε* FDi: *σξϛ* H: *ρμε* E *ὁ ἥμερος* H post *ἥμερος* syn. e R add. HDi post syn. add. *ἡ δὲ ἥμερος θρίδαξ* C *ὑποστύφουσα* C: *ὑποψύχουσα καὶ στύφουσα* E (*καὶ στ.* del. E²) 11 *κοιλίας μαλακτική* om. C *προκλητική* CE 13 *τοῖς* om. C 14 *συνουσίαις* E (*ι* del. E²): *συντρέφει* C

15 C fol. 135ᵛ: om. N 16 *ἐμβροσί* HDi

17 C fol. 136ʳ: om. N post *ἱεράκιον* add. *alii aspodclon, alii picris* Ps. Ap. 18 *Ζοροάστης* C: *ζωρόαστρις* Di *φερουμβρος* CDi: correxi, cf. D. IV 150 19 *λαπτουκα* Di *ἀγρέστε* C: *σιλβατίκα* Di: *lactuca silvatica* Ps. Ap.

2 ἀμβλυωπίας εἰσὶ ποιητικαί· ταριχεύονται δὲ ἐν ἅλμῃ. ἐκκαυλήσασαι δὲ ἔχουσι παρεμφέρον τι τῇ τοῦ χυλοῦ καὶ ὀποῦ δυνάμει τῇ τῆς ἀγρίας θριδακος.

ἡ δὲ ἀγρία θριδαξ ἔοικε τῇ ἡμέρῳ, καυλωδεστέρα καὶ τοῖς φύλλοις λευκοτέρα καὶ ἰσχνοτέρα καὶ τραχυτέρα ὑπάρχουσα, πικρὰ δὲ πρὸς τὴν γεῦσιν. ὡμοίωται δὲ κατὰ ποσὸν τῇ δυνάμει μήκωνι, ὅθεν καὶ τὸν ὀπὸν αὐτῆς ἔνιοι μίσγουσι τῷ μηκωνίῳ. καθαίρει δὲ μετ' ὀξυκράτου ποθεὶς ὁ ὀπὸς ὀβολῶν δυεῖν ὁλκὴ ὑδατώδη, ἀποκαθαίρει καὶ ἄργεμα καὶ ἀχλῦς, ποιεῖ

3 καὶ πρὸς ἐπικαύσεις ἐγχριόμενος σὺν γυναικείῳ γάλακτι. ἔστι δὲ καθόλου ὑπνωτικὸς καὶ ἀνώδυνος· ἄγει δὲ καὶ ἔμμηνα, ποτίζεται δὲ καὶ πρὸς σκορπιοπλήκτους καὶ φαλαγγιοδήκτους. τὸ δὲ σπέρμα, ὥσπερ τὸ τῆς ἡμέρου ποθέν, ὀνειρωγμοὺς καὶ συνουσίαν ἀποστρέφει· δύναται δὲ καὶ ὁ χυλὸς πρὸς τὰ αὐτά, ἀσθενέστερον μέντοι. ἀποτίθεται δὲ ὁ ὀπὸς ἐν κεραμέοις ἀγγείοις προηλιαζόμενος ὥσπερ καὶ τὰ λοιπὰ χυλίσματα.

137 γιγγίδιον· φύεται μὲν τὸ πλεῖστον ἐν Κιλικίᾳ τε καὶ Συρίᾳ. βοτάνιον σταφυλίνῳ ἐοικὸς ἀγρίῳ, λεπτότερον δὲ καὶ

---

1 SIM. Diph. (Ath. l. s.) Pl. XX 65 — Diph. l. s. Cels. II 27. Pl. XX 64 — Diph. l. s. Pl. XX 64. eup. I 12 (99) — Diph. l. s. Pl. XX 64 — eup. I 138 (163) — Pl. l. s. — Pl. XX 68 eup. II 100 (302) — Diph. l. s. Pl. XX 64. eup. II 97 (301) — Pl. XX 68 — Pl. XX 62 — Theophr. VII 6, 2. eup. I 34 (109) Pl. l. s. — eup. I 12 (99) — eup. II 78 (290) — Pl. XX 62 eup. II 121 (320) — eup. II 97 (301).

17 SIM. Pl. XX 33 (e S. N.); D. eup. II 112 (311).

17 EXC. cf. Gal. XI 856 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

---

1 εἰς ἁλμαίας CH ἐκκαυλισθεῖσαι C: ἐκκαυλίσασαι HDi 2 παρεμφέρων (παρεμφερῆ in mg.) τὴν τοῦ χυλοῦ ὀποῦ δύναμιν C τι om. E, post ἔχουσι coll. Di 3 τῇ om. CEDi 4 num. cap. omisso tit. mg. add. περὶ τῆς ἀγρίας θρίδακος Di ἔοικεν μὲν E καυλωδεστέρα δὲ HDi 5 ὑπάρχουσα] αὐτάρκουσα C 6 τὴν om. C κατὰ πᾶσαν τὴν δύναμιν Q τὴν δύναμιν C 7 μικωνίου E (ι pr. in η corr. E²) ὅθεν — μηκωνίῳ om. H μήκωνι C 8 ὀξυμέλιτος CDi πλῆθος ὀβολῶν δυεῖν ὁλκὴν (ν del. E²) E: δυοῖν ὀβολῶν ὁλκῆς C: δυεῖν ὀβολῶν ὁλκὴ Di 9 ὑδατώδη κατὰ κοιλίαν HDi ἀποκαθαίρει] αὐτοῖς ἄγει C καὶ (pr.)] δὲ καὶ HDi ἄλγημα C ἀχλὺν Di 10 ἐγχριομένη CHDi γάλακτι γυναικείῳ E 11 ὑπνωτικὴ Di καὶ (alt.) om. Di 13 ὥσπερ καὶ CE, fort. recte ποθὲν post ἀποστρέφει colloc. CE συνουσίας CE 14 πρὸς del. E² 15 ἀσθενέστερος E ἀποτίθεσθαι δὲ δεῖ CE² (in mg.): ἀποτίθεσθαι δὲ καὶ E ἐν ὀστρακίνοις C 16 προσηλιαζόμενος F: προσκλιαζομένοις C: προσηλιαζόμενος H: προηλιάζοντα E ὡς CE λοιπὰ] ἄλλα C

17 num. cap. σξϙ FDi: σξζ H: σμϙ E post γιγγίδιον syn. e R add. HDi μὲν τὸ om. EDi, τὸ om. R τε om. REDi 18 σταφυλίνῳ μὲν Di (μὲν e mg. add. ut videtur)

πικρότερον, ῥίζαν ὑπόλευκον, πικρὰν ἔχον. λαχανεύεται δὲ ὠμὸν τε καὶ ἑφθόν, καὶ ταριχευθὲν ἐσθίεται. ἔστι δὲ εὐστόμαχον, οὐρητικόν.

138 σκάνδιξ· καὶ τοῦτο ἄγριόν ἐστι λάχανον, ὑπόδριμυ καὶ ἔμπικρον, ἐδώδιμον, ἑφθόν τε καὶ ὠμὸν ἐσθιόμενον εὐκοίλιον καὶ εὐστόμαχον, οὐρητικόν. τὸ δὲ ἀφέψημα αὐτοῦ κύστει χρήσιμον καὶ νεφροῖς καὶ ἥπατι πινόμενον.

139 καυκαλίς, ἔνιοι δὲ δαῦκον ἄγριον καλοῦσι. καυλίον

---

137 RV: γιγγίδιον· οἱ δὲ λεπίδιον, Ῥωμαῖοι βὶς ἀκούτουμ, Αἰγύπτιοι δωρισάστρον, Σύροι ἀδοριού, Ἄφροι τιρινταί.

138 RV: σκάνδυξ· Ῥωμαῖοι ἔρβα κανάρια, οἱ δὲ ἀκίκουλαμ.

139 RV: καυκαλίς· οἱ δὲ καῦκον ἢ δαῦκον ἄγριον, οἱ δὲ μυῖτις, Δημόκριτος βρύον, Ῥωμαῖοι πέδε⟨μ⟩ γαλλινάκιουμ, οἱ δὲ πέδε⟨μ⟩ πούλλι, Αἰγύπτιοι σεσελίς.

---

4 SIM. Theophr. h. pl. VII 7, 1; Pl. XXII 80; D. eup. II 102 (304) II 108 (306) II 58 (270); Hes. s. v. σκάνδιξ. Et. M. 270, 50. schol. Arist. Eq. 19. Ach. 478.

4 EXC. Gal. XII 124 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

8 SIM. [Hipp.] π. δ. II 54 (VI 562); Theophr. h. pl. VII 7, 1; Phanias (Ath. IX 371 d); Pl. XXII 83; Geop. XII 32; schol. Nic. Th. 845 (ex Antigono); Hes. s. v. καυκᾶνον (immo καυκαλίον).

8 EXC. Orib. XI s. v. (καυκαλίς — εὐῶδες); Gal. XII 15 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

---

1 πικρότερον EDl: μικρότερον Q: πυκνότερον RDi: *tenuius tantum et amarius* Pl., cf. D. III 52 ῥιζίον REDi πικρ. ἔχον] πικράζον R: πικρίζον EDi ἑφθόν τε καὶ ὠμὸν N: ὠμὸν καὶ εὐανθόν (sic) C 2 ταριχευτὸν E ἐσθιόμενον RE δὲ om. R καὶ (om. R) εὐστόμαχον καὶ οὐρητικόν RE 3 post οὐρητικόν add. καὶ τὸ ἀφέψημα δὲ (om. Di) αὐτοῦ πινόμενον μετὰ οἴνου κύστει χρήσιμον HDi

4 num. cap. σξζ FDi: σξη H: ρμζ E tit. περὶ σκάνδικος F: περὶ σκάνδυκος reliqui σκάνδυξ RHDi initio syn. e R add. Di, post λάχανον H τοῦτο δὲ R ἐστιν λάχανον ἄγριον N 5 ἑφθόν — ὠμὸν om. R τε om. EDi 6 οὐρητικόν om. QDi: *est etiam eustomaca et diuretica, ventrem mollit* Dl: οὐρητικὸν δ' ἱκανῶς ἐστι Gal., cf. Pl. l. s. 7 νεφρητικοῖς καὶ ἡπατικοῖς R πινόμενον post νεφροῖς colloc. Di

8 num. cap. σξη FDi: σξθ H: ρμη E tit. περὶ καυκαλίδος QDi καύκαλος E post καυκαλίς syn. e R add. Di δαυκὸν ἀγρίαν F

9 C 87v: N 59 βις add. C (m. rec.) 10 δορισαστροῦ HDi τιριντάι N: τιριντά H: τιρικτά Di: ΠΡΙΝΤΑΕΙ (sic) C

11 C fol. 333v: N 150 mg. add. κοινῶς χαλβάνων καὶ βελονίδα καλοῦσιν C (m. rec.) καναριαμ C: σκανάρια HDi, cf. Pl. ind. l. 25 (XXV 91) ἀκουκλάμ libri: corr. Marc.

12 C. fol. 170r: N 50 13 μυεῖτις C γαλινακίου Di: γαλλιναкιου N, cf. D. II 156. Pl. XXV 155 14 πεδεπουλαι R: πεδεποῦλλαι Di σεσέλιε V

ἐστὶ σπιθαμιαῖον, ὑπόδασυ, φύλλα ἔχον μαράθῳ ὅμοια, λεπτοσχιδῆ, δασέα, καὶ ἐπ' ἄκρον σκιάδιον λευκόν, εὐῶδες. λαχανεύεται δὲ καὶ τοῦτο ἑφθόν τε καὶ ὠμὸν ἐσθιόμενον· ἔστι δὲ οὐρητικόν.

140 *εὔζωμον πλεῖον βρωθὲν συνουσίαν παρορμᾷ, καὶ τὸ σπέρμα δ' αὐτοῦ τὸ αὐτὸ ποιεῖ, οὐρητικὸν ὑπάρχον καὶ πεπτικὸν καὶ εὐκοίλιον· χρῶνται δὲ τῷ σπέρματι καὶ εἰς τὰς ἀρτύσεις τῶν ἑψημάτων. ἀποτίθενται δὲ αὐτὸ πρὸς τὸ πλείονα μένειν χρόνον γάλακτι ἢ ὄξει φυρῶντες καὶ ἀναπλάσσοντες τροχίσκους.*

γίνεται δὲ καὶ ἄγριον εὔζωμον, μάλιστα ⟨δὲ⟩ ἐν τῇ κατὰ τὴν ἑσπέραν Ἰβηρίᾳ, οὗ τῷ σπέρματι καὶ ἀντὶ σινήπεως οἱ τῇδε ἄνθρωποι χρῶνται. ἔστι δὲ οὐρητικώτερον καὶ δριμύτερον πολλῷ τοῦ ἡμέρου.

141 *ὤκιμον βιβρωσκόμενον πολὺ ἀμβλυωπές ἐστιν. ἔστι*

---

140 RV: *εὔζωμον· Ῥωμαῖοι ἠρούκαμ, Αἰγύπτιοι ἐθρεκιγκίν, Ἄφροι ἀσουρήκ.*

---

5 SIM. Pl. XX 125 (cf. XIX 154), unde Geop. XII 26 (aliis aliunde additis); Garg. M. 14 (aliis e Gal. Diosc. additis); Isid. XVII 10, 21 (e G. M.) — D. eup. II 111 (309). Cels. II 31.

5 EXC. cf. Gal. VI 639; Aet. I s. v. Paul. Aeg. VII 3 s. v. A. Mai VII 446.

15 SIM. Pl. XX 119sq. (e S. N.), unde Garg. M. 22 (= A. Mai VII 412); Geop. XI 28; Ps. Ap. 117; Hes. s. v. — Pl. 119 eup. I 43 (113) — Pl. 122 — eup. II 138 (163) — Pl. 121 eup. II 122 (320).

15 EXC. cf. Gal XII 158 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.); Gal. VI 640.

---

1 post *σπιθαμιαῖον* add. *ἢ καὶ μεῖζον* RDiOrib. (interp.) *φύλλα ἔχον σελίνῳ ἐμφερῆ· ἐπ' ἄκρον δὲ μαραθοειδῶς λεπτοσχιδῆ* ROrib.Di: *cuius folia similia sunt feniculo* Dl, cf. Pl. l. s. 2 *ἄκρῳ* E 3 post *δὲ* (alt.) add. *καὶ αὐτὸ* R, *καὶ τοῦτο* E 4 *διουρητικόν* HDi

5 num. cap. $\overline{\sigma\xi\vartheta}$ FDi: $\overline{\sigma o}$ H: $\overline{\rho\mu\vartheta}$ E *εὔζωμον ὀζοβότανον* F (ind.) post *εὔζωμον* syn. e R add. Di, post *παρορμᾷ* H *ἐπὶ πλεῖον ἐσθιόμενον* RE *συνορμᾷ* R 6 *τὸ αὐτὸ* om. R 7 *καὶ εὐκοίλιον* om. REDl *καὶ* (alt.) om. RE *εἴς τε* E 8 *προσεψημάτων* R: *προσοψημάτων* E 9 *χρόνον μένειν* E *ὄξει φυρῶντες ἢ γάλακτι* RDi: *ὄξει ἢ γάλακτι φυρ.* H: *ἢ ὄξει* om. F: *lacti aut aceto mixtus* Dl 11 *γίνεται — ἡμέρου* om. R *δὲ* addidi ex E 12 *καὶ* om. E *σινίπεος* F: *σινήπεος* HDi: *σινάπεως* E 13 *οὐρητικώτερον* E: *διουρητικώτερον* reliqui

15 num. cap. $\overline{\sigma o}$ FDi: $\overline{\sigma o \alpha}$ H: $\overline{\rho\nu}$ E *ὤκιμον τὸ λεγόμενον βάλσαμον* (*βασιλικόν* leg.) F (ind.) *ὤκιμον γνώριμον* C (cap. om. N) Di *ἐστὶν* (alt. *ἔστι* om.) *καὶ κοιλίας* CE

16 C fol. 117v: N 70 *κοινῶς ῥώκα* eff. h. p. add. C (m. rec.) *ἰρουκάμ* HDi *ἐθρεκικήν* Di 17 *ἀσουρίκ* Di

δὲ κοιλίας μαλακτικόν, πνευμάτων κινητικόν, οὐρητικόν, γάλα-
κτος προκλητικόν, δυσμετάβλητον. καταπλασσόμενον δὲ σὺν ἀλ-
φίτου πάλῃ καὶ ῥοδίνῳ καὶ ὄξει φλεγμοναῖς βοηθεῖ, καὶ δρά-
κοντος θαλασσίου καὶ σκορπίου πληγῇ καθ' ἑαυτό, σὺν οἴνῳ
δὲ Χίῳ πρὸς ὀφθαλμῶν ὀδύνας. ὁ δὲ χυλὸς αὐτοῦ ἀποκα-
θαίρει ἀχλῦς τὰς ἐν ὀφθαλμοῖς καὶ τὰ ῥεύματα ξηραίνει. τὸ 2
δὲ σπέρμα ἁρμόζει τοῖς χολὴν μέλαιναν γεννῶσι πινόμενον,
δυσουροῦσί τε καὶ πνευματουμένοις· παύει δὲ καὶ πταρμοὺς
πλείονας ἐπισπώμενον δι' ὀσφρήσεως, καὶ ἡ πόα δὲ τὸ αὐτὸ
ποιεῖ· συμπιέζειν δὲ τοὺς ὀφθαλμοὺς δεῖ ἐπιόντος τοῦ πταρμοῦ.
φυλάσσονται δέ τινες αὐτὸ καὶ οὐκ ἐσθίουσι διὰ τὸ μασηθὲν
καὶ τεθὲν ἐν ἡλίῳ σκώληκας γεννᾶν. Λίβυες δὲ προσυπειλή-
φασιν, ὅτι οἱ φαγόντες αὐτὸ καὶ πληγέντες ὑπὸ σκορπίου ἀσώ-
στως διατίθενται.

142 ὀροβάγχη· οἱ δὲ κυνομόριον, οἱ δὲ λέοντα, Κύπριοι
δὲ θυρσῖτιν καλοῦσι. καυλίον ἐστὶν ὑπέρυθρον, ὡς δισπιθα-

---

141 RV: ὤκιμον.

---

2 SIM. Pl. l. s. 121 D. eup. I 32 (109) 41 (112) — eup. II 109 (306) — eup. I 8 (98) — Pl. 119. Geop. l. s. cf. Gal. VI 640 — Pl. 120.

15 SIM. Theophr. h. pl. VIII 8, 4; c. pl. V 15, 5; Pl. XXII 162 (e S. N.); Geop. II 42; Hes. s. v. (∾ schol. Nic. Th. 869).

---

1 *πνευμάτων — οὐρητικόν* om. C: *πνευμάτων κινητικόν* om. E: *inflationes ventris commovet, diureticus est* Dl *καὶ οὐρ.* E 2 *προσκλητικόν* H *δὲ* om. E 3 *παιπάλῃ* H *βοηθεῖ φλεγμοναῖς* E: *βοηθεῖ πλεύμονος* (om. *φλεγμ.*) C: *φλεγμοναῖς βοηθεῖ πνεύμονος* Di 4 *πληγήν* H: *πληγαῖς* CE *καὶ καθ' αὐτὸ* E, fort. recte *καθ' ἑαυτὸ δὲ σὺν οἴνῳ χίῳ* CDi *σὺν* om. Q 6 *τὸ σπέρμα δὲ* Di 7 *σπέρμα πινόμενον* REDi *τοῖς μελαγχολῶσι(-λιῶσιν)* CEDi 8 *δυσουροῦσιν, πνευματουμένοις* CE: *καὶ δ. καὶ πνευματουμένοις* Di *παύει* CE: *ποιεῖ* reliqui, at cf. D. eup. I 8 (98) *παύει δὲ πταρμοὺς συνεχεῖς ὠκίμου σπέρμα λεῖον, καὶ ἡ πόα ἀποσφραινομένη* 9 *πλεῖον* ER *ἀνασπώμενον* E: *ἀνασπωμένη* C *τὰ αὐτὰ* C 10 *πιόντος* F *τοῦ* om. E 11 *αὐτό τινες* C *αὐτὸν* E 12 *σκωλήκια* CDi *δίφυες* C *προσειλήφασιν* E (*ὑπειλη* superscr. E²): *προειλήφασιν* C: *προσειλήφασιν* reliqui: correxi 13 *σκορπίων* E *ἄσωστοι διατίθενται* C: *ἀσώστως* (*ἀσινεῖς* superscr. E²) *διατίθενται* E: *ἄπονοι* (*ἄπονες* H) *διαμένουσιν* QDi: *perhibent afri quod die, qua quisquis a scorpione fuerit percussus et comederit ocimum, statim moritur* Dl, cf. Pl. l. s.

15 num. cap. σοα FDi: σοβ H: ρνα E *ὀροβάκχην* E: *ὀροβάκχη* reliqui: *ὀροβάγχη* Theophr. l. s. Zop. (Orib. II 591): *orobachen* Pl.: *orobacce* Dl de cynomorion nomine cf. Pl. l. s. *λέοντα κύπριον· οἱ δὲ* E 16 *θυρσίνην* EHDi: *tirsinum* Dl: *θυρσίτην* F: correxi mg. add. *ὁ λύκος* Di *ὡς* om. H *διοπίθαμον* E

18 C fol. 386ʳ, cap. om. N

μιαῖον, ἐνίοτε δὲ καὶ μεῖζον, ἄφυλλον, ὑπολίπαρον, τρυφερόν, ἔνδασυ, ἄνθεσιν ὑπολεύκοις ἢ μηλίζουσι κεχρημένον. ῥίζα δὲ ὕπεστι δακτύλου τὸ πάχος, κατατιτραμένη πρὸς τὴν τοῦ καυλοῦ ξηρασίαν. δοκεῖ δὲ φυόμενον ἐν ὀσπρίοις τισὶ πνίγειν αὐτά, ὅθεν καὶ τὴν προσωνυμίαν ἔσχηκε. λαχανεύεται δὲ καὶ ὠμὸν καὶ ἑφθόν, ἐκ λοπάδος ὡς ἀσπάραγος ἐσθιόμενον, καὶ ὀσπρίοις δὲ συνεμβληθὲν τάχιον αὐτὰ δοκεῖ ἕψειν.

143 τραγοπώγων, οἱ δὲ κόμην καλοῦσι. καυλὸς βραχύς, φύλλα κρόκῳ ὅμοια, ῥίζα μακρά, γλυκεῖα. ἐπὶ δὲ τοῦ καυλοῦ κάλυξ μεγάλη, καὶ ἐξ ἄκρου πάππος μέγας, ἀφ' οὗ καὶ τὸ ὄνομα ἔσχηκεν. ἔστι δὲ ἡ πόα ἐδώδιμος.

144 ὄρνιθος γάλα καυλίον ἐστὶ τρυφερόν, λεπτόν, ὑπόλευκον, ὡς δισπιθαμιαῖον, ἄνω παραφυάδας ἔχον τρεῖς ἢ τέσσαρας ἁπαλάς, ἀφ' ὧν ἄνθη ἔξωθεν μὲν βοτανώδη, ἀνοιχθέντα δὲ γαλακτίζοντα, καὶ μεταξὺ αὐτῶν κεφάλιον ὡς κάχρυ ἐντετμημένον, μετ' ἄρτου ὡς μελάνθιον συνοπτώμενον. ῥίζα δὲ βολβοειδής, ἐσθιομένη ὠμή τε καὶ ἑφθὴ καὶ ὀπτή.

145 ὕδνον ῥίζα ἐστὶ περιφερής, ἄφυλλος, ἄκαυλος, ὑπό-

---

143 RV: τραγοπώγων ἢ τετραπώγων, οἱ δὲ κόμην καλοῦσιν.

---

8 SIM. Theophr. h. pl. VII 7, 1 (e Diocl.); Pl. XXVII 142 (e S. N.), cf. XXI 89; Hes. s. v.

8 EXC. Orib. XII s. v. (τραγοπώγων — ἐδώδιμος).

12 SIM. Nic. frg. 71 (Schn.); Pl. XXI 102 (e S. N.).

18 SIM. Theophr. h. pl. I, 6, 9. frg. 167 W; Diphil. (Ath. II 62 c); Pl. XIX 33 sq.

18 EXC. cf. Gal. VI 655. XII 147.

---

1 δὲ om. E   φύλλον FDi: φύλλοις H: φύλλα E: *folia* Dl: corr. Spr. coll. Pl. l. s.   ὑπολίπαρα E   ἔνδασυ, τρυφερόν EDi   2 ἄνθεσιν δὲ E   κεχρημένον om. E   ἡ ῥίζα E   δὲ ὕπεστι om. EDi   3 κατατιτραμένη libri, κατατετρημένη Sarac.   τοῦ om. H   4 τισὶ om. E   αὐτὰ] ταῦτα E   5 ἐπονομασίαν E   καὶ ὠμὸν om. E   6 καὶ ἐκ E   ἐσθιόμενος E   7 δὲ om. HDi   συνεμβληθὲν F: συνεψηθὲν HDi: συνεψηθεὶς E

8 num. cap. σοβ FDi: σογ H: ρνβ E   τραγωπόγων E   ἢ τετραπώγων e R add. Di   9 γλυκεῖα] ὑπτία R, post γλυκεῖα add. Di   10 μέγας QDi   καὶ — μέγας om. C: καὶ om. N   καρπὸς μέλας NOrib.QDi: καυλὸς/// καρπὸς μέγας E (καυλὸς del. E²): καὶ ἐξ ἄκρου μέγαν τὸν πάππον Theophr.: corr. Spr.   11 ἔσχεν QDi

12 num. cap. σογ FDi: σοδ H: ρνγ E   ὄρνιθος γάλα FEDlNic. l. s.: ὀρνιθόγαλον HDiF (ind.)   ἐστὶ om. EH   τρυφερὸν καὶ λεπτόν H   λευκὸν λεπτόν E   13 δισπίθαμον Di   14 ἁπαλάς om. Di   ἐφ' ὧν E   διανοιχθέντα Di   15 γαλακτίζει E   μεταξὺ τῶν κεφαλίων Q   κάγχρυ QDi: κάχρυ E, cf. D. III 74   16 συνοπτώμενον ὡς μελάνθιον EDi   βολβώδης Di   17 τε καὶ ἑφθὴ καὶ ὀπτή om. E (καὶ ἑφθή add. E²)   καὶ ἑφθὴ om. F   καὶ ὀπτή om. HEDi

18 num. cap. σοδ FDi: σοε H: ρνδ E

19 C fol. 340r: N 141   τραγοπόγων N   τετραπώγωνα N

ξανθος, ἔαρος ὀρυττομένη. ἐδώδιμος δέ ἐστιν ὠμή τε καὶ ἑφθὴ ἐσθιομένη.

146 σμῖλαξ κηπαία, ἧς ὁ καρπὸς λόβια, ὑπ᾽ ἐνίων δὲ ἀσπάραγος καλεῖται. φύλλα ἔχει ὅμοια κισσῷ, μαλακώτερα δέ, καυλοὺς δὲ λεπτοὺς καὶ ἕλικας περιπλεκομένας τοῖς παρακειμένοις θαμνίοις, αὐξανομένας τε ἐφ᾽ ἱκανὸν ὥστε καὶ σκηνοποιεῖσθαι. καρπὸν δὲ φέρει ὅμοιον τήλιδι, μακρότερον δὲ καὶ ἐπισωματώτερον, ἐν ᾧ σπέρματα ὅμοια νεφροῖς, οὐκ ἰσόχροα, ἐκ μέρους δὲ ὑποπυρρίζοντα. λαχανεύεται δὲ εἰς βρῶσιν ὁ καρπὸς ἑψόμενος σὺν τῷ σπέρματι ὡς ἀσπάραγος, οὐρητικὸς ὢν καὶ δυσόνειρος.

147 Μηδικὴ ἔοικε μὲν ἄρτι φυομένη τριφύλλῳ τῇ ἐν χορτοκοπίοις, προάγουσα δὲ στενοφυλλοτέρα γίνεται, καυλοὺς ἀνιεῖσα τριφύλλῳ ὁμοίους, ἐφ᾽ οἷς τὸ σπέρμα προσπέφυκε φακοῦ τὸ μέγεθος, ἐπεστραμμένον ὡς κεράτιον, ὅπερ ξηρανθὲν μείγνυται ἡδύσματος χάριν τοῖς ἀρτυτοῖς ἁλσί, χλωρὸν δὲ κατα-

---

147 RV: Μήδιον· οἱ δὲ Μηδική, οἱ δὲ τρίφυλλον, οἱ δὲ κλημάτιον, οἱ δὲ ὀσμ⟨ηρ⟩ός, οἱ δὲ τρίγωνος, οἱ δὲ Κυβέλιον, οἱ δὲ πολύφυλλον, Ῥωμαῖοι τριφόλλιουμ ὀδοράτουμ, Αἰγύπτιοι ἐπαθού.

---

12 SIM. Pl. XVIII 144 sq. (cf. Col. II 11, 1 sq. Pallad. V 1, 1); Serv. Verg. Georg. I 215; Isid. XVII 4, 9; Strab. XI 525; schol. Arist. Eq. 606; Hes. s. v., cf. *Hehn*[6] 397 sq.

---

1 ἔαρος καὶ θέρους ὀρυσσομένη E ἔστιν δὲ ἐδωδημώτερος E ἑφθή τε καὶ ὠμὴ (καὶ ὀπτὴ add. E[2]) ἐσθιομένη E (καὶ ὀπτὴ mg. add. c. 144 in archet. E[2] alieno loco in text. recepit)

3 num. cap. σοε FDi: σοϙ H: ρνε E σμίλαξ κηπαῖος QEOrib., cf. D. IV 142. 143 ὑπ᾽ ἐνίων λωβία E 4 κισσῷ ὅμοια Orib.EDi δέ] μέντοι Di 5 καυλοὺς — ὑποπυρρίζοντα om. Dl καὶ καυλοὺς F δὲ om. QOrib. καθ᾽ ἕλικας coni. Spr. περιπεπλεγμένας F: περιπεπλεγμένους HDi 6 θάμνοις Orib. αὐξομένας δὲ E: αὐξανόμενός τε Orib. ἱκανῶς Orib. 7 τήλει Di 8 ἐπισωμότερον Di: εὐσωματώτερον (at εὐ et ματώτερον in ras. E[2]) E, fort. recte οἷς Orib.E ἰσόχροια E 9 δὲ (pr.) om. Di ὑποπόρφυρα Orib.: ὑπόπυρρα E

12 num. cap. σοζ H: σοϙ FDi: ρνϙ E τῇ τριφύλλῳ E τῇ] τὴν FN 13 χορτοκοπίῳ E: φεριαν οὕτω (sic) N προάγουσα] προειοῦσα E 14 ἀνεῖσα F: ἀνίησιν N ὁμοίους τῷ προειρημένῳ τριφύλλῳ N: ὁμοίους τριφύλλῳ E: τριπήχεις coni. Salm. τὸ om. N 15 φακοῦ μέγεθος NE προσανιέμενον N 16 τοῖς ἄρτοις (om. ἁλσί) N καταπλασθὲν] ἀρτυθὲν NE

17 N fol. 103: om. C: marg. c. 18 l. IV add. H[2]Di 18 κλυμάτιον N ὀσμός libri, correxi 19 τριφυλιούμ ἐδορατούμ Di 20 ἐπάφου Di

πλασθὲν ὠφελεῖ τὰ ψύξεως δεόμενα. ὅλῃ δὲ τῇ πόᾳ χρῶνται οἱ κτηνοτρόφοι ἀντὶ ἀγρώστεως.

148 ἀφάκη θάμνος ἐστὶν ἐν ἀρούραις φυόμενος, φακοῦ ὑψηλότερος, λεπτόφυλλος, τὰ δὲ ἀπ᾽ αὐτοῦ θυλάκια μείζονα τῶν τοῦ φακοῦ, περιεκτικὰ σπερματίων τριῶν ἢ τεσσάρων μελάνων, μικροτέρων φακοῦ.

δύναμιν δὲ ἔχει τὰ σπερμάτια στυπτικήν, ὅθεν ἵστησι ῥεῦμα κοιλίας καὶ στομάχου φρυγόμενα καὶ ἑψόμενα ὥσπερ φακός.

149 πράσον κεφαλωτὸν φυσῶδες, κακόχυμον, δυσόνει-

148 RV: ἀφάκη.

149 RV: πράσον κηπαῖον· οἱ δὲ κεφαλωτόν, Ῥωμαῖοι πόρρουμ.

3 SIM. Theophr. h. pl. VIII 1, 4. 5, 3 (saepius); Arist. h. a. VIII 10, 71; Phanias (Ath. IX 406c); Pl. XXVII 38 (e S. N.); Hes. s. v.

3 EXC. cf. Gal. VI 550; XI 843.

10 SIM. [Hipp.] π. δ. II 54 (VI 558); Pl. XX 44sq. (unde Garg. M. 21 aliis e Gal. D. additis); Sim. S. s. v. — Pl. XX 47 — D. eup. II 112 (312) — — Pl. 47 — Pl. 47 eup. I 43 (114) — Pl. 44 eup. II 75 (287) — Pl. 44 eup. II 31 (243) — Pl. 48 (ex Hippocr.) eup. II 80 (293) — Pl. 44 eup. I 210 (203) — Pl. 47 eup. II 96 (300) — Pl. 46 eup. II 38 (251) — Pl. 49 — Pl. 45. 46 eup. II 117 (318) — Pl. 45 eup. I 57 (120) — Pl. 45 eup. I 63 (125) — Pl. 44 — Pl. 46. 48 eup. II 30 (239).

10 EXC. Gal. VI 658sq. Aet. I s. v. Paul. Aeg. VII 3 s. v.; Geop. XII 29, 8. 9.

10 TEST. Garg. M. 21: ideoque *Dioscorides* haec in eo vitia percenset quod inflationes stomachi excitet, sucos inutiles generet, vesicam vulneret, caligines incutiat. Paul. Aeg. VII 3 s. v. πράσον· κακόχυμόν ἐστι καὶ δριμύ, ὡς δέ φησι Διοσκουρίδης, καὶ δυσόνειρον, εὐκοίλιον, οὐρητικόν, λεπτυντικόν.

1 ὠφέλιμον πρὸς N ὅλως H: ὅλους F: ὅλῃ reliqui 2 ἀντὶ ἀγρώστεως om. N

3 num. cap. $\overline{\sigma o \zeta}$ FDi: $\overline{\sigma o \eta}$ H: $\overline{\rho \nu \zeta}$ E ἀφάκης E θαμνίον RDi φυόμενον ἐν ἀρούραις RDi: φυόμενος ἐν ἀρούραις E φακοῦ] καυλὸς R 4 ὑψηλός R: ὑψηλότερον Di: ὑψηλοτέρα H λεπτόφυλλον Di ἀπ᾽ αὐτοῦ RQ: ἐπ᾽ αὐτοῦ EDi θυλάκια] φυόμενα Di μείζω E 5 τῶν om. RDi σπερμάτων E: ΟΠΕΡΙ3 (sic) C: om. N 6 μεγάλων HDi: *semina sunt nigriora et minora lenticula* Pl. l. s. μικρῶ δὲ δριμυτέρο(ω superscr.)ν· ἢ καὶ μικροτέρων E (μικρῶ — καὶ del. E^2) 7 σπέρματα CE ἐπέχει R 8 ρεῦματα (sic) E φρυττόμενα QDi: φρ///υγόμενα E (1 litt. del. E^2): ἐρειγύμενα R post φρυγ. add. καὶ ἐρεσσόμενα H: καὶ ἐρεγόμενα F: ἐρεικόμενά τε Di: dittogr. om. EDI ὡς H 9 φακούς F

10 num. cap. $\overline{\sigma o \eta}$ FDi: $\overline{\sigma o \vartheta}$ H: $\overline{\rho \nu \eta}$ E post κεφαλωτὸν syn. e R add. Di, post λεπτυντικόν H κακόχυλον R

11 C fol. 63^v: N 23 κοινῶς ἀφακία add. C (m. rec.)

12 C fol. 277^v: N 123 (charta laesa) πράσον ἢ κεφαλ⟨ωτόν⟩ N (ch. laes.)

ρον, οὐρητικόν, εὐκοίλιον, λεπτυντικόν, ἀμβλυωπίας ποιητικόν,
καταμηνίων ἀγωγόν, βλαπτικὸν κύστεως εἱλκωμένης καὶ νεφρῶν,
συνεψηθὲν δὲ πτισάνῃ καὶ βρωθὲν ἀνάγει τὰ ἐκ θώρακος. ἡ
δὲ κόμη αὐτοῦ ἑψηθεῖσα ἐν θαλάσσῃ καὶ ὄξει εἰς ἐγκάθισμα
χρησιμεύει πρὸς μύσιν καὶ σκληρίαν ὑστέρας· ἀπογλυκαίνεται
δὲ καὶ ἀφυσότερον γίνεται δυσὶν ὕδασιν ἑψηθὲν καὶ ἀποβραχὲν
ἐν ὕδατι ψυχρῷ. τὸ δὲ καρτὸν δριμύτερον, ἔχον τι καὶ στύ- 2
ψεως, ὅθεν αἷμα ὁ χυλὸς αὐτοῦ ἵστησι σὺν ὄξει, καὶ μάλιστα
τὸ ἐκ μυκτήρων φερόμενον, μάννης ἢ λιβανωτοῦ μιγέντος, ἀφρο-
δίσιά τε παρορμᾷ, καὶ πρὸς τὰ ἐν θώρακι πάντα σὺν μέλιτι
ἀντὶ ἐκλεικτοῦ ποιεῖ καὶ πρὸς φθίσεις· καθαίρει δὲ καὶ τὴν
ἀρτηρίαν βρωθέν. ἐσθιόμενον δὲ συνεχῶς ἀμαυρωτικὸν ὄψεως
γίνεται, καὶ κακοστόμαχον δέ ἐστιν. ἀρήγει καὶ θηριοδήκτοις 3
σὺν μελικράτῳ πινόμενος ὁ χυλός, καὶ αὐτὸ δὲ καταπλασσό-
μενον ὠφελεῖ· βοηθεῖ καὶ ὠταλγίαις ὁ χυλὸς καὶ ἤχοις σὺν
ὄξει καὶ λιβανωτῷ ἢ γάλακτι ἢ ῥοδίνῳ ἐνσταγείς. αἴρει δὲ καὶ
ἰόνθους τὰ φύλλα σὺν ῥοὶ τῷ ἐπὶ τὰ ὄψα καταπλασθέντα, καὶ
ἐπινυκτίδας ἰᾶται, ἐσχάρας τε περιρρήττει σὺν ἁλσὶν ἐπιπλατ-
τόμενα. τοῦ μέντοι σπέρματος δραχμαὶ δύο μετὰ μύρτων ἴσων
ποθεῖσαι τὰς χρονίους ἀναγωγὰς τοῦ αἵματος ἐπέχουσιν.

150 ἀμπελόπρασον κακοστομαχώτερον ⟨μὲν⟩ τοῦ πρά-

---

150 RV: λυκόσκορδον· οἱ δὲ ἀμπελόπρασον, οἱ δὲ ἀρητιάς,

---

19 TEST. Garg. M. 21: *Dioscorides* ad eandem causam profluvii septem seminis scripulos cum myrti bacis pari pondere in potione dandos putat.

21 SIM. Pl. XXIV 136 (e S. N.) D. II 112 (311) II 115 (315).

21 EXC. Gal. XI 825 (unde Aet. Paul. Aeg. l. s.); Hes. s. v.

---

1 *ἀμβλ. ποιητικόν* om. R 2 *ἡλκωμένης* QDi 3 *μετὰ πτιοάνης* R *ἢ βρωθὲν ἄλλως* RE *ἄγει* R 4 *κοπὴ* F 5 *σκλη.* abhinc deest N (charta laesa) 6 *ἀφυσώτερον* F: *ἀφυσσώτερον* H 7 *ἐν* om. R *ψυχρῷ ὕδατι* E *τὸ δὲ καρτὸν* FCE² (*καρπόν* E): *ὁ δὲ καρπὸς* HDi *δριμύτερος* HDi: *δριμύτατον* C *ἔχον δέ τι* CE 8 *αἷμα*] *καὶ* C 9 *μάνης* F 10 *πρὸς* om. CDi *τῷ θώρακι* C 11 *ἀντὶ ἐκλεικτοῦ*] *ἔκλεικτον* E post *ἐκλ.* dist. Di *καθαίρει — ἀρτηρίαν* om. Q, at cf. Dl *arterias purgat*, Pl. XX 49 *arteriae vitia sanat* 13 *δὲ ἐστιν* om. CE 14 *μελικράτῳ* FCEGeop. l. s.: *μέλιτι* reliqui *αὐτὰ δὲ καταπλασσόμενα* C 15 *βοηθεῖ δὲ καὶ* E *ὁ χυλὸς* om. CE 16 *λιβάνῳ* Geop. l. s. *καὶ γάλακτι* FDi: *ἢ γάλακτι* CEHDlGeop. *ἢ* (alt.)] *καὶ* E 17 *σὺν ῥύπον* C: *μετὰ ῥοῦ* Di 18 *ἁλσὶν λείοις* E *ἐπιπλαττόμενον* Q: fort. *ἐπιπαττόμενα* 19 *μετὰ* om. C 20 *ἐπαγωγὰς* C

21 num. cap. $\overline{\sigma o \vartheta}$ QDi: $\overline{\rho \nu \vartheta}$ E *ἀμπελόπρασοσον* E *καὶ κακοστ.* F (ditt.) *μὲν* addidi ex C: *δὲ* N: om. reliqui *τοῦτο τοῦ* R

22 C fol. 209r: N 112 (mg. add. m. rec. *porum silvaticum*) *ἀρητιάς* libri: suspectum

σου, θερμαντικώτερον δὲ καὶ οὐρητικώτερον, καταμηνίων ἀγωγόν. θηριοδήκτοις δὲ βιβρωσκόμενον ἁρμόζει.

151 κρόμυον· δριμύτερον τὸ μακρὸν τοῦ στρογγύλου καὶ τὸ ξανθὸν τοῦ λευκοῦ καὶ τὸ ξηρὸν τοῦ χλωροῦ καὶ τὸ ὠμὸν τοῦ ὀπτοῦ καὶ ταριχηροῦ. ἔστι δὲ ἅπαντα δηκτικὰ καὶ πνευματωτικά, ὀρέξεως ἐκκλητικά, λεπτυντικά, διψώδη, ἀσώδη, ἀποκαθαρτικά, εὐκοίλια, ἀναστομωτικὰ ἐκκρίσεων τῶν τε ἄλλων καὶ αἱμορροίδων, ἀντὶ βαλάνου δὲ προστίθεται λεπισθέντα καὶ εἰς ἔλαιον ἐμβληθέντα. ὁ δὲ χυλὸς ἐγχριόμενος σὺν μέλιτι βοηθεῖ ἀμβλυωπίαις, ἀργέμοις, νεφελίοις καὶ ἀρχομένοις ὑποχεῖσθαι καὶ συναγχικοῖς διαχρισθείς· κινεῖ καὶ καταμήνια, ἔγχυτός τε διὰ ῥινὸς καθαρτικὸς κεφαλῆς, κυνοδήκτοις τε κατά-

2 πλασμα μεθ' ἁλὸς καὶ πηγάνου καὶ μέλιτος. σὺν ὄξει δὲ ἐν ἡλίῳ καταχρισθεὶς ἀλφοὺς ἰᾶται, μετ' ἴσου δὲ σποδίου ψωρο-

---

οἱ δὲ ἀμακρῶτις, Ῥωμαῖοι ἀριτίλλουμ, οἱ δὲ πόρρουμ ῥούστικουμ, Ἄφροι σουμαγδεβάλ.

151 RV: κρόμυον· οἱ δὲ πολύειδος, προφῆται καλαβῶτις, Ῥωμαῖοι κήπαμ.

---

3 SIM. [Hipp.] π. δ. II 54 (VI 556); Pl. XX 39 (unde Garg. M. 27 aliis e Gal. D. additis); Sim. S. s. v. — Pl. XX 42. 43 — D. eup. I 41 (112) — Pl. 39. 40 eup. I 56 (119) — D. eup. I 14 (100) — Pl. XX 39 eup. II 113 (313) — eup. I 119 (152) — eup. I 122 (154) — Pl. 40 eup. I 63 (125) — Pl. 40 eup. I 60 (123) — eup. I 65 (126) — Pl. 41 eup. I 95 (141) — Pl. 43 (aliter) — eup. II 112 (312).

3 EXC. Gal. XII 48 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

3 TEST. Garg. M. 27: *Dioscorides* putat ex cibo earum sitim accendi, inflationes fieri, caput praegravari.

12 TEST. Garg. M. 27: *Dioscorides* eum sale et ruta caninis morsibus suadet inponi.

---

1 *οὐρητικόν* R *ἀγωγόν* om. R 2 *καὶ θηριοδήκτοις* (om. *δὲ*) R

3 num. cap. $\overline{σπ}$ QDi: $\overline{ρξ}$ E initio e R syn. add. Di, post *ταριχηροῦ* H 4 *χλωροῦ*] *ὑδροῦ* E 5 *καὶ* (pr.)] *ἢ* E *πάντα* RE 6 *ἐκλυτικά* H *λεπτυντικά* post *ἀσώδη* colloc. H 7 *ἐκκρίσεως* F 8 *δὲ*] *τε* R *προστίθενται* E 9 *ἐμβληθέντα*] *βαπτιζόμενα* R: *βαπτόμενα* E 10 *βοηθεῖ*] *χρήσιμος* RE: om. FDi *ἀμβλυωποῦσιν* RE *νεφελίοις*] *βλεφάροις* R *ὑπονλοῦσθαι* C: *ὑπονλισθαι* N: *ὑποχέεσθαι* E 11 *διάχριστος* R *κινεῖ τε* (om. *καὶ*) Di *καταμήνια ἄγει* CDi *ἐγχυθεὶς δὲ ταῖς ῥισὶ* (*ῥ* add. E[2])E: *ἐγχυθείς τε διὰ ῥινὸς* H: *ἔγχυτός τε καθαρτικὸς διὰ ῥινὸς* Di: *ἐν κύστι τε καθαρτικαῖς* (*καθαρτικοῖς* N) *καὶ κεφαλῆς* R 12 *διὰ ῥινὸς* om. F *καὶ καθαρτικὸς* E (dittogr.) *κυνοδήκτων τε* RE 13 *δὲ ἐν*] *ὅθεν ἐν* R 14 *ψωροφθαλμίαν* R: *ψωροφθαλμίαν καὶ ξηροφθαλμίαν* E

15 *ἀμακρωτις* libri: corruptum, fort. *ἀμάκραστις*, cf. Theophr. h. pl. VII 5, 4 *ἀριτίλλουμ* libri: correxi, cf. Herm. XXXIII 383 *ὄπουμ* R: correxi

17 C fol. 186r: N 84

φθαλμίας παύει, καὶ ἰόνθους σὺν ἁλσὶ στέλλει. σὺν ὀρνιθείῳ δὲ στέατι πρὸς ἐκτρίμματα ὑποδημάτων χρήσιμος καὶ πρὸς δυσηκοίαν καὶ συριγμοὺς καὶ πυορροοῦντα ὦτα ὁ χυλὸς καὶ ὕδατος ⟨ἐν⟩απολήμψεις, καὶ πρὸς ἀλωπεκίας παρατριβόμενος· τάχιον γὰρ ἀλκυονίου προκαλεῖται τρίχας· ἔστι δὲ καὶ κεφαλαλγές. πλείονα δὲ βρωθέντα ἐν νόσοις ληθάργους ποιεῖ, ἑψηθέντα δὲ οὐρητικώτερα γίνεται.

152 σκόρδον τὸ μέν ⟨τί⟩ ἐστιν ἥμερον καὶ κηπευτόν, καὶ

---

152 RV: σκόρδον ὁμοίως· οἱ δὲ ὑοβόσκον, οἱ δὲ ἐλαφοβόσκον, Ῥωμαῖοι ἄλιουμ.

RV: ὀφιόσκορδον· Ῥωμαῖοι ἄλιουμ κολοβρίνουμ, οἱ δὲ ἄλιουμ βιπερίνουμ. τὸ δὲ ὀφιοσκόρδον καλούμενον δύναμιν ἔχει δριμεῖαν, θερμαντικὴν κτλ.

RV: ἐλαφόσκορδον· οἱ δὲ ἀγριόσκορδον, οἱ δὲ καὶ τοῦτο ὀφιόσκορδον καλοῦσιν, Ῥωμαῖοι ἄλιουμ κερβίνουμ. φύεται ἐν

---

8 SIM. Pl. XX 50 (unde Garg. M. 18, 150, cf. Ps. Orib. I 121 ∾ A. Mai VII 426) cf. Pl. XIX 111. [Hipp.] περὶ διαίτης II 54 (VI 556) [Hipp.] περὶ παθ. 54 (VI 264); Theophr. h. pl. VII 4, 11 sq. Ruf. 534 (ed. Ruelle); Sim. S. 100 (e Gal. Ruf. aliis).

8 EXC. Orib. XII s. v. (σκόρδον — καλούμενον); Geop. XII 30, cf. Gal. XII 126 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

---

1 σὺν ἁλσὶ om. RE 2 δὲ om. RE καὶ πρὸς (pr.) RE ἐκθλίμματα R: παρατρίμματα E χρήσιμον RE fort. ὁ χυλὸς post χρήσιμος transponendum post χρήσιμος add. καὶ πρὸς ῥύσιν κοιλίας R: καὶ πρὸς ῥεῦσιν κοιλίας Di: post δυσηκοίαν add. καὶ πρὸς χύσιν κοιλίας E καὶ πρὸς add. E² (χρήσ. δὲ E, δὲ del. E²) 3 δυσηκοΐας E: δυσουρίαν R καὶ πρὸς τὰς ἀπολήψεις τῶν ὑδάτων τῶν ἐν τοῖς ὠσὶν ἁρμόζει Di 4 ἐναπολήμψεις scripsi coll. D. eup. I 65 (126) 5 γὰρ om. H, in ras. E² τὰς τρίχας E καὶ om. Di (τὸ κρόμμυον post δὲ add.), post καὶ c. 3 litt. del. E² κεφαλαλγει (η superscr.) E 6 πλεονασθέντα δὲ Q: πλεῖον βρωθὲν (βρωθέντα N) RDi ἐν — ποιεῖ om. R post νόσοις c. 5 litt. del. E² ληθαργικοὺς E ἑψηθὲν δὲ οὐρητικώτερον γίνεται C 7 in fine add. τοῦτο τοίνυν ἑψηθὲν ἑφθὸν (sic) καὶ καταπλασθὲν σὺν σταφίδι ἢ σύκῳ φύματα πέττει καὶ διαρρήσσει τάχιστα Di: τὸ αὐτὸ κρόμμυον σὺν σταφίδι ἢ σύκῳ ἑφθὸν καταπλασθὲν φύματα πέττει καὶ διαρρήσσει H

8 num. cap. σπα QDi: ρξα E cap. ter habet R s. v. σκόρδον, ὀφιόσκορδον, ἐλαφόσκορδον σκόρδον· οἱ δὲ γύβοσκον, οἱ δὲ ἐλαφόβοσκον, Ῥωμαῖοι ἄλιουμ initio e R interpol. Di σκόρδον δὲ E τί addidi e RE² καὶ (pr.)] τὸ δὲ EOrib. (corr. O²) καὶ (alt.) om. RE

9 C fol. 316ᵛ: N 152 γύβοσκον libri: correxi 11 C fol. 249ʳ (charta laesa): N fol. 117 (*alium argentinum* add. m. rec.) fort. κολουβρίνουμ 14 C. fol. 116ʳ: N fol. 68: post l. III c. 38 cap. interpol. AH² (in mg.) οἱ δὲ καὶ τοῦτο — καλοῦσιν om. C 15 φύεται — ὀφιόσκορδον om. N

τοῦτο ἐν Αἰγύπτῳ μονοκέφαλον καὶ λευκόν. καλοῦσι δὲ τὰς ἐν αὐτῷ ῥᾶγας ἄγλιθας. ἔστι δὲ καὶ ἄλλο ἄγριον, ὀφιόσκορδον καλούμενον.

δύναμιν δὲ ἔχει δριμεῖαν, θερμαντικήν, ἐκκριτικὴν φυσῶν
καὶ κοιλίας ταρακτικήν, ξηραντικὴν στομάχου καὶ δίψης ποιη-
2 τικήν, ἑλκωτικὴν τῶν ἐν τῇ ἐπιφανείᾳ σωμάτων. βιβρωσκό-
μενον δὲ ἕλμιν πλατεῖαν ἐξάγει καὶ οὖρα ἄγει, ἐχεοδήκτοις τε
καὶ αἱμορροοῦσιν ἁρμόζει, ὡς οὐδὲν ἕτερον, λαμβανομένου οἴνου
συνεχῶς ἢ σὺν τῷ οἴνῳ λεανθὲν καὶ ποθέν. καταπλάσσεται

ὀρεινοῖς καὶ τραχέσιν χωρίοις, ἐμφερὲς τῷ ὀφιοσκόρδῳ. δύναμιν δὲ ἔχει δριμεῖαν, θερμαντικήν, δηκτικήν, φυσώδη, κοιλίας ταρακτικήν, ξηραντικὴν στομάχου καὶ ποιητικὴν δίψους, ἑλκωτικὴν τῶν ἐν τῇ ἐπιφανείᾳ σωμάτων. βιβρωσκόμενον δὲ ἕλμιν πλατεῖαν ἐξάγει καὶ οὖρα ἄγει, ἐχεοδήκτοις τε καὶ αἱμορροοῦσιν ὡς οὐδὲν ἕτερον ἁρμόζει, λαμβανομένου οἴνου συνεχῶς ἢ σὺν τῷ οἴνῳ λεανθὲν καὶ ποθέν· καταπλάσσεται καὶ πρός τε ταὐτὰ καὶ ἐπὶ τῶν λυσσοδήκτων ὠφελίμως.

---

4 SIM. Pl. XX 57 — Pl. 54 D. eup. II 66 (281) — Zop. (Orib. II 566) eup. II 109 (306) — Pl. 50 eup. II 115 (315) — Pl. 50 eup. II 118 (318) — Pl. 50 eup. II 113 (313) — Pl. 50 — Pl. 54 eup. I 93 (139) — Pl. 54. 56 eup. II 31 (243) — Pl. 54 — Pl. 55 eup. I 56 (119) — eup. I 95 (141) — eup. I 105 (146) — Pl. 55. 51 eup. I 129 (159).

---

1 *καὶ* om. ROrib.E post *μονοκέφαλον* haec habet Di *ἐστιν ὥσπερ τὸ πράσον, γλυκύ, ἐμπόρφυρον, μικρόν, τὸ δὲ λοιπὸν μέγα, πολυκέφαλον, λευκὸν δὲ — καλούμενον* om. R 2 *ἀγλεῖχας* E: *γέλγεις* Theophr. l. s., cf. Gal. XIX 69, Hes. s. v. *ἀγλίδια, γέλγιθες*, *Foes* oec. Hippocr. *δὲ τι ἄγριον* E 4 *δύναμις δὲ αὐτῶν δριμεῖα* (*δριμέα* R), *θερμαντική δηκτική* (*ἐκκριτική* add. Di), *φυσώδης* (*φυσώδη* R), *κοιλίας ταρακτική* (. . *ήν* C) *ξηραντικὴ* (. . *ήν* R) *στομάχου καὶ* (om. NDi) *ποιητικὴ* (. . *ήν* C) *δίψους* (*δίψης ποιητικὴ* Di) RDi post *θερμαντικήν* haec habet E *στομαχικήν. ξηραντικήν στομάχου· ποιητικὴν δίψους· τῶν ἐν τῇ ἐπιφανία ἑλκωτικὸν σωμάτων*, at cf. DI *virtus est ei viscida et inflatilis, calida, ventrem turbat, stomachum siccat, sitim commovet, corpora vulnerat* 5 post *ποιητικήν* add. *ἐμνευματώσεως ἀλλοιωτικὴν καὶ ἐπιφανείας ὀμμάτων ἀμβλυωτικήν* H: *ἐμπνευματώσεως ἀλλοιωτικὴ καὶ ἐπιφανεία σωμάτων βιβρωσκόμενα· τὰ αὐτὰ δὲ ποιεῖ καὶ τὸ ὀφιόσκορδον, ὃ καὶ ἐλαφόσκορδον λέγεται* Di 7 *δὲ — βιβρωσκόμενον δὲ* (219, 2) om Q *δὲ* om. Di *ἕλμινθας πλατείας* Di *ἐξάγει*] *ἐκτινάσσει* N *ἄγει*] *κατάγει* Di *ἐχιοδήκτοις* Di *τε*] *δὲ* CE 8 post *αἱμορρο.* extr. fol. 25 cod. E vocab. unum folium periit, incipit rursus cod. c. 156 *ἁρμόζει* post *ἕτερον* transpos. R

10 *ἐμφερὲς τῷ ὀφ.* H²A: *ἐμφερὲς ὡς τὸ ὀφ.* C 12 *ἑλκωτικὴν — σωμάτων* om. C 14 *ἐξάγει* C: *ἐκτινάσσει* N *τε*] *δὲ* C 16 *καταπλάσσεται δὲ ταὐτὰ* N 17 post *ὠφελίμως* add. N, quae in cap. de alio sequuntur

δὲ καὶ πρός τε ταὐτὰ καὶ ἐπὶ τῶν λυσσοδήκτων ὠφελίμως, καὶ βιβρωσκόμενον δὲ ὀνίνησι, καὶ πρὸς τοὺς ξενισμοὺς τῶν ὑδάτων ἁρμόζει· λαμπρύνει καὶ ἀρτηρίας καὶ βῆχας χρονίας παρηγορεῖ, ὠμόν τε καὶ ὀπτὸν καὶ ἑφθὸν ἐσθιόμενον, καὶ κτείνει φθεῖρας καὶ κονίδας σὺν ὀριγάνου ἀφεψήματι πινόμενον. καὲν δὲ καὶ 3
φυραθὲν μέλιτι ὑπώπια καὶ ἀλωπεκίας ἰᾶται καταχριόμενον, ἐπὶ δὲ τῶν ἀλωπεκιῶν σὺν ναρδίνῳ μύρῳ, σὺν ἁλσὶ δὲ καὶ ἐλαίῳ ἐξανθήματα θεραπεύει· ἀφίστησι δὲ καὶ φακοὺς καὶ λειχῆνας καὶ ἀχῶρας, πίτυρα, ἀλφούς, λέπρας σὺν μέλιτι. μετὰ δᾳδίου δὲ καὶ λιβανωτοῦ καθεψηθὲν τὰς ὀδονταλγίας διακρατούμενον ἐν τῷ στόματι κουφίζει, μυγαλῆς τέ ἐστι κατάπλασμα σὺν συκῆς φύλλοις καὶ κυμίνῳ. τῆς δὲ κόμης τὸ ἀπόζεμα ἐγκάθισμα ἐμμήνων καὶ δευτέρων ἀγωγόν, καὶ ὑποθυμιᾶται δὲ πρὸς τὰ αὐτά. τὸ δὲ ἐξ αὐτοῦ καὶ τῆς μελαίνης ἐλαίας γινόμενον τρίμμα, καλούμενον δὲ μυττωτόν, βιβρωσκόμενον οὔρησιν κινεῖ καὶ ἀναστομοῖ, χρήσιμον δὲ καὶ ὑδρωπιῶσίν ἐστιν.

153 σκορδόπρασον φύεται ὡς πράσον μέγα, μετέχον τῆς τοῦ πράσου καὶ σκόρδου ποιότητος, ὅθεν καὶ τὴν δύναμιν

---

153 RV: σκορδόπρασον.

---

10 SIM. Pl. 53 D. eup. I 69 (128) — Pl. 50 eup. II 123 (321) — Hippocr. (Pl. 51) Zop. (Orib. II 599) eup. II 75. 78. 79 (287. 291. 292) — Diocl. (frg. 48. 164) eup. II 63 (277).

17 EXC. Orib. XII s. v. (σκορδόπρασον — ποιότητος); cf. Gal. XII 126.

---

1 δὲ καὶ om. R (s. v. σκόρδον): καὶ (pr.) om. Di ταῦτα libri: correxi 2 δὲ om. R ξενισμοὺς post ἁρμόζει colloc. R 3 ἁρμόζει om. H λαμπρύνει post ἀρτηρίας transpos. R καὶ (pr.)] om. Di: τε N (s. v. ἐλαφόσκορδον) χρονίους H 4 καὶ ὀπτὸν om. HDi: καὶ ἑφθὸν om. R (καὶ ἑφθόν superscr. N s. v. ἐλαφόσκορδον): *coctu et crudu comestu* Dl καὶ (tert.) om. RDi φθεῖρας καὶ (om. C) κονίδας φθείρει R: φθεῖρας δὲ καὶ κονίδας φθ. Di 5 ἀφεψήματι ὀριγάνου R ἐὰν δὲ καὶ φυραθῇ μέλιτι R 6 μέλιτι φυραθὲν Di 7 δὲ (pr.) om. F καὶ ἁλσὶ καὶ ἐλαίῳ QDi: σὺν ἁλσίν τε (δὲ N) καὶ R: *cum oleo nardo mixtus et sale papellas corporis tollet* Dl, at verba σὺν ναρδίνῳ μύρῳ cum antecedentibus esse coniungenda docet D. eup. I 95 (141) καὶ ἐλαίῳ] inc. extr. fol. 171 cod. P 8 φακοὺς] ἀλφοὺς RDi 9 post λειχῆνας add. καὶ φακοὺς Di ἀχῶράς τε (om. καὶ) Di καὶ πίτυρα καὶ λέπρας Di: πίτυρα καὶ (om. C) λέπρας R σὺν μίλτῳ καὶ λιβανωτῷ (. . τοῦ C) ἑψηθέντα R 10 ἑψηθὲν Di: ἑψηθέντα H: καθεψηθέντα PF: correxi ὀδονταλγίαν H διακρατούμενα R 11 ἐν om. Di 12 φύλλων (i. e. φύλλῳ) R ἀφέψημα Q 14 πρὸς τὸ αὐτὸ δὲ καὶ ὑποθυμιᾶται Di τὸ αὐτὸ RDi 15 μεντωτὸν F: μύρτον HDi, cf. Gal. XIX 124. Orib. I 617 (Dar.) βιβρωσκόμενον om. Q 16 ὑδρωπικοῖς Di ἐστιν om. RDi

17 num. cap. σπβ ODi, cap. om. E μετέχον δὲ R 18 τοῦ σκόρδου καὶ πράσου R: τοῦ σκόρδου καὶ τοῦ πράσου Di τοῦ om. Orib. σκορόδου Orib. H 19 C fol. 314v: N 152

μικτὴν ἔχει, ποιοῦν ὅσα καὶ τὸ πράσον καὶ τὸ σκόρδον, ἀνειμένως μέντοι. λαχανεύεται δὲ εἰς βρῶσιν ὡς τὸ πράσον ἑψόμενον καὶ ἀπογλυκαινόμενον.

154 σίνηπι ἢ νᾶπυ· ἐκλέγου τὸ μὴ κατάξηρον καὶ καπυρόν, ἁδρὸν δὲ καὶ θλασθὲν ἔνδοθεν χλωρὸν καὶ οἱονεὶ ἔγχυλον, γλαυκόν· πρόσφατον γὰρ καὶ ἀκμαῖον τὸ τοιοῦτον.

δύναται δὲ θερμαίνειν, λεπτύνειν, ἐπισπᾶσθαι, ἀποφλεγματίζειν διαμασηθέν. μιγεὶς δὲ ὁ χυλὸς αὐτοῦ ὑδρομέλιτι ἢ οἰνομέλιτι πρὸς ἀντιάδας καὶ τὰς χρονίους τραχύτητας τῆς
2 ἀρτηρίας καὶ τυλώδεις ἀναγαργαριζόμενος ἁρμόζει. προσαχθὲν δὲ τοῖς μυκτῆρσι λεῖον πταρμοὺς κινεῖ, καὶ ἐπιληπτικοὺς καὶ ὑστερικῶς πνιγομένας διεγείρει, καὶ ἐπὶ ληθαργικῶν καταπλάσσεται ξυρηθείσης τῆς κεφαλῆς. μιγὲν δὲ σύκοις καὶ ἐπιτεθὲν ἄχρι φοινίξεως ἁρμόζει πρὸς ἰσχιάδας, σπλῆνας καὶ καθόλου

---

154 RV: σίνηπι κηπαῖον· οἱ δὲ νᾶπυ, Ῥωμαῖοι σινᾶπε⟨μ⟩. RV: σίνηπι ἄγριον ἢ καὶ σκόρδιον μέγα, οἱ δὲ ἀνδρεῖον, Ῥωμαῖοι σινᾶπε⟨μ⟩ ῥούστικα⟨μ⟩,

---

4 SIM. Pl. XX 236 sq. cf. XIX 171. Garg. M. 29, 164 (e Pl. et Diosc.) Sim. S. s. v. 102, cf. Ath. IX 366 a sq. Antyll. (Orib. II 411) — [Hipp.] *περὶ διαίτης* II 54 (558) Ruf. 547 (Ruelle) — Pl. XX 236 D. eup. I 5 (97) — eup. I 92 (139), cf. Pl. 237 — eup. I 4 (96) — Pl. 238 eup. I 20 (104) I 14 (100) II 87 (296) — Pl. 238 eup. I 211 (221) — eup. II 62 (275) — Pl. 239 eup. I 95 (140) — Pl. 240 eup. I 56 (119) — Pl. 239, cf. eup. I 123 (155) — eup. I 64 (126) — I 63 (124) — Pl. 239, cf. Ath. IX 367 a.

4 EXC. Orib. XII s. v. (*σίνηπι — τοιοῦτον, χυλίζεται — ἡλίῳ*); cf. Aet. I s. v. (e Gal. XII 85 aliis aliunde additis); Hes. s. v. *νᾶπυ*.

8 TEST. Alex. Tr. II 139 (P.).

---

1 *ἔχει μικτὴν* R *τὸ σκόρδον* (*σκόροδον* HDi) *καὶ τὸ πράσον* RQDi 2 *εἰς βρῶσιν* post *πράσον* transpos. C, om. N

4 num. cap. *σπγ* ODi, cap. om. E *σίνιπι* F: *σίνηπι κηπαῖον, οἱ δὲ νάπυ, Ῥωμαῖοι σινάπε* e R add. Di *ἢ νᾶπυ* om. Orib. *καπυρόν*] *κατάπυρον* Orib.: *κατάπυρρον* Di 5 *ἁδρὸν ὃ δὴ δασθὲν* R: *ἁδρόν, ὃ δὴ θλασθὲν* Di: *ἁδρόν, ἀλλ' ὃ δὴ θλασθὲν* H: *δὲ* (om. *ἁδρὸν*) *ὃ δὴ θλασθὲν* Orib., ad rem cf. Aet. I s. v. 6 *γλαυκόν* om. ROrib., at cf. Dl *sucum dimittens velut viride* *τοιοῦτο* ROrib. 8 *αὐτῶν* R post *αὐτοῦ* habet *μετὰ μέλιτος* R, *μελικράτῳ* D. eup. I 928 (139) *ἢ οἰνομέλιτι* om. HDi 9 *χρονίας* N 10 *ἀναγαργάρισμα* R 11 *καὶ* (pr.) om. Di: *καὶ ἐπιληπτικοὺς* om R *ἐπιληπτικοῖς* F: *ἐπιληπτικοῖς* (*τε* add. Di) *βοηθεῖ* HDi 12 *ὑστερικὰς* R *καταπλάσσεται — ἀλωπεκίας* om. R 13 *ξυριν θείσης* H 14 *καὶ σπλῆνας* Di

15 C fol. 309ᵛ: N 139 (*sinapis domestica* add. m. rec.) *σινηπαῖον* C *σιναπε* RHDi: correxi

16 C fol. 310ᵛ: N 139 (*sinapis silvestris* add. m. rec.) *σινήπιον* C *καὶ* om. NC (fol. 311ʳ) *μέγα* om. NC (fol. 311ʳ) *ἄνδριον* C 17 *σιναπερουστικα* R

πᾶν χρόνιον ἄλγημα, ὅπου μεταγαγεῖν τι ἐκ βάθους εἰς τὴν ἐπιφάνειαν βουλόμεθα τῷ τῆς ἑτεροπαθείας λόγῳ· θεραπεύει καὶ ἀλωπεκίας καταπλασθέν, πρόσωπόν τε καθαίρει καὶ ὑπώπια αἴρει σὺν μέλιτι ἢ στέατι ἢ κηρωτῇ. σὺν ὄξει δὲ πρὸς 3 λέπρας καὶ λειχῆνας ἀγρίους περιχρίεται· πίνεται δὲ καὶ πρὸς περιόδους ξηρὸν ὡς ἄλφιτα ἐπιπασσόμενον τῷ ποτῷ, ἐπισπαστικαῖς τε ἐμπλάστροις καὶ ψωρικαῖς μείγνυται χρησίμως, δυσηκοίαις τε καὶ ἤχοις λεῖον ἐντιθέμενον τῇ ἀκοῇ μετὰ σύκου ὠφελεῖ. ὁ δὲ χυλὸς αὐτοῦ σὺν μέλιτι ἁρμόζει πρός τε ἀμβλυωπίας καὶ τραχέα βλέφαρα ἐγχριόμενος. χυλίζεται δὲ ἔτι χλωρὸν ⟨ὂν⟩ τὸ σπέρμα, καὶ τὸ ἀποθλιφθὲν ξηραίνεται ἐν ἡλίῳ.

155 κάρδαμον δοκεῖ κάλλιστον εἶναι τὸ ἐν Βαβυλῶνι. παντὸς δὲ τὸ σπέρμα θερμαντικόν, δριμύ, κακοστόμαχον, κοι-

---

155 RV: κάρδαμον· οἱ δὲ κυνοκάρδαμον, οἱ δὲ ἰβηρίς, οἱ δὲ καρδαμίνη, Αἰγύπτιοι σεμέθ, Ῥωμαῖοι ναστούρκιουμ.

---

12 SIM. Pl. XX 127 sq. (e S. N.); schol. Nic. Th. 41 (e S. N.); Garg. Mart. 13 (146 R e Pl. aliis aliunde adscitis) ∾ A. Mai VII 416; Geop. XII 27 (e Pl.); Ps. Ap. 21; Ps. Orib. III 69 ∾ A. Mai VII 442; Isid. XVII 10, 17 (e Pl. XIX 155) — Nic. Th. 877 cum schol. Pl. XX 130 — [Hipp.] περὶ διαίτ. II 54 (VI 558) — Cels. II 22 Pl. 127 — Cels. II 22 — Cels. II 29 — Pl. 128 D. eup. II 66 (28) — Cels. IV 16 Pl. 129. eup. II 62 (275) — Zop. (Orib. II 598) eup. II 77 (290) — Pl. 127 eup. II 96 (300) — Pl. 130 eup. I 128 (158) — Pl 129 D. eup. I 172 (183) — [Hipp.] l. s. Zop. (Orib. II 569) Pl. 128 — Nic. Th. 41 Pl. 129 eup. II 115 (317) — eup. I 96 (141) — Pl. 130 — Zop. (Orib. II 589) Pl. 128 eup. I 147 (168) — Pl. 129 eup. I 144 (166).

12 EXC. cf. Gal. XII 11 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

---

1 *μετάγειν* Di *ἐκ βάθους* om. P: *ἐκ τοῦ βάθους* Di: post *ἐπιφάνειαν* transpos. Q (mg. add. falso loco in textum irrepsit), cf. Dl *omnibus causis temporalibus ex alto non reversurum humorem auri revalet*, D. IV 153 (299, 14) 3 *τε*] *δὲ* Di 4 *ἢ* (alt.) om. C: *στέατος κηρωτῇ* N 5 *καταχρίεται* C: *καταχρισθεῖσα* N *δὲ καὶ* om. C, *δὲ* om. N 6 *ξηρὸν δὲ ὡς ἄλφιτον καταπλασσόμενον* (om. *τῷ ποτῷ*) R *ἐπισπαστικὸν καὶ πλάστοις* (*καὶ πλ.* om. N) *καὶ ψωρικαῖς* R 7 *μείγνυται δὲ δυσκόλως δυσηκόοις* C: *μίγνυται δυσηκοίαις* N 8 *ἐπιτιθέμενον* HDi, cf. D. eup. I 64 (126) *καὶ τὸ διὰ σινήπεως καὶ νίτρου καὶ σύκου ἐντιθέμενον* (sc. *δυσκωφίας θεραπεύει*) 10 *ποιεῖ καὶ πρὸς τραχέα* R *ἔτι χλωρὸν*] *ἔγχλωρον* Orib. 11 *ὂν* addidi *τὸ ἀποθλιφθὲν* PF: om. Orib.: *ἀπολιφθέν* R: *ἀποθλιβέν* HDi

12 num. cap. $\overline{σπδ}$ ODi: cap. om. E post *κάρδαμον* syn. e R add. Di *κάλλιστον μὲν εἶναι δοκεῖ* RDi post *Βαβ.* add. *κάρδαμον* RDi 13 *παντὸς*] *ἀμφοτέρων* RDi: *ab omnibus semen* Dl post *σπέρμα* add. *καθαρτικόν* R

14 C fol 187r: N 87 (*nasturcium* add. m. rec.) *κυνοκάρδαμον*] *cynocar*... (charta laesa) Ps. Ap. (L) *ἰβηρίς*] *iberis* Ps. Ap. 15 *καρδαμιναχαμ* libri: correxi coll. Ps. Ap. *alii cardamina* *σεμέθ*] *sēp* Ps. Ap. (V) *punici cusmin vocant* add. Ps. Ap.

λίαν ταράσσον καὶ ἕλμινθας ἐκτινάσσον, σπλῆνα μειοῦν, ἔμβρυα φθεῖρον καὶ ἔμμηνα κινοῦν, συνουσίαν παρορμῶν· ἔοικε δὲ
2 σινάπει καὶ εὐζώμῳ, ἀποσμήχει λέπρας, λειχῆνας. σὺν μέλιτι δὲ σπλῆνα ταπεινοῖ καταπλασσόμενον καὶ κηρία ἀποκαθαίρει, καὶ τὰ ἐκ θώρακος ἀνάγει ἐγκαθεψόμενον ῥοφήμασιν, ἑρπετοδήκτων τέ ἐστιν ἀντιφάρμακον πινόμενον· θυμιαθὲν δὲ ἑρπετὰ διώκει, τρίχας τε ῥεούσας ἐπέχει καὶ ἄνθρακας περιρρήττει πυοποιοῦν. σὺν ὄξει δὲ καὶ ἀλφίτοις καταπλασθὲν ἰσχιαδικοὺς ὠφελεῖ, καὶ οἰδήματα καὶ φλεγμονὰς διαφορεῖ, δοθιῆνάς τε ἐκπυοῖ σὺν ἅλμῃ καταπλασθέν. καὶ ἡ πόα δὲ τὰ αὐτὰ ποιεῖ, ἔλασσον μέντοι δύναται.

156 θλάσπι βοτάνιόν ἐστι στενὸν τοῖς φύλλοις, ὡς δακτύλου τὸ μῆκος, πεπτωκόσιν ἐπὶ γῆς, ἀκροσχιδέσιν, ὑπολιπάροις· καυλὸν δὲ ἀνίησι λεπτόν, διςπίθαμον, ἀποφυάδας ὀλίγας ἔχοντα, καὶ περὶ ὅλον αὐτὸν καρπὸς ὑπόπλατυς ἐξ ἄκρου, ἐν ᾧ σπερμάτιον ἐμφερὲς καρδάμῳ, δισκοειδές, οἱονεὶ ἐντεθλασμένον, ἐξ

---

156 RV: θλάσπι· οἱ δὲ θλασπίδιον, οἱ δὲ σίνηπι Περσικόν, οἱ δὲ σίνηπι ἄγριον, οἱ δὲ μυῖτιν, οἱ δὲ μυιόπτερον, οἱ δὲ Δημοφῶν, οἱ δὲ βότρυον, Αἰγύπτιοι σουιτέμψου, Ῥωμαῖοι σκανδουλάκιουμ, οἱ δὲ καμψέλλα, οἱ δὲ πέδε⟨μ⟩ γαλλινάκιουμ.

---

12 SIM. Pl. XXVII 139 (e S N.).
12 EXC. Orib. XI s. v. (*θλάσπι — φύεται*); Ps. D. de h. f. 16 (e D. lat.); Gal. XI 886 (unde Aet. I s. v. Paul. Aeg. VII s. v.), cf. Hes. s. v. *θλάσπις*.

---

1 *ἕλμεις* CF: *ἕλμιν* N *ἐκτινάσσει* C *μειοῖ* R *καὶ ἔμβρυα φθείρει* R 2 *καὶ ἔμμηνα κινοῦν* om. PR: *καὶ* om. Di, at cf. Dl *παρορμᾷ* R 3 *σινήπει* HDi *ἀποσμῆχον* R *καὶ λειχῆνας* R 4 *δὲ καὶ* R *τήκει* R in *ἀποκαθαίρει κατὰ* des. P (fol. 171ʳ) 5 *ἄγει* R *καθεψόμενον ἐν ῥοφήμασιν* H: *ἐγκαθεψόμενον ῥοφ.* F (ψ in ζ corr. m. rec.) *ἑρπετῶν* QDi 6 *καὶ θυμιαθὲν* H 7 *διώκει ἑρπετὰ* R *περιρίπτει καὶ πυοποιεῖ* R 8 *δὲ* om. FDi *καταπλασθὲν* post *δὲ* colloc. R 10 *ἐκτήκει* R 11 *ἔλαττον μέντοι γε* R *μέντι* F
12 num. cap. *σπε* QDi, cap. om. PE *θλάσπη* F post *θλάσπι* syn. e R add. Di, post *φύλλοις* H 13 *τὸ μῆκος* R, *τὸ* om. reliqui post *μῆκος* add. *τὰ φύλλα* H *τῆς γῆς* RDi 14 *λεπτὸν ἀνίησι* RDi *δισπιθαμιαῖον* RDi 15 *καὶ* om. R 16 *καρδαμώμῳ* N
17 C fol. 140ᵛ: N 38 (*bursa pastoris* et *apud quosdam sanguinaria* marg. add. m. r.) *σίνηπυ* Di 18 *μυείτην* N: *μυίτην* Di: correxi coll. D. II 139 *οἱ δὲ μυιόπτερον* om. C: *μυόπτερον* Di 19 *δαιμοφῶν* libri: correxi *βοτρον* R: *βίτρον* Di: correxi *σουειτεμψου* C: *σουειτεμσου* N 20 cf. Ed. Diocl. I 8, 64 ed. Blümner, Isid. XVII 3, 11 *κάψελλα* Di ad *πέδεμ γαλλινάκιουμ* cf. D. II 139 Pl. XXV 155

οὗ καὶ τὸ ὄνομα ἔσχηκεν, ἄνθος δὲ ὑπόλευκον· ἐν ὁδοῖς καὶ ἐπὶ θριγκῶν καὶ τειχῶν φύεται.

τὸ δὲ σπέρμα δριμύ, θερμαντικόν, χολὴν ἄνω τε καὶ κάτω 2
καθαῖρον ποθὲν πλῆθος ὀξυβάφου. ἐγκλύζεται δὲ καὶ πρὸς ἰσχιαδικούς, ἄγει δὲ καὶ αἷμα, ποθὲν δὲ καὶ τὰς ἐντὸς ἀποστάσεις ῥήγνυσι· κινεῖ δὲ καὶ καταμήνια καὶ ἔμβρυα φθείρει.

ἱστορεῖται δὲ Κρατεύας καὶ ἕτερον θλάσπι, ὅ τινες Περσικὸν σίνηπι καλοῦσι, πλατύφυλλον καὶ μεγαλόρριζον. καὶ τοῦτο δὲ μείγνυται τοῖς πρὸς ἰσχιάδα διακλυσμοῖς.

157 *δράβη πόα ⟨ἐστὶ⟩ πήχεως τὸ ὕψος, ῥάβδους ἔχουσα λεπτάς· παρ' ἑκάτερα δὲ τὰ φύλλα ὥσπερ λεπιδίου, ἁπαλώτερα δὲ καὶ λευκότερα, ἐπ' ἄκρου δὲ σκιάδιον καθάπερ ἀκτῆς, ἔχον ἄνθη λευκά.*

ταύτης ἡ πόα συνέψεται [τῇ] πτισάνῃ, μάλιστα ⟨δ'⟩ ἐν Καππαδοκίᾳ. ὁ δὲ καρπὸς αὐτῆς ξηρὸς ἀντὶ πεπέρεως μείγνυται τοῖς προσοψήμασιν.

158 *ἐρύσιμον· φύεται μὲν περὶ τὰς πόλεις καὶ οἰκόπεδα*

---

158 RV: *ἐρύσιμον· οἱ δὲ χαμαίπλιον, προφῆται Ἡρακλέους ἄλφιτα, Αἰγύπτιοι ἐρεθμού, Ῥωμαῖοι ἰριώνεμ.*

---

3 SIM. D. eup. I 238 (220) II 77 (289) Pl. l. s.
10 SIM. Pl. XXVII 73 (e S. N. — Crat.).
17 SIM. Theophr. h. pl. VIII 3, 2. 3. 7, 3; Pl. XXII 158 (e S. N.) Hes. s. v. — D. eup. I 31 (243) 33 (245) II 56 (267) I 237 (218) I 148 (169) I 142 (165).
17 EXC. Orib. XI s. v. (*ἐρύσιμον — γεῦσιν*); Gal. XI 877 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

---

1 *τοὔνομα* F *φύεται ἐν ὁδοῖς καὶ τάφροις* N: *ἐν ὁδοῖς καὶ τάφροις φύεται* C: *ἐν ὁδοῖς καὶ θριγγοῖς καὶ τάφροις φυόμενον* Di: *nascitur in semitis, sepibus et septis* Orib. lat.: *nascitur in semitis et septis* Pl. 2 *θριγγῶν* H *τοίχων* H 3 *τὸ δὲ* om. HDi, *δὲ* om. F *δριμὺ καὶ* R 4 *πλῆθος ποθὲν* N *ὀξυβάφου*] abhinc rursus habemus E 5 *δὲ* (pr.) om. Di *δὲ* (alt.) om. RDi, at cf. Gal. *τὰ ἐντὸς ἀποστήματα ῥήσσει ποτιζόμενον . . . καὶ δι' ἕδραν ἐνιέμενον ἰσχιάδας ὀνίνησιν αἱματώδη κινοῦν* 6 *τὰ καταμήνια* F *φθείρει*] *ἄγει* N: *φέρει* C 7 *ἱστορεῖ — διακλυσμοῖς* om. R *ἱστορεῖται* F: *ἱστορεῖ* reliqui *θλάσπιον* E *ὅπερ* E 8 *σίνιπι* F 9 *κλυσμοῖς* E
10 num. cap. *σπϛ* QDi: *ρξϛ* E: cap. iterat s. tit. *περὶ ἀραβίδος* post II c. 185 Di *δράβη*] *βράθυ* E: *brio* Dl *ἡ πόα* Di: *ἡ* om. reliqui *ἐστὶ* addidi *περὶ πῆχυν* EDi *πήχεος* QDi *τὸ* om. H *παρ' ἑκάτερα λεπτάς, φύλλα δὲ* E 11 *δὲ αὐτῶν φύλλα* Di (s. v. *ἀραβίς*): *δὲ τὰ φύλλα* reliqui 12 *ἐπ' ἄκρῳ* E *ἀκτις* QDi: *ἀκτῆς* E (*η* in ras.): *flore candido sabuci* Pl. 13 *ἄνθη ἔχον* E 14 *αὕτη ἡ πόα* E *τῇ* om. HE: delevi *δ'* addidi ex E 15 *πεπέρεος* F *τοῖς* om. E
17 num. cap. *σπζ* QDi: *ρξζ* E post *ἐρύσιμον* syn. e R add. Di, mg. H[2] *φύεται μὲν* RE: *μὲν* om. reliqui *πρὸς* E *καὶ τὰ* N
18 C 104[r]: N 70 (*eruca* mg. add. m. rec.) *χαμαιπλιον*] suspectum, fort. *χαμαιπόλιον* *ἠρακλιους* R 19 *ἐριωνέμ* libri: correxi coll. Pl. XVIII 96. XXII 158

καὶ ἐν κήποις· φύλλα δὲ ὅμοια εὐζώμῳ ἀγρίῳ ἔχει, καυλία ἱμαντώδη, ἄνθη μηλίζοντα· ἐπ᾿ ἄκρων δὲ λοβοὶ κερατοειδεῖς, ἰσχνοί, ὡς τῆλιδος, ἐν οἷς σπερμάτια μικρά, καρδάμῳ παραπλήσια, πυρώδη κατὰ τὴν γεῦσιν, ποιοῦντα πρὸς θώρακος ῥευματισμόν, ἐμπύους, βῆχας, ἴκτερον, ἰσχιάδα ἐκλειχόμενα σὺν μέλιτι· πίνεται καὶ πρὸς τὰ θανάσιμα φάρμακα. καταπλασσόμενον δὲ μεθ᾿ ὕδατος ἢ μέλιτος ὠφελεῖ καρκινώματα κρυπτά, σκληρίας, παρωτίδας, διδύμων καὶ μαστῶν φλεγμονάς, λεπτύνει τε καθ᾿ ὅλον καὶ θερμαίνει. ἐπιεικέστερον δὲ γίνεται εἰς τὰ ἐκλείγματα, ἀποβραχὲν ὕδατι καὶ φωχθὲν ἢ ἐνδεθὲν εἰς ὀθόνιον καὶ ὀπτηθὲν στέατος περιπλασθέντος.

159 πέπερι δένδρον ἱστορεῖται φυόμενον ἐν Ἰνδίᾳ, καρπὸν δὲ ἀνίησι κατ᾿ ἀρχὰς μὲν προμήκη καθάπερ λοβούς, ὅπερ ἐστὶ ⟨τὸ⟩ μακρὸν πέπερι, ἔχον τὸ ἐντὸς κέγχρῳ παραπλήσιον, τὸ μέλλον ἔσεσθαι τέλειον πέπερι, ὅπερ κατὰ τοὺς οἰκείους ἀναπλούμενον χρόνους βότρυας ἀνίησι, κόκκους φέροντας οἷον ἐρρυσωμένους, τοὺς δὲ καὶ ὀμφακώδεις, οἵτινές εἰσι τὸ λευκὸν πέπερι, εὐτεθοῦν μάλιστα εἰς τὰ ὀφθαλμικὰ καὶ ἀντιδότους
2 καὶ θηριακὰς δυνάμεις. ἔστι δὲ τὸ μὲν μακρὸν διὰ τὸ ἄωρον ἐπιτηδειότερον εἰς τὰς ἀντιδότους καὶ θηριακὰς ⟨δυνάμεις⟩, τὸ

6 TEST. Gal. XI 878: φησὶ δὲ Διοσκουρίδης ὡς καταπλαττόμενον μεθ᾿ ὕδατος ἢ μέλιτος ὀνίνησι τοὺς κρυπτοὺς καρκίνους.

12 SIM. [Theophr.] pl. h. IX 20, 1; Pl. XII 26sq. (e Iuba), cf. Sim. S. s. v. Isid. XVII 8, 8.

12 EXC. Orib. XII s. v. (πέπερι — βρέγμα); Gal. XII 97 (= Aet. I s. v. Paul. Aeg. VII 3 s. v.), cf. Gal. XIV 258.

1 καὶ ἐν κήποις RE: καὶ κήπους Orib.QDi ὅμοια post ἀγρίῳ colloc. RE ἀγρίω εὐζώμω E ἔχει om. Di 2 ἄκρῳ RE: ἄκρον F κερατώδεις R 3 σπέρματα E 5 ἰσχιάδας REHDi ἐκλειχόμενον QRDiE (corr. E²) δὲ σὺν HDi 6 καὶ] δὲ R: δὲ καὶ E τὰ om. R 7 ἢ μέλιτος om. FN: del. E², cf. Gal. l. s. 8 σκληρώματα R παρωτίδων CE (ν in ras. E²) μαστῶν διδύμων CE: μαστῶν παρωτίδας διδύμων N καὶ om. Q 9 τε] δὲ E (post δὲ c. 9 litt. eras. E²) καθ᾿ ὅλον om. F, post καὶ coll. RHDi 10 ἐγκλύσματα Di προβραχὲν REGal.: βραχὲν Di ψυγὲν ἢ φωχθὲν Di 11 σταιτὸς E (at αι in ras.)

12 num. cap. σπη QDi: ρξη E ἱστορεῖται] ἐστὶν E τῇ ἰνδίᾳ E post Ἰνδίᾳ add. βραχύ HDi 13 ὀρόβους E (corr. E²) 14 τὸ addidi ἔχον (τ superscr.) ἐντὸς F: ἔχον τὰ ἐντὸς EOrib. κέγχρῳ λεπτῇ Orib.Di: κέγχρῳ παραπλήσια λεπτῇ E παραπλήσια Orib.E 15 πέπερι τέλειον Orib.E οἰκείους χρόνους et Orib.E: οἰκείους καιροὺς Di 16 βότρυς Orib.Di οἷον ἐρρυσωμένους] οἵους ἴσμεν libri, Orib.: correxi coll. Gal. l. s. ἐκεῖνο (sc. τὸ μέλαν πέπερι) γὰρ οἷον ὑπερωπτημένον ἐστὶν ἤδη καὶ ὑπερεξηραμμένον 18 εἰς] πρὸς E 19 καὶ θηριακὰς — δυνάμεις (v. 20) om. Orib. 20 καὶ ἐπιτήδειον Di δυνάμεις addidi

δὲ μέλαν δριμύτερον τοῦ λευκοῦ καὶ εὐστομώτερον καὶ μᾶλλον ἀρωματίζον διὰ τὸ εἶναι ὥριμον, εὐχρηστότερόν τε εἰς τὰς ἀρτύσεις, τὸ δὲ λευκὸν ὀμφακίζον, ἀσθενέστερον τῶν προειρημένων. ἐκλέγου δὲ τὸ βαρύτατον καὶ πλῆρες, μέλαν, μὴ σφόδρα ῥυσόν, πρόσφατον καὶ μὴ πιτυρῶδες. εὑρίσκεται δέ τι ἐν τῷ μέλανι ἄτροφον, κενὸν καὶ κοῦφον, ὃ καλεῖται βρέγμα.

δύναμιν δὲ ἔχει κοινῶς θερμαντικήν, πεπτικήν, οὐρητικήν, 3 ἐπισπαστικήν, διαφορητικήν, σμηκτικὴν τῶν ταῖς κόραις ἐπισκοτούντων· ἁρμόζει καὶ ῥίγεσι περιοδικοῖς πινόμενον καὶ συγχριόμενον, καὶ θηριοδήκτοις ἀρήγει, ἄγει καὶ ἔμβρυα. ἀτόκιον δὲ εἶναι δοκεῖ μετὰ συνουσίαν προστιθέμενον, βηξί τε καὶ πᾶσι τοῖς περὶ θώρακα πάθεσιν ἁρμόζει, ἔν τε ἐκλεικτοῖς καὶ ποτήμασι λαμβανόμενον, καὶ συνάγχαις ἁρμόζει διαχριόμενον σὺν μέλιτι, καὶ στρόφους λύει πινόμενον μετὰ δάφνης φύλλων ἁπαλῶν. ἀποφλεγματίζει δὲ σὺν σταφίδι διαμασηθέν, ἀνώδυνόν τέ ἐστι καὶ ὑγιεινόν, καὶ ὄρεξιν κινεῖ καὶ πέψει συνεργεῖ μειγνύμενον ἐμβάμμασιν. ἀναληφθὲν δὲ πίσσῃ χοιράδας διαφορεῖ, 4 σμήχει δὲ ἀλφοὺς σὺν νίτρῳ. φώγνυται δὲ ἐν ὀστράκῳ καινῷ ἐπ' ἀνθράκων κινούμενον ὡς φακοί.

ἡ δὲ ῥίζα αὐτοῦ οὐκ ἔστι ζιγγίβερι, καθάπερ ἔνιοι ὑπέλα-

---

4 EXC. Orib. V 77 (*ἐκλέγου — πιτυρῶδες*).

7 SIM. Cels. II 27. 33 — Cels. II 31 D. eup. II 112 (312) — eup. II 22 (235) — eup. II 114 (314) — eup. II 76 (287) — eup. II 31 (242. 243) — eup. II 40 (255) — eup. I 5 (97) — eup. I 154 (173).

18 EXC. Orib. XII s. v. (*φώγνυται — γεῦσιν*).

20 TEST. Gal. XIX 105: *οἱ μὲν γράψαντες τὰς ὀνομασίας τῶν φαρμάκων .... καὶ Διοσκουρίδης ὁ Ἀλεξανδρεὺς Ἰνδικὸν ὀνομάζουσι τὸ ζιγγίβερι, πλανηθέντες ἐκ τοῦ τινας οἴεσθαι ῥίζαν αὐτὸ τοῦ πεπέρεως ὑπάρχειν· ἀλλὰ Διοσκουρίδης ὁ Ἀναζαρβεὺς σαφῶς διώρισέ τε καὶ ἀπεφήνατο περὶ ζιγγιβέρεως καὶ πεπέρεως.*

---

1 *ἥδιον δριμύτερον* Orib.: *ἥδιον καὶ δριμύτερον* EDi: *ἥδιον* superscr. H[2] ad *λευκοῦ* mg. add. *ἰστέον ὡς ὁ γαληνὸς ἐν τοῖς ἁπλοῖς δριμύτερον εἶναι τὸ λευκόν φησι τοῦ μέλανος* Orib.: *ὁ δὲ γαλινός φησιν μᾶλλον τὸ λευκὸν εἶναι δριμύτερον τοῦ μέλανος* E *καὶ* (pr.) — *ἀρτύσεις* om. Orib.E (mg. add. E[2]) *εὐστομώτερον* QE[2]Di: *gratius* Pl.: *εὐστομαχώτερον* Spr. 2 *ἀρωματίζον* post *ὥριμον* colloc. QDi 3 *καὶ ὀμφακίζον* Di 4 *βαρύτερον* Orib.E 5 *πρόσφατον δὲ* HDi 6 *καὶ κενὸν κοῦφον* Orib. *βρέγμα* E (*βρόσομα* superscr. E[2]): *bregma* Pl. l. s.: *βρόσομα* reliqui, cf. Salm. exerc. Pl. 7 *οὐρητικήν, πεπτικήν* HDi 9 *καὶ συγχριόμενον* om. E *τε καὶ συγχρ.* Di 10 *ἀρήγει — ἔμβρυα* om. E 11 *δοκεῖ δὲ καὶ ἀτόκιον εἶναι* EDi 12 *ἁρμόζον* E 13 *διαχριόμενον*] *διάκλυσμα* E 16 *καὶ ὕπνον ποιεῖ καὶ ὄρεξιν* Marc. cod. (?) *κινοῦν* E *πέψει τε* Di *συνεργοῦν* E 17 *ἐν βάμμασιν* EDi 18 *δὲ* (pr.)] *τε καὶ* E *ἀλφὸν* F *ἐπ' ὀστράκου καινοῦ* (om. *ἐπ' ἀνθρ.*) QE: *ἐπ' ὀστράκῳ* Orib. 19 *ὡς φακοί* om. Orib.: *φασίν* DiH[2]: *φακῇ* coni. Cornar.: *κέγχρος* dubitanter coni. Spr. 20 *καθάπερ*] *ὡς* Orib.

βον, ὡς αὐτίκα δηλώσομεν. ἔοικε μέντοι κόστῳ ἡ τοῦ πεπέρεως ῥίζα, θερμαίνουσα τὴν γεῦσιν καὶ ὑγρὰ ἐκκαλουμένη, ταπεινοῖ δὲ σπλῆνα σὺν ὄξει καταπλασσομένη καὶ πινομένη· ἀποφλεγματίζει δὲ μετὰ σταφίδος ἀγρίας μασηθεῖσα.

160 ζιγγίβερι ἴδιόν ἐστι φυτόν, γεννώμενον ἐν τῇ Τρωγλοδυτικῇ ⟨καὶ⟩ Ἀραβίᾳ πλεῖστον, οὗ χρῶνται τῇ χλόῃ εἰς πολλά, καθάπερ ἡμεῖς τῷ πηγάνῳ, ἕψοντες εἰς προποτισμοὺς καὶ εἰς ἑψήματα μίσγοντες. ἔστι δὲ ῥιζία μικρά, ὥσπερ κυπέρου, ὑπόλευκα, πεπερίζοντα τῇ γεύσει καὶ εὐώδη· ἐκλέγου δὲ τὰ ἀτερηδόνιστα. ὑπ᾿ ἐνίων μέντοι γε ταριχεύεται διὰ τὸ εὔσηπτον καὶ διακομίζεται ἐν κεραμίοις εἰς Ἰταλίαν, εὐχρηστοῦν εἰς βρῶσιν· λαμβάνεται δὲ μετὰ ταρίχου.

δύναμιν δὲ ἔχει θερμαντικήν, πεπτικήν, μαλακτικὴν κοιλίας ἐπιεικῶς, εὐστόμαχον· ποιεῖ καὶ πρὸς τὰ ἐπισκοτοῦντα ταῖς κόραις, μείγνυται καὶ ἀντιδότοις, καὶ καθ᾿ ὅλον παρέοικέ πως τῇ τοῦ πεπέρεως δυνάμει.

161 ὑδροπέπερι· φύεται μὲν μάλιστα παρὰ στασίμοις ὕδασιν ἢ ἐπιεικέσι ῥείθροις, καυλὸν δὲ ἀνίησι γονατώδη, περὶ ὃν μασχάλαι, καὶ φύλλα ἡδυόσμῳ ἐοικότα, μείζονα δὲ καὶ λευκότερα καὶ τρυφερώτερα, δριμέα ἐν τῇ γεύσει ὥσπερ τὸ πέπερι, οὐ μὴν ἀρωματίζει. καρπὸν δ᾿ ἔχει ἐπὶ κλωναρίων μικρῶν, ἐκφυόμενον παρὰ τὰ φύλλα, συνεχῆ καὶ βοτρυώδη, δριμὺν καὶ αὐτόν. ῥίζαν δ᾿ ἔχει μικράν, ἄχρηστον.

---

5 SIM. Pl. XII 28 (e Iuba), cf. Cels. V 23, 3.
5 EXC. Orib. XI s. v. (*ζιγγίβερι — ταρίχου*), cf. Gal. XI 880.
17 EXC. Orib. XII s. v. (*ὑδροπέπερι — δριμύν*), cf. Gal. XII 147.

---

1 *τῷ κόστῳ* E 2 *ῥίζα* om. E: *ἡ τοῦ π. ῥ.* om. Orib. *θερμαίνει δὲ* Orib. *προσκαλουμένη* Di 3 *καὶ πινομένη* om. QE, at cf. Dl *et bibita id facere potest* 4 *ἀγρίας* om. FE: *cum stafis agria* Dl

4 num. cap. *σπθ* QDi: *ρξθ* E *ζιγγίβερις* Di 6 *καὶ* add. Sarac. coll. Pl. l. s. 7 *προπομάτισμοὺς* F: *πομάτισμοὺς* H 8 *εἰς* om. Di *ἕψημα* Q: *τὰ προσοψήματα* E *μίσγοντες* H: *μιγνύντες* EDi: *σμίγοντες* F *κυπείρου* HDi 9 *καὶ* om. E 10 *γε* om. QDi 11 *τὴν ἰταλίαν* EDi *εὐχρηστοῦν δὲ* H: *εὐχρηστοῦντα* coni. Sarac. 13 *πεπτικήν, θερμαντικήν* E 14 *δὲ καὶ* E 15 *μείγνυται δὲ καὶ* E

17 num. cap. *σϙ* QDi: *ρο* E *μὲν* om. Orib. *παρὰ* (*περὶ* superscr. pr. m.) Orib.: *περὶ τοῖς στασίμοις* (om. *ὕδασιν*) E 18 *τόποις ῥίθροις* E (*τόποις* del. E[2]) *δὲ* om. Orib. *γονατοειδῆ* E post *γονατώδη* add. *στερεόν* EHDi 19 *ὧν* F *ἐοικότα ἡδυόσμῳ* Di *παρεοικότα* Orib. 20 *δριμύτερα* Orib. 21 *ἀρωματίζει* FEOrib.: *ἀρωματίζοντα* reliqui 22 *καὶ* (pr.) om. Orib. *καὶ αὐτόν* om. Orib. 23 verba *ῥίζαν — ἄχρηστον*, quae in fine cap. libri habent, huc transposui *πικρὰν ἢ μικρὰν* E (corr. E[2])

δύναται δὲ τὰ φύλλα σὺν τῷ καρπῷ καταπλασσόμενα οἰδήματα καὶ χρονίους σκληρίας διαφορεῖν ὑπώπιά τε ἀποκαθαίρειν. ξηρανθέντα δὲ καὶ κοπέντα μείγνυται ἀντὶ πεπέρεως ἁλσὶ καὶ προσοψήμασι.

162 πταρμική θαμνίον ἐστί, κλῶνας ἔχον μικρούς, πολλούς, περιφερεῖς, ὁμοίους ἀβροτόνῳ, περὶ οὓς φύλλα ἐπιμήκη, ἐοικότα τοῖς τῆς ἐλαίας, πολλά· ἐπ' ἄκρῳ δὲ ὥσπερ ἀνθεμίδος κεφάλιον μικρόν, περιφερές, δριμὺ κατὰ τὴν ὀσμήν, ἐρεθιστικὸν πταρμοῦ, ὅθεν καὶ ὠνόμασται.

δύναμιν δὲ ἔχει καταπλασσόμενα τὰ φύλλα μετὰ τῶν ἀνθῶν ὑπώπια αἴρειν. τὰ δὲ ἄνθη πταρμοὺς ἐνεργέστατα κινεῖ. φύεται δὲ ἐν ὀρεινοῖς καὶ πετρώδεσι τόποις.

163 στρούθιον, ᾧ οἱ ἐριοπλύται χρῶνται πρὸς κάθαρσιν τῶν ἐρίων, γνώριμόν ἐστιν, οὗ ἡ ῥίζα δριμεῖα καὶ οὐρητική, βοηθοῦσα ἡπατικοῖς, βηξίν, ὀρθοπνοίαις, ἰκτέρῳ σὺν μέλιτι κοχλιαρίου πλῆθος λαμβανομένη, κοιλίαν τε ὑπάγει. σὺν δὲ

163 RV: στρούθιον· οἱ δὲ κέδρον, οἱ δὲ κάθαρσις, οἱ δὲ στρουθοκάμηλος, οἱ δὲ χαμαίρρυτον, προφῆται χαλίρρυτον, Ῥωμαῖοι ῥάδιξ σανάρια, οἱ δὲ ἕρβα λανάρια, Αἰγύπτιοι οἰνώ, Ἄφροι σοιρίς.

---

5 EXC. Orib. XII s. v. (*πταρμική — πταρμοῦ*); Gal. XII 108 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

11 SIM. D. eup. I 4 (96).

13 SIM. Pl. XXIV 96 (e S. N.), cf. XIX 48; Theophr. h. pl. VI 4, 3. 8, 3 — Pl. l. s. 96 D. eup. II 112 (312) — Pl. 97 — Pl. 96 eup. II 39 (252) — Pl. 96 eup. II 56 (268) — Pl. 96 — Pl. 97 eup. II 111 (310) — eup. II 61 (274) — Pl. 96 eup. II 78 (292) — Pl. l. s. eup. I 129 (159) — Pl. 97 eup. I 149 (170) — Pl. 97 eup. I 41 (112) — Pl. 97 eup. I4 (96) — eup. I 5 (97).

13 EXC. Ps. D. de h. f. 55; Gal. XII 131 (unde Aet. I s. v.); Isid. XVII 9, 56 (e Dl.).

---

1 *καταπλασθέντα* E 2 *καὶ* om. H *ἀποκαθαίρειν* Di: *ἀποκαθαίρει* E: *διαφορεῖν* reliqui 3 *δὲ* om. E: *τε* Q post *μείγνυται* del. *δὲ* E[2]

5 num. cap. *σϙα* QDi: *ροα* E *μικρούς* om. Orib. E post *πολλούς* add. *λεπτούς* Orib. EDl 7 *πολλά* om. Orib. 8 *ἐρεθίζον πταρμούς* Orib.: *ἐρεθίζον καὶ κινοῦν πταρμούς* E 10 *δύναται* EDi 11 *ἐνεργέστατα* E: *ἐναργέστατα* reliqui

13 num. cap. *σϙβ* QDi: *ροβ* E post *στρούθιον* syn. e R add. Di, mg. add. H[2] 14 *καὶ* om. NE *οὐρητικὴ καὶ κινητική* E (*καὶ κιν.* del. E[2])
15 *βοηθεῖ δὲ* Di *ἥπατι καὶ* E *ὀρθοπνοίαις, ἰκτέρῳ* om. Q: *ὀρθοπνοίαις· βηξίν· ἰκτέρῳ* E: *ὀρθοπνοίας σὺν μέλιτι καὶ ἰκτέρῳ* C: *ἰκτέρῳ* om. Di, at cf. Ps. D. de h. f. *hepaticis, tussientibus, suspiriosis, ictericis*, Pl. l. s. D. eup. l. s. 16 *πινόμενον* R: *λαμβανομένη ἢ πινομένη* E (*ἢ πιν.* del. E[2]) *ὑγιάζει* RE (corr. E[2])

17 C fol. 295r: N 136 18 *χαμαίρυτρον* R: *χαμαίρρυτρον* Di: correxi *χαλίρυτον* R: *χαλίρρυτον* H[2]Di 19 *λαναρα* R, cf. Scrib. Larg. 10. Isid. l. s.
20 *σοιρα* C (*ι* add. m. rec.): *σοιρις* N: *συρίς* H[2]Di

πάνακι καὶ καππάρεως ῥίζῃ λημφθὲν λίθους θρύπτει καὶ ἐξουρεῖν ποιεῖ καὶ σπλῆνα ἐσκιρρωμένον τήκει, προστεθὲν δὲ ἔμμηνα ἄγει καὶ ἔμβρυα φθείρει ἐνεργῶς, σὺν ἀλφίτῳ δὲ καὶ ὄξει καταπλασθὲν λέπρας αἴρει· διαφορεῖ καὶ τὰ φύματα σὺν ἀλεύρῳ κριθίνῳ καὶ οἴνῳ ἑψηθέν. μείγνυται δὲ καὶ κολλυρίοις ὀξυδερκέσι καὶ μαλάγμασι· κινεῖ δὲ καὶ πταρμούς, καὶ εἰς τὰς ῥῖνας δὲ ἐγχεόμενον λεῖον μετὰ μέλιτος καθαίρει διὰ στόματος.

164 κυκλάμινος· φύλλα ἔχει ὅμοια κισσῷ, ποικίλα δὲ κάτωθεν καὶ ἄνωθεν κηλῖσιν ὑπολεύκοις, καυλὸν δὲ τετραδάκτυλον, γυμνόν, ἐφ' οὗ ἄνθη ῥοδοειδῆ, πορφυρίζοντα, ῥίζαν μέλαιναν, γογγυλίδι παραπλησίαν, ὑπόπλατυν, ἥτις ποθεῖσα μεθ' ὑδρομέλιτος ἄγει φλέγμα καὶ ὕδωρ κάτω, καὶ ἔμμηνα δὲ κινεῖ πινομένη καὶ προστιθεμένη. φασὶ δὲ ὅτι, κἂν ὑπερβῇ τὴν ῥίζαν ἐγκύμων γυνή, ἐξαμβλώσκειν αὐτήν· ἔστι δὲ καὶ ὠκυ-

---

164 RV: κυκλάμινος· οἱ δὲ κισσάνθεμον, οἱ δὲ κισσόφυλλον, οἱ δὲ χελ⟨ιδ⟩όνιον, οἱ δὲ ἰχθυοθήρα, οἱ δὲ Κυλλήνη, Ζωροάστρης Στυμφαλῖτις, Ὀσθάνης ἀσφώ, προφῆται μυασφώ, Αἰγύπτιοι θέσκε, Ῥωμαῖοι ῥάπουμ τέρραι, οἱ δὲ οὐμβιλίκουμ τέρραι, οἱ δὲ ῥάπουμ πορκίνουμ, οἱ δὲ οὐρσίνουμ, οἱ δὲ ἀρχαρά.

---

8 SIM. [Theophr.] h. pl. IX 9, 3. Pl. XXV 114sq. (e S. N.); Ps. Ap. 18; schol. Theocr. V 123; Hes. s. v. — Pl. XXVI 54 — [Theophr.] l. s. Pl. XXV 115. XXVI 155. D. eup. II 78 (291).

8 EXC. Orib. XI s. v. (*κυκλάμινος — ὑπόπλατυν*); Gal. XII 50 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.); Ps. Orib. V 63.

---

2 *καὶ* om. NE *σπλῆνας ἐσκιρωμένους* CE 3 *ἐνεργῶς* E: *ἐν ἐρίῳ* R: *ἐναργῶς* reliqui 4 *λέπραν* H *καὶ διαφορεῖ καὶ* RE *τὰ* om. RE 5 *δὲ* om. RE 6 *ὀξυδερκικοῖς* E: *ὀξυδορκικοῖς* R *δὲ* om. N 7 *ῥίζας* (*ν* superscr.) F *δὲ* om. R, del. E[2] *διὰ στόματος καθαίρει* RE

8 num. cap. *σϙγ* QDi: *ρογ* E *κυκλάμεινον* E post *κυκλάμινος* syn. c R add. Di, mg. H[2] *πορφυρᾶ, ποικίλα* Di: *πορφυρᾶ* superscr. H[2] *δὲ* om. F: post *κάτωθεν* colloc. HDi 9 *ἄνωθεν καὶ κάτωθεν* NOrib. *κηλῖσιν ὑπολ.* om. R *καυλία* R *δὲ* om. RH 10 *ἄνθη ἐν τῷ λευκῷ πορφυροειδῆ* R 12 *δὲ* om. N 13 *πινομένη καὶ* om. R: *προστιθεμένη καὶ πινομένη* E *ὅτι* om. RE, cf. D. I 116 *ἂν* Di 14 *ἔγκυος* R *ἐξαμβλώσκειν* RE: *ἐξαμβλώττειν* reliqui *ἀτόκιον* FR: *ὠκυτόκιον* HEDi [Theophr.] l. s.: *partus accelerat . . . cyclaminus adalligata* Pl. XXVI 161

15 C fol. 165r: N 47 (*malum terrae* mg. add. m. rec.) *κισσάνθημον* N 16 *χελώνιον* R: *χελόνιον* Di: correxi ad *ἰχθυοθήρα* cf. Plin. XXV 116 *κυλλήνη* R: *κυλίνην* Di: suspectum *ζωροάστης* N: *ζωρόαστρις* Di 17 *ἡ τριμφαλίτης* Di: *τρυμφαλίτις* R: correxi *μηασφώ* Di 18 *θεοκε* R *rapum terrae* Ps. Ap. *ἰνβιλίκουμ* NDi 19 *οἱ δὲ ῥάπουμ — οὐρσίνουμ* om. Di *rapum porcinum* Ps. Ap. *θυ(ρ* add. N)*βηλουμ* R: correxi *οἱ δὲ* (tert.) vix recte, cf. Ps. Ap.

τόκιον περιαπτομένη. πίνεται δὲ ⟨καὶ⟩ πρὸς τὰ θανάσιμα μετ' οἴνου, καὶ μάλιστα πρὸς λαγωὸν θαλάσσιον, καὶ ἑρπετῶν ἐστιν ἀντιφάρμακον καταπλασσομένη, μεθύσκει τε οἴνῳ μειχθεῖσα.
ἀποκαθίστησι δὲ καὶ ἴκτερον τριῶν δραχμῶν πλῆθος ποθεῖσα 2
μετὰ γλυκέος ἢ μελικράτου ὑδαροῦς — κατακλίνειν δὲ δεῖ τὸν πίνοντα ἐν οἴκῳ θερμῷ καὶ πλείοσιν ἱματίοις περιβάλλειν, ὅπως ἱδρώσῃ· ὁ δὲ ἀποκρινόμενος ἱδρὼς χολώδης εὑρίσκεται τῇ χρόᾳ — ἐγχυματίζεταί τε ὁ χυλὸς αὐτῆς μετὰ μέλιτος εἰς τὰς ῥῖνας πρὸς κάθαρσιν κεφαλῆς, καὶ τῷ δακτυλίῳ ἐν ἐρίῳ προστίθεται πρὸς κομιδὴν περιττωμάτων. καταχρισθέντος δὲ αὐτοῦ ἐπ' ὀμφαλοῦ καὶ ὑπογαστρίου καὶ ἰσχίου κοιλίαν μαλάσσει καὶ ἐκτρωσμοὺς ἐργάζεται, καὶ πρὸς τοὺς ὑποκεχυμένους καὶ ἀμβλυωποῦντας ἐγχριόμενος ὁ χυλὸς σὺν μέλιτι ἁρμόζει· μείγνυται καὶ εἰς τὰ φθόρια, ἕδραν τε προπεσοῦσαν σὺν ὄξει καταχριόμενος [ὁ χυλὸς]
καθίστησι. χυλίζεται δὲ ἡ ῥίζα κοπτομένη καὶ ἐκθλιβομένη, 3
ἑψομένου τοῦ χυλοῦ ἄχρι μελιτώδους συστάσεως. ῥύπτει δὲ καὶ χρῶτα ἡ ῥίζα καὶ ἐξανθήματα στέλλει, καὶ τραύματα μετ' ὄξους καὶ καθ' ἑαυτὴν καὶ μετὰ μέλιτος ἰᾶται. καταπλασσομένη δὲ καὶ σπλῆνα τήκει, ἀποκαθαίρει δὲ καὶ ἔφηλιν καὶ ἀλω-

---

1 SIM. [Theophr.] l. s. Pl. XXVI 161 D. eup. II 94 (298) — Pl. XXV 125 eup. II 156 (333) — Pl. XXV 114 eup. II 115 (317) — [Theophr.] l. s. Pl. XXV 115 eup. I 25 (106) — Pl. XXVI 124 eup. II 56 (267) — [Theophr.] l. s. eup. I 3 (96) Asclep. (Gal. XII 583) — Pl. XXV 143 — eup. I 41 (112) — Pl. XXVI 90 — eup. I 109 (148) — Pl. XXVI 144 eup. I 162 (178) — eup. II 61 (273). — eup. I 95 (141) — Pl. XXVI 100 — [Theophr.] l. s. Pl. XXV 134 — Pl. XXVI 100 eup. I 179 (189) — Pl. XXVI 106 eup. I 181 (189) — Pl. XXV 115 — [Theophr.] l. s.

---

1 *καὶ* addidi e RE 2 *θαλάσσιον λαγωόν* Q 3 *τε*] *δὲ* R *μιχθεῖσα οἴνῳ* RE 4 *ἀποκαθίστησιν* E: *ἵστησι* Di: *καθίστησι* reliqui *ποθεῖσα πλῆθος δραχμῶν τριῶν* R 5 *γλυκέος ὕδατος* C *ὑδαροῦς* om. R: *ὑδαροῦ* F *δεῖ* om. R *τὸν πίνοντα* om. QRE 6 *περιβάλειν* E 7 *ἀφιδρώσῃ* E: *ἱδρῶσιν* N *χολώδης* post *χρόᾳ* colloc. R 8 *τε*] *δὲ* R *μετὰ μέλιτος* om. R 9 *κεφαλαλγίας* R *καὶ — ἐργάζεται* om. R 10 *αὐτοῦ ἐπ'* om. E 11 *μαλάσσει*] *ταράττει* E: *ventrem mollit* Dl *ἐντρόμους* F: *abortum facit* Dl 12 post *ἀμβλ.* add. *ὀφθαλμοὺς* Di 13 *μετὰ τοῦ* (om. N) *μέλιτος ὠφελεῖ* RE *δὲ καὶ* RE 14 *τε*] *δὲ* QEDi *προσπετοῦσαν* E *καταχριόμενον* E *ὁ χυλὸς* om. EDi, delevi 15 *θλιβομένη* RE (corr. E²) 16 *ἕψεται δὲ ἄχρι* C: *καὶ ἕψεται ἄχρι* N *θρύπτει* R 17 *χρώματα* R *καταστέλλει* RE *τραύματα μετὰ μέλιτος καὶ καθ' ἑαυτὴν* R 18 *καθ' ἑαυτήν τε* (om. *καὶ* pr.) Di, cf. Pl. XXVI 144 19 *δὲ* (pr.) om. R *ἰᾶται δὲ καὶ ἀποκαθαίρει ἔφηλιν* E: *ἰᾶται δὲ καὶ ἔφηλιν καὶ ἀλ. ὠφελεῖ* R *ἀλωπεκίαν* RE

πεκίας, εὐθετεῖ δὲ καὶ πρὸς στρέμματα καὶ ποδάγραν. τὸ δὲ ἀφέψημα αὐτῆς ποιεῖ πρὸς τὰ ἐν τῇ κεφαλῇ ἑλκύδρια καὶ χιμέτλας καταντλούμενον, αὐτή τε δι' ἐλαίου παλαιοῦ ἀνα-
4 ζεσθεῖσα ⟨ἀπουλοῖ⟩ καταχριομένου τοῦ ἐλαίου. ἐγκοιλανθεῖσα δὲ πληροῦται τοῦ ἐλαίου καὶ τίθεται ἐπὶ θερμοσποδιᾶς, προσεμβάλλεται δὲ ἐνίοτε καὶ κηροῦ Τυρρηνικοῦ ὀλίγον, ὡς γλοιῶδες γενέσθαι, κατάχρισμα ἄριστον χιμετλιῶσιν. ἀποτίθεται δὲ ἡ ῥίζα τμηθεῖσα ὥσπερ σκίλλα. ἱστορεῖται δὲ καὶ πρὸς φίλτρα αὐτὴν λαμβάνεσθαι καεῖσαν ἀναπλασθεῖσάν τε εἰς τροχίσκους. φύεται δὲ ἐν συσκίοις τόποις, μάλιστα δὲ ὑπὸ τὰ δένδρα.

165 κυκλάμινος ἑτέρα, ἣν ἔνιοι κισσάνθεμον καλοῦσι, φύλλα ἔχει κισσῷ ἐοικότα, ἐλάσσονα δέ, καυλοὺς παχεῖς, γονατώδεις, περιελισσομένους τοῖς παρακειμένοις δένδρεσιν ἑλικοειδῶς, ἄνθη λευκά, εὐώδη. καρπὸς δὲ ὡς ῥᾶγες σταφυλῆς, ὅμοιος κισσῷ, μαλακός, δριμὺς ἐν τῇ γεύσει ἠρέμα καὶ γλίσχρος, ῥίζα ἄχρηστος. φύεται δὲ ἐν τραχέσι χωρίοις.

ταύτης ὁ καρπὸς ὅσον δραχμῆς μιᾶς πλῆθος πινόμενος μετ' οἴνου λευκοῦ κυάθων δυεῖν πλῆθος ἐπὶ ἡμέρας τεσσαράκοντα σπλῆνα τήκει δι' οὔρων καὶ κοιλίας δαπανώμενον· πίνεται δὲ καὶ πρὸς ὀρθόπνοιαν, καὶ τὰ ἐκ τοκετῶν καθαίρει ποθείς.

---

165 RV: *κυκλάμινος ἑτέρα, ἣν ἔνιοι κισσάνθεμον ἢ κισσόφυλλον καλοῦσι.*

---

7 EXC. Orib. XI s. v. (*ἀποτίθεται — σκίλλα, φύεται — δένδρα*).

11 SIM. Pl. XXV 116 (e S. N.) — D. eup. II 61 (273) Pl. XXVI 76 — Pl. XXVI 34 eup. II 39 (253) — Pl. XXVI 156. 161 eup. II 57 (289).

11 EXC. Orib. XI s. v. (*κυκλάμινος — χωρίοις*); Gal. XII 61.

---

1 *εὐθετεῖ δὲ* om. R *δὲ* (pr.) om. E *ποδάγρας* ER post *ποδάγραν* haec habet R *καὶ τὰ ἐν κεφαλῇ ἑλκύδρια καὶ χεμέθλας· φύεται δὲ κτλ.*: *καὶ τὰ ἐν κεφαλῇ ἑλκύδρια καὶ χίμετλαν* (*α* Di) *τὸ ἀφέψημα αὐτῆς καταντλούμενον* EDi 3 *τε*] *δὲ* E *μετ' ἐλαίου* E 4 *ἀπουλοῖ* addidi e RDi 5 *δὲ*] *τε* Q *θερμοσποδιᾶ* E 6 *ὡς — χιμετλιῶσιν* om· E 8 *δὲ αὐτὴ* (*ν* add. E^{2}) *καὶ πρὸς φ. λαμβάνεσθαι* E 9 *καεῖσαν* E: *κοπεῖσαν* reliqui, cf. [Theophr.] l. s. *καὶ ἀναπλασθεῖσαν τε* E (*τε* del. E^{2}) 10 *δὲ* (pr.) om. Orib. *καtασκίοις* E *δὲ* (alt.) om. NEOrib. *δένδρη* R

11 num. cap. $\overline{\sigma\varsigma\delta}$ QDi: $\overline{\rho o\delta}$ E *κυκλάμινον ἑτέραν* E (corr. E^{2}) post *κισσ.* add. e R *ἢ κισσόφυλλον* Di 12 *ὅμοια* ROrib. *καὶ καυλοὺς* Orib. 13 *περιελιττομένους* ROrib. *δένδροις* E *λευκοειδῆ* R 14 post *δὲ* add. *εὐώδης* E *ῥῶγες* R: *ῥάξ* Orib. 15 *δριμὺς*] *γλυκύς· ἄλλοι δὲ δριμὺς ἱστόρεισαν* E: *δριμὺς* post *γεύσει* colloc. Orib. *ῥίζα δὲ* EOrib. 16 *γίνεται* E *δὲ* om. Orib.CDi 17 *ὅσον* < *α'* *πλῆθος* HDi *μιᾶς* om. R 18 *κυάθων* $\overline{\beta}$ (om. *πλῆθος*) RDi *δυεῖν* E: *δύο* reliqui 20 *ὁ καρπὸς πρὸς* C *καὶ τὰ ἐκ τούτων* RE (*τὰς ἐκ τόκων* corr. E^{2}): *τὰς ἐκ τοκετῶν* reliqui: correxi *ποθεῖσα* libri: corr. Sarac.

21 C fol. 152^{r}: N 47 *κισσάνθημον* R *καὶ ταύτην* post *κισσόφυλλον* add. N

166 δρακόντιον· φύλλα ἔχει κισσοειδῆ, μεγάλα, σπίλους ἔχοντα λευκούς, καυλὸν δὲ ὀρθόν, δίπηχυν, ποικίλον, ὀφιοειδῆ, διαπόρφυρον τοῖς σπίλοις, βακτηρίας τὸ πάχος· καρπὸς δὲ ἐπ᾽ ἄκρου βοτρυοειδής, χρώματι τὸ μὲν πρῶτον χλοώδης, πεπανθεὶς δὲ κροκίζων, ἐπιδάκνων τὴν γεῦσιν, ῥίζα ποσῶς στρογγύλη, βολβοειδής, ὁμοία ἄρῳ, φλοιὸν ἔχουσα λεπτόν. φύεται ἐν συσκίοις ⟨τόποις⟩ περὶ φραγμοὺς καὶ αἱμασιάς.

δύναμιν δὲ ἔχει ὁ καρπὸς χυλισθεὶς καὶ ἐγχυματισθεὶς μετ᾽ ἐλαίου εἰς τὸ οὖς ὠταλγίαν παύειν, εἰς δὲ τὰς ῥῖνας ἐντιθέμενος ἐν ἐρίῳ πώλυπας δαπανᾶν, καταχριόμενος δὲ στέλλειν καὶ καρκινώματα. ποθέντες δὲ ὅσον τριάκοντα κόκκοι μετ᾽ 2 ὀξυκράτου ἐξαμβλώσκουσι, καὶ τὴν ὀσμὴν δέ φασι κατὰ τὸν μαρασμὸν τῆς ἀνθήσεως τῶν ἄρτι συνειλημμένων ἐμβρύων φθόριον εἶναι. ἡ δὲ ῥίζα θερμαντικὴ οὖσα βοηθεῖ ὀρθοπνοίαις,

166 RV: δρακοντία μεγάλη· οἱ δὲ ἄρον, οἱ δὲ ἴσαρον, οἱ δὲ ἴαρον, οἱ δὲ ἱεράκιος, οἱ δὲ ἄμι ἄγριον, οἱ δὲ κύπερις, Ῥωμαῖοι κόλουβρουμ, οἱ δὲ μουράριαμ, οἱ δὲ σεγιτάλις, οἱ δὲ στρουμάριαμ. φύεται ἐν συσκίοις καὶ φραγμοῖς. καυλὸν δὲ ἔχει λεῖον ὀρθόν, ὡς διπηχυαῖον, παχὺν ὡς βακτηρίαν, ποικίλον

1 SIM. Theophr. h. pl. VII 12, 2; IX 20, 3; Pl. XXIV 142sq. XIX 96; Ps. Ap. 15.

1 EXC. Orib. XI s. v. (interpol.); Ps. D. de h. f. 44 (∼ A. Mai VII 452, cf. Isid. XVII 9, 35); Gal. XI 864 (unde Aet. I. s. v. Paul. Aeg. VII 3 s. v.).

8 SIM. Pl. XXIV 145 D. eup. I 57 (120) — Pl. 146 eup. I 159 (175) — Pl. 146 — Pl. 143 eup. II 77 (289) — Pl. 145 eup. II 39 (252) — [Theophr.] IX 20, 3 Pl. 145 eup. II 31 (242) 32 (244) — Pl. 143 eup. I 35 (248) — Pl. 144 eup. II 112 (311) — eup. II 97 (301) — Pl. 146 eup. I 203 (198) — Pl. 146 eup. I 78 (292).

1 num. cap. σϛε Q: ροε E cap. *περὶ δρακοντίας μεγάλης* (σϥε) e R interpolavit Di, quod excipit cap. Dioscurideum *δρακοντία ἑτέρα* Di *ἔχει τὰ φύλλα* E: *ἔχει φύλλα* Di 3 post *διαπόρφυρον* iter. *ποικιλον* VF 4 *βοτρυώδης* QEDi post *πρῶτον* c. 10 litt., post *χλοώδης* c. 5 litt. del. E[2] 5 *ἡ ῥίζα* E *ποσῶς* om. Di 6 *ἄρῳ*] *ῥαφάνῳ* Di: *ῥοί* V: *similis aro* Dl *φύεται δὲ* E 7 *τόποις* addidi 9 *παύει* E *ῥίζας* F *προστιθέμενος* EDi 10 *πωλύπας* V: *πόλυπας* EF: *πολύπουν* reliqui *δαπανᾶ* VFE *καταχριόμενος — στέλλειν* om. VEDlPs.D. de h. f. *στέλλει* Q 11 *ὅσον* om. Di 14 *φθόριον* VEDi: *φθαρτικόν* reliqui

15 C fol. 96v: N 64 (*aliqui vocant eam colubrinam* mg. add. m. rec.): syn. mg. add. H[2] 16 *βίαρον* libri: correxi *ἱεράκικος* libri: correxi *ἀρμιάγριον* libri: correxi *κύπαιρις* N 17 *λουρουμεν* R: *λουρουμέμ* Di: correxi *μαυριαριάμ* libri: correxi *σετεγιαλιος* R: *σεγιγγιάλιος* Di: correxi *οἱ δὲ στρουμάριαμ* om. Di 18 *δὲ* om. N 19 *διπηχαῖον* C: *διπήχεως* N *καὶ παχὺν* NDi

ῥήγμασι, σπάσμασι, βηξί, κατάρρῳ, καὶ τὰ ἐν θώρακι ὑγρὰ εὐανάγωγα ποιεῖ, ἑφθή τε καὶ ὠμὴ μετὰ μέλιτος καὶ καθ᾽ ἑαυτὴν

3 βιβρωσκομένη· ξηρὰ δὲ λεῖα σὺν μέλιτι ἐκλείχεται. ἔστι δὲ οὐρητική, ὁρμάς τε πρὸς συνουσίας ἐγείρει πινομένη μετ᾽ οἴνου καὶ ἕλκη κακοήθη καὶ φαγεδαινικὰ μετὰ βρυωνίας λευκῆς σὺν μέλιτι λεανθεῖσα ἀνακαθαίρει καὶ ἀπουλοῖ, καὶ κολλύρια δὲ ἐξ αὐτῆς ἀναπλάσσεται πρὸς σύριγγας καὶ ἐμβρύων κομιδήν. φασὶ δὲ ὅτι, καὶ εἰ διατρίψει⟨έ⟩ τις τῇ ῥίζῃ τὰς χεῖρας, ἀπὸ ἐχίδνης ἄδηκτος μένει· ἀποκαθαίρει δὲ καὶ ἀλφοὺς σὺν ὄξει καταχρισθεῖσα. τὰ δὲ φύλλα λεῖα ἐπὶ τῶν νεοτρώτων ἀντὶ μότων ἐπιτιθέμενα ἁρμόζει, καὶ πρὸς χιμέτλαν ἑψηθέντα ἐν οἴνῳ καὶ

κατὰ τὴν χρόαν, ὡς ἐοικέναι δράκοντι, καὶ πλεονάζει μὲν ἐν τοῖς διαπορφύροις σπίλοις· φύλλα δὲ ὡς λαπάθου, ἀντεμπλεκόμενα, καρπὸν δὲ ποιεῖ ἐπ᾽ ἄκρου τοῦ καυλοῦ βοτρυοειδῆ, σποδώδη τῷ χρώματι τὸ πρῶτον, ἐν δὲ τῷ πεπανθῆναι κροκίζοντα καὶ φοινικοῦν, ῥίζαν εὐμεγέθη, στρογγύλην, λευκήν, φλοιὸν ἔχουσαν λεπτόν. συλλέγεται δὲ καὶ χυλίζεται, ὅταν περκάζῃ, καὶ ξηραίνεται ἐν σκιᾷ. ἡ δὲ ῥίζα ὀρύσσεται ἐν πυραμητῷ καὶ πλυθεῖσα κατατέμνεται καὶ ἐνείρεται μὲν ἱμάντι, ξηραίνεται δὲ ἐν σκιᾷ. θερμαντικὴ δέ ἐστι μετὰ συγκράματος. ποιεῖ δὲ ὀπτή τε καὶ ἑφθὴ μετὰ μέλιτος ἐκλειχομένη πρὸς ὀρθοπνοικούς, ῥήγματα, σπάσματα, βῆχας, κατάρρουν. ποθεῖσα δὲ μετ᾽ οἴνου τὰς ἐπὶ συνουσίαν ὁρμὰς κινεῖ. καθαίρει δὲ σὺν μέλιτι λειανθεῖσα καὶ ἐπιπλασθεῖσα τὰ κακοήθη τῶν ἑλκῶν καὶ φαγεδαινικὰ καὶ μάλιστα μετὰ λευκῆς ἀμπέλου, καὶ κολλύρια δὲ ἐξ αὐτῆς σὺν μέλιτι πρὸς σύριγγας ἀναπλάττεται καὶ πρὸς ἐμ-

---

7 SIM. Pl. 148 — Pl. l. s. 145 D. eup. I 118 (151) — Pl. 146 — eup. I 181 (189) — Pl. 148 — eup. I 41 (112).

---

1 σπάμασιν (σ add. E²) ῥήγμασιν E 2 ὠμὴ] ὀπτὴ E 4 συνουσίας VN: συνουσίαν reliqui ἐγείρει] ἀμβλύνει D. eup. II 97 (301) μετ᾽ οἴνου πινομένη Q 6 λειανθεῖσα E καὶ (alt.) om. E δὲ om. QDi 8 ὅτι ἐὰν διατρίψῃ E διατρίψαι Di: διατρίψει reliqui: correxi 9 μένει ἄδηκτος E ἄδηκτος εἶναι Di ἀλφὸν E 10 ἐπὶ τῶν νεοτρότων ἢ καὶ νευρωτρώτων E (νεοτρότων ἢ καὶ del. E²): *recentibus vulneribus* Dl μότου H 11 χίμετλα E: χύμεθλα HDi: χεμέτλαν VF

12 τὴν om. CDi καὶ om. N 13 λαπαθοειδῆ CDi 14 τοῦ om. Di 15 σποδοειδῆ Di: σποδω C: ποδω N 16 εὐμεγέθην R 18 ἐν πυραμητῷ post ῥίζα colloc. N ἐν om. CDi 19 εἰενεραιται C: ἐνειαίρεται N μὲν om. N καὶ ξηραίνεται (om. δὲ) N 20 συγκράμματος Di: μετασυγκριτικῶς R 21 καὶ μετὰ Di 23 συνουσίας N λιανθεῖσα R: λεανθεῖσα Di 24 καὶ (pr.)] ἢ CDi 26 πρὸς (alt.) om. CDi

ἐπιτεθέντα, τυρός τε ἐνειλούμενος τοῖς φύλλοις ἄσηπτος διαμένει. ὁ δὲ χυλὸς τῆς ῥίζης ἁρμόζει πρὸς νεφέλια καὶ λευκώ- 4
ματα καὶ ἀχλῦς. λαχανεύεται δὲ ἡ ῥίζα καὶ πρὸς τὴν ἐν ὑγιείᾳ χρῆσιν ἑφθή τε καὶ ὠμὴ ἐσθιομένη. οἱ δὲ ἐν ταῖς Γυμνητίσι νήσοις, καλουμέναις δὲ Βαλιαρίσιν, ἑφθὴν τὴν ῥίζαν μειγνύντες μέλιτι πολλῷ ἀντὶ πλακούντων ἐν τοῖς συνδείπνοις παρατιθέασιν. ἀποτίθεσθαι δὲ δεῖ τὴν ῥίζαν ἐν πυραμητῷ ὀρύξαντας καὶ πλύναντας καὶ κατατεμόντας ἐνείραντάς τε λίνῳ καὶ ξηράναντας ἐν σκιᾷ.

167 ἄρον τὸ καλούμενον παρὰ Σύροις λοῦφα. φύλλα ἀνίησιν ὅμοια τοῖς τοῦ δρακοντίου, μικρότερα δὲ καὶ ἀσπίλωτα,

βρύων κομιδήν· ποιεῖ δὲ καὶ πρὸς ἀλφοὺς σὺν μέλιτι καταχρισθεῖσα, πολύποδας δὲ καὶ καρκινώματα δαπανᾷ. ποιεῖ δὲ ὁ χυλὸς αὐτῆς καὶ εἰς ὀφθαλμικά, πρὸς νεφέλια, λευκώματα, ἀχλῦς. ἡ δὲ ὀσμὴ τῆς ῥίζης καὶ τῆς πόας τῶν ἄρτι συνειλημμένων φθόριόν ἐστι, καὶ τοῦ καρποῦ τριάκοντα κόκκοι ποθέντες μετ᾽ ὀξυκράτου. ἔνιοι δὲ τῷ χυλῷ τούτου καὶ τοὺς ὠταλγοῦντας ἐνεχυμάτισαν μετὰ ἐλαίου. τὰ δὲ φύλλα ὡς στύφοντα τοῖς νεοτρώτοις ὑπέθεσαν, ἡψημένα δὲ ἐν οἴνῳ καὶ τοῖς χίμετλα ἔχουσι. φασὶ δὲ καὶ τοὺς διατρίψαντας αὐτὰ ταῖς χερσὶν ἢ τὴν ῥίζαν ἀναιροῦντας ὑπὸ ἔχεως μὴ δάκνεσθαι.

167 RV: δρακοντία μικρά· οἱ δὲ ἄρον, οἱ δὲ ἀρίς, οἱ δὲ

10 SIM. Theophr. h. pl. VII 12, 2. 13, 1. 2; Pl. XXIV 141 sq. — D. eup. I 235 (215).

10 EXC. Orib. XI s. v. (ἄρον — ἐσθίεται); Gal. XI 839 (= Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

---

1 μένει E 2 καὶ πρὸς E 3 καὶ (alt) del. E[2] 4 γυμνήτοισι V: γυμνίτισι QDi: γυμνήτισιν (τι in ras.) E, cf. Strab. V 167. Steph. B. s. v. Γυμνησίαι 5 βαλλαρίσιν V: βαλαρίσιν F: βαλιαδρίσιν E (ι del. E[9]): καλαρίσιν HDi: correxi coll. Steph. B. l. s. 6 ἀντὶ πλακούντων post συνδείπνοις colloc. EHDi 7 δεῖ om. E ὀρύξαντες F 8 πλατύνοντας ἢ καὶ ἀποπλύναντας E (πλ. ἢ καὶ del. E[2]) κατατέμνοντας E (corr. E[2]) διείραντας (post δι 1 litt. del. E[2]) E

10 num. cap. σϙϛ QDi: ροϛ E mg. add. οἱ μὲν ἄλυμον, οἱ δὲ θύμον· ἡ καὶ (ἣν H[2]) δρακοντία ἢ παρὰ τοῖς κυπρίοις κολοκάσιον λέγεται H[2] παρὰ Σύροις post λοῦφα colloc. Orib. λοῦφον E: λοῦφας Orib. 11 ὅμοια post δρακοντίου colloc. ROrib.E μικρότερα δὲ καὶ om. R μικρότερα (α superscr.) Orib. ἀσπιλότατα F: ἀσπιλότερα HDi

13 ὁ δὲ χυλὸς αὐτῆς ποιεῖ καὶ εἰς N 15 ἀχλύν CDi 16 καὶ τοῦ καρποῦ om. N, καὶ om. C 17 τούτους C ὠταλγιῶντας C 18 φύλλα δὲ C 19 ὑπέθεσαν τοῖς νεοτρώτοις N ἑψηθέντα N χύμεθλα Di 20 αὐτὸν C 21 ἀναιροῦσιν R

22 C fol. 97[v]: N 65 ἀρίς] cf. Pl. XXIV 151. Gal. XIX 85; Hes. s. v.

καυλὸν σπιθαμιαῖον, ὑποπόρφυρον, ὑπεροειδῆ, ἐφ' οὗ ὁ καρπὸς κροκίζων· ῥίζα λευκὴ πρὸς τὴν τοῦ δρακοντίου, ἥτις καὶ ἐσθίεται ἑψομένη ἧττον οὖσα δριμεῖα. ταριχεύεται δὲ τὰ φύλλα εἰς βρῶσιν, καὶ καθ' ἑαυτὰ ξηρανθέντα ἑψόμενα ἐσθίεται.

δύναμιν δὲ ἔχει τὸ σπέρμα καὶ τὰ φύλλα καὶ ἡ ῥίζα τὴν αὐτὴν τῷ δρακοντίῳ. ποιεῖ δὲ ἡ ῥίζα καταπλασσομένη σὺν βολβίτῳ ἐπὶ ποδαγρικῶν. ἀποτίθεται δὲ ὡς ἡ τοῦ δρακοντίου, καὶ καθ' ὅλον ἐστὶν ἐδώδιμος διὰ τὸ μὴ λίαν δριμύ.

168 ἀρίσαρόν ἐστι βοτάνιον μικρόν, ῥίζαν ἔχον ὡς ἐλαίας· ἔστι δὲ δριμυτέρα τοῦ ἄρου, ὅθεν νομὰς ἵστησι καταπλασσομένη, κολλύριά τε πρὸς σύριγγας ἐνεργῆ ἐξ αὐτῆς γίνεται. φθείρει δὲ καὶ αἰδοῖον παντὸς ζῴου ἐντεθεῖσα ἡ ῥίζα.

169 ἀσφόδελος· φυτὸν τοῖς πλείστοις γνώριμον, φύλλον

ἔπαρσις, οἱ δὲ παρνοπόγονον, οἱ δὲ κυνό⟨ζ⟩ολον, οἱ δὲ φοινίκεον, οἱ δὲ ὀνοκεφάλιον, οἱ δὲ ἐφιάλτιον, Αἰγύπτιοι ἐβρών, οἱ δὲ ἐρυθμόν, Ῥωμαῖοι βῆτα λεπορίνα, Θοῦσκοι γιγάρουμ, Ἰστριανοὶ λάγμα, Δάκοι κουριοννηκούμ, Ἄφροι ἀτειρνοιχλάμ, Σύροι λοῦφαν.

---

9 SIM. Pl. XXIV 151 (e S. N.).

9 EXC. Orib. XI s. v. (ἀρίσαρον — ἄρου); Gal. XI 835 (= Paul. Aeg. VII 3 s. v.).

13 SIM. Theophr. h. pl. VII 13, 1. Crat. (Wellmann I 16); Nic. Th. 534 sq. 73 (Apollod.); Pl. XXI 109. XXII 67; Ps. Ap. 33 (∾ Ps. Orib. I 19); schol. Theocr. I 52; Isid. XVII 9, 84; Hes. s. v. ἀσφόδελος, ἀνθέρικας.

13 EXC. Gal. XI 842 (unde Paul. Aeg. VII 3 s. v.); Gal. VI 651 sq. A. Mai l. s. VII 452 (e D. lat.) ∾ Ps. Orib. I 18.

---

1 ὑπόπυρρον R: ὑπόκυρρον Orib.: ὑπόπυρρον ἢ ὑποπόρφυρον E (ὑπόπυρρον ἢ del. E[2]) πιπεροειδῆ R ὁ om. Orib. 2 ῥίζαν λευκὴν R ἥτις ἕψεται καὶ ἐσθίεται R ἕψεται ἐσθιομένη Orib.E: ἑψομένη ἐσθίεται O[2] 3 δὲ καὶ E 4 καὶ — ἐσθίεται om. C: ταριχεύεται — ἐσθίεται om. N ξηραινόμενα Orib. 5 καὶ ἡ ῥίζα καὶ τὰ φύλλα HE: ἡ ῥίζα καὶ τὸ σπ. καὶ τὰ φ. Di 6 τῷ προειρημένῳ add. R (τῇ π . . η C) σὺν βολβίτῳ om. Di 7 ἀποτίθεται — ἐστὶν om. N: ἀποτίθεται δὲ ἐπὶ ποδαγρικῶν C 8 ἐστὶν om. Q ἐδώδιμος (ἐδωδημωτέρα RE) post δριμύ coll. REDi λίαν εἶναι δριμεῖα (α superscr. E[2]) E: λίαν δριμέαν εἶναι ἀλλὰ N

9 num. cap. σϛζ QDi: ροζ E μικρόν ἐστι βοτάνιον Orib.: ἐστὶν μικρὸν E (βοτάνιον superscr. E[2]): ἔστι μικρὸν βοτάνιον Di ἐλαία E (ν superscr. E[2]): ἐλαίας τὸ μέγεθος Orib.: ῥίζαν ἐλαίας ἔχει τὸ μέγεθος Gal. 10 δριμύτερον HDi 11 ἐναργῆ QDi 12 καταπλασθεῖσα ἡ ῥίζα Di ἡ ῥίζα om. H

13 num. cap. σϛη QDi: ροη E post ἀσφόδελος syn. e R add. Di, mg. H[2] φυτὸν γνώριμον E φύλλον CQ: φύλλα reliqui

14 ἔπαρσις R, suspectum παρνογον R: correxi κυνοολον libri: correxi φοινεικεον N: φοινικαιον C 16 γιγαρουν C 17 στριανοὶ C κυριοννηκουμ N, cf. Tomaschek l. s. 25 18 ΛΟΥΦΑΝ (sic) R

ἔχον πράσῳ μεγάλῳ ἐοικός, καυλὸν δὲ λεῖον, ἔχοντα ἐπ᾿ ἄκρον
ἄνθος, καλούμενον ἀνθερικόν. ῥίζαι δὲ ὕπεισιν ἐπιμήκεις,
στρογγύλαι, βαλάνοις ὅμοιαι, δριμεῖαι τὴν γεῦσιν, καὶ τὴν δύνα-
μιν θερμαντικαί. κινοῦσι δὲ καὶ οὔρησιν καὶ ἔμμηνα ποθεῖσαι,
ἰῶνται καὶ πλευρᾶς ἀλγήματα καὶ βῆχας καὶ σπάσματα καὶ
ῥήγματα δραχμῆς μιᾶς τὸ πλῆθος τῆς ῥίζης ἐν οἴνῳ πινομένης.
ποιεῖ δὲ καὶ εὐημεστέρους ὅσον ἀστράγαλος βρωθεῖσα, καὶ ἑρ- 2
πετοδήκτοις δίδοται ὠφελίμως ὅσον δραχμῶν τριῶν τὸ πλῆθος·
⟨καὶ⟩ καταπλάττειν δὲ δεῖ τὰ δήγματα τοῖς τε φύλλοις καὶ τῇ
ῥίζῃ καὶ τοῖς ἄνθεσι σὺν οἴνῳ, καὶ τὰ ῥυπαρὰ καὶ νεμόμενα ἕλκη
καὶ μαστῶν καὶ διδύμων φλεγμονὰς καὶ φύματα καὶ δοθιῆνας,
συγκαθεψομένης τρυγὸς οἴνου τῇ ῥίζῃ, πρὸς δὲ τὰς προσφά-
τους φλεγμονὰς μετ᾿ ἀλφίτου. ὁ δὲ χυλὸς τῆς ῥίζης προσ-
λαβὼν οἴνου παλαιοῦ γλυκέος καὶ σμύρνης καὶ κρόκου συνεψη-
θέντων ἐπὶ τὸ αὐτὸ ἔγχριστον γίνεται ὀφθαλμοῖς φάρμακον,
καὶ πρὸς ὦτα πυορροοῦντα καθ᾿ ἑαυτὸν καὶ σὺν λιβανωτῷ καὶ
μέλιτι καὶ οἴνῳ καὶ σμύρνῃ χλιανθεὶς ἁρμόζει, ὀδονταλγίας τε
καθ᾿ ἑαυτὸν ἐγχυθεὶς ὁ χυλὸς τῷ ἀντικειμένῳ ὠτίῳ πραΰνει.

169 RV: *ἀσφόδελος· οἱ δὲ ναρθήκιον, Ῥωμαῖοι ἀλβούκιουμ, Ἄφροι κύρα.*

4 SIM. Pl. XXII 70 D. eup. II 112 (311) — Pl. 70 eup. II 77 (288) — Pl. 70 eup. II 35 (248) — Pl. 70 eup. II 31 (241) — Pl. 70 eup. II 34 (246) — Pl. 70 — Nic. Th. l. s. Pl. 67 eup. II 115 (315) — eup. II 117 (318) — Pl. 68 eup. I 184 (191) — Pl. 68 eup. I 140. 141 (164. 165) — eup. I 149 (170) — Pl. 69 eup. I 31 (108) — eup. I 60 (123) — Pl. 70 eup. I 72 (130) — Pl. 70 eup. I 95 (140) — Pl. 70 — eup. I 119 (152) — Pl. 68 — eup. II 121 (319) — Pl. 70.

1 *πράσσῳ* E *ὅμοιον* C: *ὅμοια* Di: *ἐοικότα* E *καυλίον δ᾿ ἔχει* C *ἄκρον* Q 2 *ἀνθεριστόν* Q *ὑπομήκεις* CE 3 *ὑποστρόγγυλοι* C *βαλανίοις* E 3 *κατὰ τὴν γεῦσιν* Di: *τῇ δυνάμει καὶ θερμαντικαί* C: *τὴν δύναμιν καὶ θερμαντικαί* E 4 *καὶ* (pr.) om. E 5 *ἰᾶται* F: om. CEDi *καὶ σπάσματα καὶ βῆχας* CDi: *καὶ σπάσματα καὶ ῥήγματα καὶ βῆχας* E 6 *δραχμῆς* (*δραγμῆς* E) *πλῆθος* CE *πινομένης ἐν οἴνῳ* E 7 *εὐημεστέρους* QDi: *εὐανθεστέρους καὶ εὐεμέτους* E: *φασὶ δὲ καὶ εὐεμέτους* (*ποιεῖν* add. C^2) C 8 *δὲ δίδοται* CE *πλῆθος ὅσον δραχμαὶ τρεῖς* C: *πλῆθος ὅσον* <-<- ϙ· *τινὲς δὲ καὶ* γ E: < γ′ D. eup. II 115 (316) 9 *καὶ* addidi 10 *τὰ νεμόμενα* E 11 *τὰ φύματα* C (*τὰ* add. m. rec.) 12 *οἴνου*] *οἱονεὶ* C 14 *σμύρνης καὶ ῥίζης* (mg. *γλυκερίζης* corr. E^2) *καὶ κρόκου*, at cf. D. eup. I 31 (108) *συνεψηθέντα* QDi 15 *ἔγχριστον*] *ἐνάρετον* C *πίνεται* C *ὀφθαλμῶν* CE 16 post *ἑαυτὸν* colloc. *ἁρμόζει* E 17 *λιανθεὶς* C *ὀδονταλγίαις* CHDi: *ὀδονταλ*$^{s'}$ F: *ὀδονταλγίαν* E *τε*] *δὲ* E 18 *ὁ χυλὸς καθ᾿ ἑαυτὸν ἑψηθεὶς* C *ὁ χυλὸς ἐνχυθεὶς* E *ὠτί* (om. *πραΰνει*) C

19 C fol. 27^r: om. N 20 *Ἄφροι κύρα* om. HDi

3 καεῖσα δὲ ἡ ῥίζα, τῆς τέφρας ἐπιπλασσομένης, ἀλωπεκίας δασύνει, ἑνεψηθὲν δὲ ἔλαιον κεκοιλωμέναις ταῖς ῥίζαις ἐπὶ πυρὸς εἱλκωμένας χιμέτλας καὶ πυρίκαυτα ὑπαλειφόμενον ὠφελεῖ, καὶ ὠταλγιῶσι βοηθεῖ ἐγχεόμενον εἰς τὸ οὖς, ἀλφόν τε λευκὸν προανατριφθέντα [ἐν] ὀθονίῳ ἐν ἡλίῳ καταχρισθεῖσα ἡ ῥίζα σμήχει. ὁ δὲ καρπὸς καὶ τὰ ἄνθη κατ᾽ ἐξοχὴν σκολοπένδρων καὶ σκορπίων ἀντιφάρμακόν ἐστιν ἐν οἴνῳ ποθέντα· ταράττει δὲ καὶ τὴν κοιλίαν.

170 βολβὸς ἐδώδιμος· εὐστόμαχος ὁ πυρρός, ἀπὸ Λιβύης κομιζόμενος, ὁ δὲ πικρὸς καὶ σκιλλώδης εὐστομαχώτερος, πεπτικός. πάντες δὲ δριμεῖς καὶ θερμαντικοί, συνουσίαν παρορμῶντες, τραχύνοντες γλῶσσαν καὶ παρίσθμια, πολύτροφοι καὶ σαρκοποιητικοί, ἐμπνευματοῦντες· ποιοῦσι δὲ καταπλασσόμενοι πρὸς στρέμματα καὶ θλάσματα καὶ σκόλοπας καὶ πρὸς

---

170 RV: βολβός.

9 TIM. Pl. XX 102 sq. (e S. N.) — Cels. II 26 — Pl. XX 105 — Pl. 105 D. eup. I 226 (211).

9 EXC. Ps. D. de h. f. 43; Gal. XI 851 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

---

1 ἡ τέφρα ἐπιπλασσομένη C ἐπιπασσομένη E (ς superscr. E^2) 2 συνεψηθὲν CDi: ἑψηθὲν VQ καὶ (om. Di) ἐκτιλλομέναις ταῖς ῥίζαις CDi: κεκομμέναις ταῖς ῥίζαις καὶ κεχυλωμέναις E 3 τὰ εἰλκωμένα χέμεθλα (χίμετλα E) RE ἡλκωμένας QDi ὑπαλειφόμενα F: ἐπαλειφόμενον CEDi 4 ὠταλγιῶσι] κωφώσει CE (at ει in ras.) Di: *doloribus aurium* Dl τὸν λευκὸν E post λευκὸν habet πύκνωσιν ἡλίῳ ἀνατριφθέντα ἐν ὠθονίῳ καταχρισθεῖσα C: ἐν ἡλίῳ προσανατριφθέντα ἐν ὀθονίῳ καταχρισθεῖσα E 5 ἐν delevi 6 ὁ δὲ — κοιλίαν om. R 7 ἀντιφάρμακος F: ἐστὶν ἀντιφάρμακον E καταρρήττει VQDi: ταράττει E, cf. Pl. XXII 70 8 in fine add. ἐν ἄλλῳ· ἀνθεῖ δὲ ἐν πυραμητῷ. χρὴ δὲ τὸ λευκὸν ἀσφόδελον τέμνεσθαι μετὰ τὴν ἰσημερίαν ἐν ἔαρι πρὸ τοῦ τὸν καρπὸν αὐξηθῆναι. τὴν δὲ ῥίζαν πινομένην ἀνορέκτους φησὶ ποιεῖν πρὸς ἀφροδίσια. καὶ κρατεύας δὲ ὁ ῥιζοτομικὸς (e R) τὰ αὐτὰ εἶπε, καὶ ὅτι θεραπεύει ἡ ῥίζα μετ᾽ οἶνου πινομένη < ᾱ ποδάγρας ἀλγήματα Di, verba χρὴ — ἀφροδίσια mg. add. H^2

9 num. cap. $\overline{σϙθ}$ QDi: $\overline{ροθ}$ E initio add. cap. de bulbo vomitorio (D. IV 156) Di (mg. add. περισσόν), mg. fol. 51^v add. H^2 post ἐδώδιμος add. γνώριμος πᾶσιν, ὃν ἐσθίομεν Di εὐστόμαχος, εὐκοίλιος Di Λιβύης] γῆς R: σίδης τῆς γῆς E (del. et ἀπὸ λιβύης superscr. E^2) 11 πεπτικός om. REDlPs. D. de h. f. καὶ πρὸς συνουσίαν Di 12 τε γλῶτταν C 13 καὶ om. RDi σαρκῶν γεννητικοὶ REDi καὶ ἐμπνευματοῦντες E: πνευματοῦντες R ποιοῦντές τε πρὸς στρέμματα καταπλασσόμενοι E 14 στρέμματα] πέλματα R καὶ θλάσματα om. RE καὶ (pr. et alt.) om. Di πρὸς om. N: πρὸς τὰς τῶν om. C

15 C fol. 78^r: N 28

τὰς τῶν ἄρθρων ὀδύνας καὶ ποδάγρας σὺν μέλιτι καὶ καθ' ἑαυτούς, καὶ τὰ ἐπὶ τῶν ὑδρωπικῶν οἰδήματα καὶ κυνόδηκτα ὁμοίως σὺν μέλιτι· ἐπέχουσι δὲ καὶ ἱδρῶτας. σὺν πεπέρει δὲ 2
λείῳ καταπλασθέντες στομάχου ὀδύνας παύουσι, καὶ πίτυρα καὶ ἀχῶρας ἀποσμήχουσι σὺν ὀπτῷ νίτρῳ· καθαίρουσι καὶ ὑπώπια καὶ ἰόνθους καθ' ἑαυτοὺς ἢ σὺν ᾠοῦ λεκίθῳ, φακούς τε σὺν ὀξυμέλιτι· πρὸς δὲ ὤτων θλάσματα σὺν ἀλφίτῳ καὶ πρὸς θλάσεις ὀνύχων. ἀφαιροῦσι δὲ καὶ σύκας ὀπτηθέντες ἐν θερμοσποδιᾷ καὶ μετὰ μαινίδων κεφαλῶν κεκαυμένων ἐπιτεθέντες, ⟨καέντες δὲ⟩ καὶ μιγέντες ἀλκυονίῳ ἔφηλιν καὶ οὐλὰς μελαίνας ἀποκαθαίρουσιν, ἐν ἡλίῳ καταχριόμενοι. σὺν ὄξει δὲ ἑφθοὶ βιβρωσκόμενοι πρὸς ῥήγματα ποιοῦσι· φυλάσσεσθαι δὲ δεῖ τὸ πλῆθος αὐτῶν ἐν τῇ βρώσει διὰ τὸ ἅπτεσθαι τοῦ νευρώδους.

171 σκίλλα δύναμιν ἔχει δριμεῖαν, πυρωτικήν· πολύχρηστος δὲ γίνεται ὀπτηθεῖσα. σταιτὶ δὲ ἢ πηλῷ περιπλάττεται καὶ

---

171 RV: *σκίλλα.*

---

3 SIM. Pl. 104 — D. eup. I 168 (180) — Pl. 104 — eup. I 235 (215) — eup. II 65 (279) — Pl. 102 — Pl. 104 — Pl. 102 eup. I 105 (146) — eup. I 56 (119) — Pl. 103 — Pl. 104 eup. I 66 (126) — Pl. 104 eup. I 218 (208) — Pl. 102 eup. I 121 (153) — eup. I 114 (150) — eup. II 34 (246).

15 SIM. Pl. XX 97 sq. (e S. N.); cf. XIX 93; Gal. XIV 263. 567. Ps. Ap. 43.

15 EXC. Orlb. XII s. v. (*σκίλλα — τόμους*); Ps. D. de h. f. 52 (∾ A. Mai VII 457; Ps. Orib. I 29); Isid. XVII 9, 85 (e Dl); cf. Gal. XII 125 (= Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

---

1 post *ὀδύνας* add. *καὶ γαγγραίνας* R, superscr. H²: *γαγγραίνας τε* Di 2 *καὶ σὺν μέλιτι* post *ἑαυτούς* transpos. E 3 *σὺν μέλιτι καὶ πεπέρει λείῳ καταπλασθέντες ἐπέχουσιν ἱδρῶτας καὶ στομάχου* Di *δὲ* (pr.) om. R post *σὺν* add. *μέλιτι καὶ* E *δὲ* (alt.) om. RE 4 *καὶ στομάχου* RE *παύουσι* om. RE 5 *ἀχῶρας*] *ψώρας* R *ἀποσμῶσιν* R *δὲ καὶ* REDi 6 *λεκίθοις* E *καὶ φακοὺς* REDi 7 *σὺν μέλιτι ἢ ὄξει* RDi *πρὸς δὲ — νευρώδους* om. R *ἀλφίτοις* E 8 *σύκα* F: *σύκα ὀπτηθέντα* V *ἀφεψηθέντες* E 9 *καὶ* om. VQ, cf. D. eup. I 218 (208) *κεκαυμένων κεφαλῶν* VQ, cf. D. eup. l. s. 10 *καέντες δὲ* add. e Di, cf. D. eup. I 121 (153) *ἐφήλεις* E 12 *ποιοῦσι πρὸς ῥήγματα* Di 13 *δεῖ* post *βρώσει* colloc. Di, om. E *αὐτῶν τὸ πλῆθος* Di at nervis utiles esse bulbos Pl. XX 104 testatur 14 in fine add. *ἑφθὸς δὲ σὺν ἀλφίτοις καὶ στέατι χοιρείῳ προστεθεὶς οἰδήματα καὶ φύματα συντόμως ἐκπυΐσκει καὶ διαρρήσσει* Di

15 num. cap. τ̄ QDi: ρ̄π̄ E *γνώριμος* initio add. R *δριμεῖαν καὶ* Di *πυρώδη* COrib.E: *πολυπυρώδη* N 16 *ὀπτηθεῖσα σταλτική* R *στέατι* ROrib. *δὲ ἢ πηλῷ* om. R

17 C fol. 298ʳ: N 137

δίδοται εἰς κλίβανον ἢ ἄνθραξιν ἐγκρύβεται, μέχρι ἂν ὀπτηθῇ ἱκανῶς τὸ περικείμενον σταῖς, οὗ περιαιρεθέντος, εἰ μὴ τακερὰ γέγονεν, ἕτερον σταῖς ἢ πηλὸν περιπλάσαντες τὰ αὐτὰ ποιήσομεν· ἡ γὰρ μὴ οὕτως ὀπτηθεῖσα βλαβερὰ τὴν δόσιν, πρὸς τὰ ἐντοσθίδια μάλιστα προσφερομένη. ὀπτᾶται δὲ καὶ ἐν χύτρᾳ πεπωμασμένῃ καὶ καθιεμένῃ εἰς κλίβανον· λαμβάνεται δὲ αὐ-
2 τῆς τὸ μεσαίτατον τῶν ἔξωθεν περιαιρουμένων. καὶ ἕψεται δὲ ἐντμηθεῖσα, ἀποχεομένου τοῦ πρώτου ὕδατος, ἑτέρου δὲ ἐπιχεομένου, ἄχρι ἂν μὴ πικρὸν ἢ δριμὺ γένηται τὸ ὕδωρ, καὶ ξηραίνεται δὲ ἐν σκιᾷ τμηθεῖσα καὶ διαιρεθεῖσα λιναρίῳ, ὡς μὴ ἅπτεσθαι ἀλλήλων τοὺς τόμους. τῇ μὲν οὖν τμητῇ εἰς οἶνον καὶ ὄξος καὶ ἔλαιον σκιλλητικὸν χρώμεθα, πρὸς δὲ ῥαγάδας τὰς ἐν ποσὶ τὸ ἔνδον τῆς ὠμῆς σὺν ἐλαίῳ ζεσθὲν ἢ σὺν ῥητίνῃ τηχθὲν ἐπιτίθεται, ἐχεοδήκτοις τε κατάπλασμα ἑψη-
3 θεῖσα σὺν ὄξει. τῆς δὲ ὀπτῆς πρὸς ἓν μέρος τῆς σκίλλης προσεκλεάναντες ἁλῶν ὀπτῶν μέρη ὀκτὼ δίδομεν κοχλιάριον ἓν ἢ δύο νήστεσι πρὸς μάλαξιν κοιλίας, εἰς ποτήματά τε καὶ ἀρω-

12 SIM. Pl. XX 101 D. eup. I 206 (200) — Pl. 100 eup. II 117 (318) — Pl. 100 — Pl. 100 eup. II 112 (311) — Pl. 100 eup. II 63 (277. 278) — Pl. 100 eup. II 15 (232) 10 (231) — Pl. 100 eup. II 56 (268) — Pl. 100 eup. II 40 (255) — Pl. 100 eup. II 31 (243) — Pl. 100 eup. II 39 (253) — eup. I 37 (250) — Pl. 101 — Theophr. VII 13, 4 Pythagor. (Pl. XX 101).

1 *κάμινον* RE (*κρίβανον* superscr. E[2]): *φοῦρνον ἢ εἰς κάμινον* Orib. *καὶ* (*ἢ* Orib.) *εἰς ἀνθρακιὰν* ROrib. *μέχρι* VE: *μέχρις* Q: *ἄχρι οὗ ἂν* R: *ἄχρις ἂν οὗ* Orib.: *ἄχρις ἂν* Di 2 *τὸ στέας* (sic) R: *ὁ πηλὸς ἢ τὸ σταῖς* Orib.: *τοῦ σταιτὸς* (*αιτος* in ras.) *οὖν περιερεθέντος καὶ τοῦ πηλοῦ* E 3 *γέγονεν*] *εἴη* Orib. *ἕτερον — πηλὸν* om. Orib. *πηλὸν ἢ στέας περιτιθέντες* R *τὸ αὐτό* ER: *πάλιν τὸ αὐτὸ* Orib. 4 *βλαβερὰ μάλιστα πρὸς τὰς ἐντοσθιδίους δόσεις* (*αὐτῆς* add. E) Orib.E: *βλ. μάλιστα πρὸς τὰς ἐντοσειδους* (sic) *δόσεις αὐτή* R 5 *ἐντοσθίδια* V: *ἐντόσθια* reliqui 6 post *πεπωμασμένῃ* add. *πηλῷ* (*η* ex *ο* corr. O) Orib. *καὶ καθιεμένῃ* om. E *εἰς κλ. καθιεμένῃ* Orib. 7 *τὸ μεσαίτατον*] *πυρῆνα* vocat Chrysermus (Gal. XIII 243): *τὰ ἔνδον αὐτῆς μέρη* Damocr. (Gal. XIV 263) *ἔξω* Orib. 8 *δὲ* (pr.) om. ROrib.E *δὲ* (alt.)] *τε* Di 9 *μέχρις ἂν* Orib.: *ἄχρις ἂν* EDi *γίνηται* H: *τὸ ὕδωρ ᾖ* Orib. *καὶ* om. NOrib. 10 *πρῶτον ἐν* R *τμηθεῖσα δὲ καὶ ἐνειρεθεῖσα* //// (2 l. del. E[2]) *λίνῳ* E: *τμηθεῖσα διαβληθέντος λιναρίου* Orib. *διαβληθεῖσα λίνῳ* R *ὥστε* R 12 *οἶνον καὶ ἔλαιον καὶ ὄξος τὸ σκ. λεγόμενον* R: *ἔλαιον καὶ οἶνον καὶ ὄξος* Di 13 *ἔνδοθεν* N *ἢ*] *καὶ* N, om. C *σὺν* om. RE 14 *τῇ ῥητίνῃ* CH *ῥιτίνη*/// (2 l. del. E[2]) *συντιχθὲν* E *τε*] *δὲ* QDi 15 *τῇ δὲ ὀπτῇ* RE 16 *συνεκλεάναντες* Di *ὀπτημένων* RE 17 *νήστεσιν ἓν ἢ δύο κοχλιάρια* E *εἴς τε τὰ ἀποστέματα* R: *εἴς τε τὰ ἀποστήματα* E (*ποτήματα* corr. E[2]) *ἀρωματικάς*] *ἀραιωτικάς* non recte coni. Marc.: *potionibus et aromatis miscetur* Dl

ματικὰς δυνάμεις, καὶ ἐφ' ὧν οὔρησιν κινῆσαι θέλομεν, καὶ ἐπὶ ὑδρωπικῶν καὶ στομαχικῶν, οἷς ἐπιπολάζει τὰ σιτία, καὶ ἐπὶ ἰκτέρου, στροφουμένων, βηττόντων χρονίως, ἀσθματικῶν, ἀναφορικῶν· αὐτάρκης δὲ ὁλκὴ τριωβόλου σὺν μέλιτι ἐκλειχθεῖσα. 4
καὶ συγκαθέψεται δὲ τῷ μέλιτι καὶ βιβρώσκεται πρὸς τὰ αὐτά, μάλιστα πέψει συνεργοῦσα· ἄγει δὲ γλοιῶδες κατὰ κοιλίαν. ἑφθὴ δὲ πρὸς τὰ αὐτὰ ποιεῖ ὁμοίως λαμβανομένη· φυλάσσεσθαι δὲ αὐτῆς δεῖ τὴν δόσιν, ἐφ' ὧν ἕλκωσίς τίς ἐστιν ἐντός· ποιεῖ καὶ πρὸς ἀκροχορδόνας καὶ χιμέτλας ἐγχρισθεῖσα ὀπτή. τὸ δὲ σπέρμα αὐτῆς λεῖον ἀναλημφθὲν ἐν ἰσχάδι ἢ μέλιτι καὶ βρωθὲν μαλάσσει κοιλίαν. ἔστι δὲ καὶ ἀλεξιφάρμακον ὅλη πρὸ τῶν θυρῶν κρεμαμένη.

172 *π α γ κ ρ ά τ ι ο ν· οἱ δὲ καὶ τοῦτο σκίλλαν ὀνομάζουσι. ῥίζα ἐστὶ βολβῷ μεγάλῳ ὁμοία, ὑπόπυρρος, πικρὰ καὶ πυρώδης τὴν γεῦσιν, φύλλα κρίνῳ ὅμοια, μακρότερα δέ.*

ἔχει δὲ δύναμιν τὴν αὐτὴν τῇ σκίλλῃ καὶ σκευασίαν καὶ δόσιν, ποιοῦσαν ἐπὶ τῶν αὐτῶν παθῶν· ἐπιεικεστέρα μέντοι τῆς σκίλλης ἡ ταύτης δύναμις· ὅθεν καὶ χυλιζομένη μειγνυμένη τε ὀροβίνῳ ἀλεύρῳ καὶ ἀναπλασσομένη εἰς ἀρτίσκους δίδοται σὺν ὑδρομέλιτι σπληνικοῖς καὶ ὑδρωπικοῖς ὠφελίμως.

---

172 RV: *Ἡράκλειον ἢ παγκράτιον· οἱ δὲ καὶ τοῦτο σκίλλαν καλοῦσιν· ἑτέρα δὲ ἡ σκίλλα.*

---

13 SIM. Theophr. h. pl. VII 13, 8 (?); Pl. XXVII 118 (e S. N. — Crat.) — D. eup. II 61 (274) 63 (278).

13 EXC.: Orib. XII s. v. (*παγκράτιον — μακρότερα δέ*); cf. Gal. XII 93 = Aet. I s. v. Paul. Aeg. VII 3 s. v.); Hes. s. v. *παγκρατιάζειν.*

---

1 *ἐπὶ* om. H 2 *ἐπὶ στομαχικῶν* F 3 *στροφουμένου* R 4 *δὲ ὁ* (*ἡ* N) *ἄχρι τριοβόλου* R *ἐνλειχθεῖσα* E (corr. E²): *ἐκθλιβεῖσα* R 5 *καὶ* (pr.) om. R *συνβιβρώσκεται* RE 6 *πέψις συνεργάζεται* R 7 *καὶ ἑφθὴ* R: *καὶ ἡ ἑφθὴ* E 8 *καὶ αὐτῆς* HDi *δεῖ* om. R, post *δόσιν* colloc. Di *τις* om. RE *ποιεῖ δὲ καὶ* RE 9 *πρὸς χεμέθλαν* C: *πρὸς χέμεθλα* N 10 *αὐτῆς — καὶ* (v. 10) om. R fort. *ἐν* del. 11 *ὅλη κρεμαμένη* RE *πρὸς* F 12 *πυλῶν* N

13 num. cap. *τα* QDi: *ρπα* E *πανκράτειον* E *καλοῦσι* ROrib.E 14 *μεγάλῳ* om. R: *radice bulbi magni* Pl. *ὑποπόρφυρος* RE: *ὑπόπυρρος ἢ ὑποπόρφυρος* Di: *colore rufo* Pl.: *purpureum vel croccinum habens colorem* Dl *καὶ* om. Orib.E 15 *πρὸς τὴν γ.* ROrib.E *φύλλα δὲ* Orib. *ὅμοια ἔχουσα* R 16 *δύναμιν δὲ ἔχει ἡ ῥίζα* N: *δύναμιν δὲ ἡ ῥίζα ἔχει* C: *ἔχει δὲ δύναμιν ἡ ῥίζα* E *τῆς σκίλλης* E 17 *ποιεῖ δὲ* (om. C) *ὅσα ἐπὶ* R 18 post *χυλιζομένη* add. *ἡ ῥίζα* RE: *ἡ ῥίζα ταύτης* Di: superscr. H²

19 C fol. 126ᵛ: N 79 *ἡράκλιον* R *πανκράτιον* R

173 *κάππαρις*· οἱ δὲ κυνόσβατον, οἱ δὲ καπρίαν, οἱ δὲ κόρακος μῆλον, οἱ δὲ ὀφιόσκορδον, οἱ δὲ ὀφιοστάφυλον, οἱ δὲ θαλλίαν, οἱ δὲ πετραίαν, οἱ δὲ ὁλόφυτον, οἱ δὲ ἰωνίτην, ἔνιοι δὲ ἀείχλωρον, οἱ δὲ ἱππομανές, οἱ δὲ τριχομανὲς καλοῦσι· θάμνος ἐστὶν ἀκανθώδης, ἐπὶ γῆς γυροειδῶς ἐστρωμένος, ἀκάνθας ἀγκιστροειδεῖς ἔχων ὡς βάτος, φύλλα δὲ στρογγύλα, κυδωνίᾳ ὅμοια, καρπὸν δὲ οἷον ἐλαίας, ὃς ἀνοιχθεὶς λευκὸν προΐεται ἄνθος, οὗ πεσόντος εὑρίσκεταί τι οἷον βάλανος ἐπίμηκες, ὅπερ ἀνοιχθὲν ἔχει κόκκους ὥσπερ ῥόας μικρούς, ἐρυθρούς,
2 ῥίζας ξυλώδεις καὶ μεγάλας, πλείστας. φύεται τοὐπίπαν ἐν τραχέσι καὶ λεπτογείοις τόποις καὶ νήσοις καὶ οἰκοπέδοις. ταριχεύεται δὲ ὁ καρπὸς καὶ ὁ καυλὸς εἰς βρῶσιν.

---

173 RV: κάππαρις· οἱ δὲ κυνόσβατον, οἱ δὲ καπρίαν, οἱ δὲ κόρακος μῆλον, οἱ δὲ ὀφιόσκορδον, οἱ δὲ ὀφιοστάφυλον, οἱ δὲ πετραίαν, οἱ δὲ ὁλόφυτον, οἱ δὲ ὀλιγόχλωρον, οἱ δὲ ἀκόνιτον, οἱ δὲ ἱππομανές, οἱ δὲ τριχομανές, προφῆται ποτέρα, οἱ δὲ πενθήραν, οἱ δὲ καρδία λύκου, οἱ δὲ πολύειδος, οἱ δὲ ἀλόσκορδον, οἱ δὲ κρίνον, οἱ δὲ θλάσπι, οἱ δὲ κυνὸς ἄνθος, Ῥωμαῖοι σινᾶπε πέρσικουμ, οἱ δὲ ἰντοῦρις, Ἄφροι ἐρβιαραούθ.

---

1 SIM. Theophr. h. pl. VI 5, 2; Pl. XIII 127. XIX 163.
1 EXC. Orib. XI s. v. (*κάππαρις — βρῶσιν*); Gal. XII 9sq. (= Aet. I s. v. Paul. Aeg. VII 3 s. v.); Ps. D. de h. f. 59. 61 (e D. I 94 et II 173 conflatum), cf. A. Mai l. s. VII 454; Garg. M. 48 (de zizypho); Isid. XVII 10, 20.

---

1 num. cap. $\overline{\tau\beta}$ QDi: $\overline{\rho\pi\beta}$ E post *κάππαρις* syn. e R add. Di, mg. H[2] *οἱ δὲ καπρίαν* om. Q 2 *ὀφεώσκορδον· οἱ δὲ ἑσπέρεᾱ* E 3 *θαλλίαν*] *ἀφθαμίαν* E *πετρίαν* E *οἱ δὲ ὁλόφιστον* mg. add. E *οἱ δὲ ἰωνίτην* post *ἀείχλωρον* colloc. E 4 *οἱ δὲ ὀρίχλωρον· οἱ δὲ τρίχλωρον* E 5 *ἐστρεμμένος* C 6 *βάτον* RE *δὲ* om. RDi *στρογγύλα* om. FEDl, at cf. Ps. D. de h. f. *μηλέα κυδωνέα* Di: *μηλέᾳ ἢ κυδωνέᾳ* E *κυδωνίῳ* H: *κυδωνίᾳ ὅμοια* om. R 7 *δὲ* om. F *ὅμοιον ἐλαίᾳ* R 8 *οἷον τι βάλανος* RE (corr. E[2]) *ἐπίμηκες* QE: *ἐπιμήκης* reliqui 9 *ὡς* N *ῥοὰς μικρὰς* F 10 *ῥίζαι ξυλώδεις* (*πλεῖσται* add. E[2]) *μεγάλαι* E *καὶ* om. R *καὶ πλείστας* Orib.Dl *φύονται* E *τοὐπίπαν* om. R, del. E[2] 11 *καὶ λεπτογείοις* om. RE *καὶ νήσοις* om. R *ἐν οἰκοπέδοις* R: *iuxta domicilia* Orib. lat. 12 *δὲ*] *τε* E *καρπὸς αὐτῆς* RE: *ὁ καυλὸς αὐτῆς καὶ ὁ καρπὸς* Di
13 C fol. 173[r]: N 54 *καπρήαν* R: *καπρία* Di 14 *φυλλοστάφυλον* libri: correxi coll. Pl. XIII 127 15 *πετρέαν* R *ὁλοφυσον* R post *ὁλόφυτον* add. *οἱ δὲ ἰωνίτην* Di 17 *πεύθηρον* NDi: fort. *πανθήραν* *πολυείδους* R: om. HDi: correxi *ἀλοσκόροδον* HDi 18 *θλάσπη* R: *θλάσπιν* HDi *οἱ δὲ κυνὸς ἄνθος* om. HDi 19 *ἰντούρις* libri, corruptum (an *manna turis*?) *ἐρβιαιαθούμ* HDi, cf. *Löw* l. s. 406

ταράττει δὲ κοιλίαν, κακοστόμαχός τέ ἐστι καὶ διψώδης, βρωθεῖσα δὲ ἑφθὴ εὐστομαχωτέρα τῆς ὠμῆς. ὁ μὲν οὖν καρπὸς αὐτῆς σπλῆνα ἐκτήκει ὁλκὴ δυεῖν δραχμῶν μετ' οἴνου πινόμενος ἐπὶ ἡμέρας τριάκοντα· ἄγει δὲ καὶ οὖρον καὶ αἱματῶδες διαχώρημα, ἰσχιάδι τε καὶ παραλύσει βοηθεῖ πινόμενος καὶ πρὸς ῥήγματα καὶ σπάσματα, καὶ ἔμμηνα ἄγει καὶ ἀποφλεγματίζει, καὶ ὀδόντος πόνον παύει ὁ καρπὸς σὺν ὄξει ἑψηθεὶς καὶ διακλυζόμενος. τῆς δὲ ῥίζης ὁ φλοιὸς ξηρὸς πρός τε τὰ προει- 3
ρημένα ἁρμόζει καὶ ἀνακαθαίρει πᾶν χρόνιον καὶ ῥυπαρὸν καὶ τετυλωμένον ἕλκος· καταπλάσσεται δὲ καὶ ἐπὶ τῶν σπληνικῶν σὺν ὠμῇ λύσει, δακνομένη τε τῷ πονοῦντι ὀδόντι βοηθεῖ, ἀλφούς τε λευκοὺς ἀποσμήχει σὺν ὄξει λεία. τὰ δὲ φύλλα καὶ ἡ ῥίζα λεανθέντα σκληρίας καὶ χοιράδας διαφορεῖ, σκώληκάς τε τοὺς ἐν ὠσὶν ὁ χυλὸς ἐγχυματισθεὶς κτείνει. ἡ μέντοι Λιβυκὴ κάππαρις, γεννωμένη δὲ κατὰ τοὺς Μαρμαρίδας λεγομένους, ἐμπνευματοῖ ἰσχυρῶς, ἐμετικὴ δὲ τυγχάνει ἡ ἐν Ἀπουλίᾳ· ἡ μέντοι γε ἐκ τῆς ἐρυθρᾶς θαλάσσης καὶ Ἀραβίας δριμυτάτη, φλυκταίνουσα τὸ στόμα καὶ διασήπουσα τὰ οὖλα ἄχρι γυμνώσεως, ὅθεν πρὸς βρῶσίν ἐστιν ἄθετος.

174 λεπίδιον, ὅ ἔνιοι γιγγίδιον καλοῦσι, γνώριμον βοτάνιον, ταριχευόμενον εἰς ἁλμαίας μετὰ γάλακτος. δύναμις δὲ

---

1 SIM. Pl. XX 167 — Zop. (Orib. II 566) Pl. l. s. 166 D. eup. II 61 (273) — Pl. l. s. 167 eup. II 61 (273) — Pl. l. s. 166 eup. I 237 (218) I 233 (213) — Pl. l. s. 165. 166 — Zop. (Orib. II 597) eup. II 77 (289) — eup. I 5 (97), cf. Zop. (Orib. II 553) — Pl. l. s. 166 eup. I 69 (127) — Pl. XX 167 — Pl. l. s. 165 — Pl. l. s. 165 D. eup. I 118 (151) — Zop. (Orib. II 588) Pl. l. s. 167 eup. I 154 (173) — Pl. l. s. 167, cf. Zop. (Orib. II 555) — Pl. XIII 127. XX 165.

20 SIM. Pl. XIX 166. XX 181; D. eup. I 240 (221) I 72 (131).

20 EXC. Orib. XII s. v. (*λεπίδιον — γάλακτος*); Gal. XII 58 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

---

1 *κοιλίαν καὶ στόμαχον· ἔστι δὲ καὶ διψώδης* R *ἐστι· ἔστι δὲ καὶ* F 3 *ἐκτήκει* PFE: *τήκει* reliqui (abhinc habemus cod. P, cuius fol. 1 incipit ab *ἐκτήκει*) *ὁλκῆς* Q 4 *ἡμέρας $\overline{μ}$* RDi *καὶ* (pr.) om. REDi *καὶ διαχωρεῖ* R: *καὶ διαχώρημα αἱματῶδες* EDi 5 *ἰσχιαδικαῖς τε παραλύσεσι* E *πινόμενος ὁ καρπὸς* REHDi *καὶ* (alt.) om. R 6 *καὶ ἔμμηνα*] *ἔμμηνα τε* REDi 7 *καὶ* (pr.) om R *ὀδόντων* RDi *ἐν ὄξει* N *ἑψόμενος* QDi 8 *τε* om. R 10 quae post *ἕλκος* sequ. om. C *καταπλάττεταί τε* E 12 *λεῖα δὲ τὰ φύλλα* NE 13 *διαχεῖ* N: *διαχεῖ καὶ διαφορεῖ* E 14 *ἐνσταζόμενος* N *μέντοι γε* E 15 *μαρμαρίτας* libri: corr. Marc. coll. Strab. 825. 838, cf. praeterea D. eup. I 242 (223) 17 *ἡ δὲ ἐκ* EDi 17 *Ἀραβίας*] *λιβύης* libri: corr. Sarac. coll. Gal. XII 11 Pl. XIII 127 18 *φλυκταινοῦσα τε* E *διασήπουσα*] *κατεσθίουσα* Di 19 *ἀνεπιτήδειος* Di: *ἄχρηστος* E (corr. E[2]): *εὔθετος* H

20 num. cap. $\overline{τγ}$ ODi: $\overline{ρπγ}$ E tit. *περὶ λεπιδίου* QDi *ὅ* om. E

ἐστι τῶν φύλλων δριμεῖα, ἑλκωτική, ὅθεν ἰσχιαδικῶν ἐστιν ἐπίπλασμα ἀμυκτικώτατον, λεῖον σὺν ἑλενίου ῥίζῃ ἐπιτιθέμενον πρὸς τέταρτον ὥρας, καὶ ἐπὶ σπληνικῶν ὁμοίως· ἀφίστησι δὲ καὶ λέπρας. ἡ δὲ ῥίζα δοκεῖ ὀδόντων ἀλγήματα παραιτεῖσθαι περιαπτομένη τῷ τραχήλῳ.

175 *βατράχιον· οἱ δὲ σέλινον ἄγριον καλοῦσι. τούτου πλείονά ἐστιν εἴδη, δύναμις δὲ μία, δριμεῖα καὶ ἄγαν ἑλκωτική.*

---

175 RV: *σέλινον ἄγριον· οἱ δὲ βατράκιον, οἱ δὲ γελωτοποιός, οἱ δὲ μεθύουσα, οἱ δὲ Σαρδόνιον, οἱ δὲ ἀμέθυστον, οἱ δὲ ὑοσέλινον, οἱ δὲ ἱπποσέλινον, Αἰγύπτιοι μεθυού, Ῥωμαῖοι ἄπιουμ, οἱ δὲ ἄπιου⟨μ⟩ ἰρσού⟨τουμ⟩, οἱ δὲ αὐριμετέλλουμ, Θοῦσκοι ἄπιου⟨μ⟩ ῥανίνου⟨μ⟩.*

σέλινον ἄγριον ἕτερον· οἱ δὲ φρύνιον, οἱ δὲ ἀκιδωτόν, οἱ δὲ βατράκιον, Ῥωμαῖοι ἄπιου⟨μ⟩ φλάου⟨ουμ⟩.

---

6 SIM. Pl. XXV 172 (c S. N.); Geop. II 6, 30.

6 EXC. Orib. XI s. v. (*βατράχιον — γαλακτίζον*); Gal. XI 849 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.); Ps. Ap. 9, cf. Ps. Orib. III 65 ∾ A. Mai l. s. VII 438; Ps. Orib. V 43.

---

1 *ἰσχιαδικὸν* V *τέ ἐστιν* E 2 *ἀμυκτικότερον* E: *ἀμυντικώτατον* HDi 3 *πρὸ* P *ἐπὶ* om. E *ἀφίστησίν τε καὶ* E 4 *ὀδόντος* E 5 *τραχήλῳ* libri: *adalligatum bracchio* Pl. in mg. cx Aet. XII 2 add. *v* (fol. 64r) cap. de Iberide *λεπίδιον, ὃ ἔνιοι Ἰβηρίδα καὶ καρδαμίνην καλοῦσι· καὶ γὰρ ὀσμὴν καὶ γεῦσιν καὶ ἰδέαν ἔχει καρδάμῳ* (leg. *καρδάμου*)· *φύεται δὲ πολλὴ πανταχοῦ, μάλιστα δὲ παρὰ τοῖς παλαιοῖς μνήμασι καὶ τοίχοις καὶ παρὰ τὰς ὁδοὺς ἐν ἀγεωργήτοις τόποις. φύλλα δὲ ἔχει καρδάμου, ἔαρος μὲν εὐθαλῆ καὶ μείζω πολὺ τοῦ καρδάμου, μῆκος δὲ τοῦ καυλοῦ σμικρῷ πλέον πήχεως· θέρους δὲ ἄνθος γαλακτηνὸν* (l. *γαλάκτινον*) *προσβάλλει* (l. *προβάλλει*), *καὶ τότε ἐστὶ δραστικώτατον· σπέρμα δὲ φέρει μικρό* (fol. 64v in marg.) *τατον παρ᾽ ὅλον τὸν καυλόν. ἡ δὲ ῥίζα ὀσμὴν ἔχει δριμυτάτην μάλιστα, πάντη καρδάμῳ ἐμφερῆ. ταύτην ὥρᾳ θέρους λαβὼν πρόσφατον — ξηρὰ γὰρ ἀδρανὴς γίνεται — κόψον ἐπιμελῶς — καὶ γάρ ἐστι δύσκοπτος — καὶ ἀξουγγίου ὑείου παλαιοῦ πάνυ ὀλίγῳ ἀναλαβὼν ἐπιτίθει τῇ τε κοτύλῃ καὶ παντὶ τῷ σκέλει καὶ ἐν δυσὶν ὥραις ἐγείρει οἴδημα μετὰ πυρώσεως καὶ εὐθὺς εἰς βαλανεῖον θερμότατον βαλὼν τὸν κάμνοντα θεραπεύσει* (*θεραπεύσειν* v). idem cap. in brevius contractum in calce libri I add. p, cf. Studemund, ind. lect. Vratislav. 1888/89 p. 22

6 num. cap. *τδ̅* ODi: *ρπδ̅* E tit. *περὶ βατραχίου* QDi *καλοῦσι* om. Orib. *τούτων ἐστὶν* R: post *τούτου* charta lacsa P 7 *μέν ἐστιν* EDi *δύναμις — ἑλκωτική* om. Orib. *δὲ*] *τε* R *μία* om. O: *δύναμιν δὲ ἔχει μίαν* E *δριμεῖαν* E *ἑλκωτικήν* E

8 C fol. 306v: N 162 *Siculi dicunt selinon agrion* Ps. Ap. *βατράκιον* R 10 *ὑοσέλεινον* N *egypti ennecon* Ps. Ap. 11 *ἄπιουμ* C: *ἀπιουμονοῤ* N: fort. apium odoratum *ἀπιουρισου* R: *apiu risu* Ps. Ap.: corrcxi *αὐριμετέλλουμ* (*μ* om. N) R 13 C fol. 307v: N 162 *οἱ δὲ ἀκιδωτόν* om. N, cf. D. III 15. IV 54 14 *βατράκιον* R *ἀπιουφλαου* R: corrcxi

ἔχει δὲ τὸ μὲν αὐτῶν φύλλα ὅμοια κορίῳ, πλατύτερα δὲ καὶ ὑπόλευκα καὶ λιπαρά, ἄνθος μήλινον, ἐνίοτε δὲ πορφυροῦν, καυλὸν δ' οὐ παχύν, ὕψος δὲ ὅσον πήχεως, ῥίζαν μικράν, λευκήν, πικράν, ἔχουσαν ἀποφύσεις ὡς ἐλλεβόρου· φύεται δὲ παρὰ ῥείθροις. ἔστι δὲ καὶ ἕτερον εἶδος χνοωδέστερον καὶ μακροκαυλότερον, ἐντομὰς ἔχον πλείους τῶν φύλλων, πλεῖστον ἐν Σαρδονίᾳ γεννώμενον, δριμύτατον, ὃ δὴ καὶ σέλινον ἄγριον καλοῦσι· καὶ τρίτον σφόδρα μικρὸν καὶ | δύσοσμον, τὸ ἄνθος χρυσῷ ὅμοιον· καὶ τέταρτον ἐοικὸς τούτῳ, ἄνθη γαλακτίζον.

δύναμιν δὲ ἔχει τὰ φύλλα καὶ οἱ καυλοὶ καταπλασσόμενοι 2
ἁπαλοὶ ἑλκωτικὴν καὶ ἐσχαρωτικὴν μετὰ πόνου, ὅθεν ὄνυχας λεπροὺς καὶ ψώρας ἀφίστησι καὶ στίγματα ἐξαίρει καὶ μυρμηκίας καὶ ἀκροχορδόνας καὶ ἀλωπεκίας πρὸς ὀλίγον καταπλασθέντα· ἑψόμενα δὲ κατάντλημα χιμετλιώντων ἐστὶ χλιαρόν. ἡ δὲ ῥίζα πταρμὸν κινεῖ ξηρὰ λεία προσφερομένη τοῖς μυκτῆρσι, καὶ ὀδονταλγίας κουφίζει προσαπτομένη· θρύπτει μέντοι αὐτούς.

---

11 SIM. Zop. II 578 Pl. XXV 173 — Pl. XXVI 150 D. eup. I 130 (159) — Pl. XXV 173 eup. I 128 (157) — Pl. XXV 173 eup. I 116 (151) — Pl. l. s. eup. I 95 (140) — Pl. XXVI 106 eup. I 179 (189) — Pl. XXV 173 — Pl. l. s. eup. I 71 (129).

---

1 *κορίῳ φύλλα ὅμοια* ROrib.E *δὲ* (alt.) om. Orib. 2 *καὶ* om. RE *δὲ* om. HDi post *πορφυροῦν* add. *κατὰ τὰς ἐν Σαρδονίᾳ διαφορὰς τῶν τόπων* N 3 *ὕψος — πήχεως* om. RE: *ὕψος δὲ* om. Orib. *πηχυαῖον* Orib. *ῥίζα λευκή, πικρά, ἔχουσα* R *μικράν*] *μίαν* E² (superscr.), om. Orib. Dl 4 *πικράν*] *μικράν* Orib. (corr. O²): *πικράν* corr. E² *ἀπόφυσιν* Orib. *τοῦ ἐλλεβόρου* E 5 *ῥεῖθρα* Orib.: *τὰ ἔνυγρα* C: *τὰ ἔνυδρα* N *εἶδος* om. ROrib.E *γονατωδέστερον* Orib.: *χιονωδέστερον* R: *foliosius* Pl.: *foliis hirtis* Ps. Ap. *μακροκαυλωδέοτερον* N 6 *τῶν φύλλων πλείους* Orib. post *φύλλων* transpos. *δριμύτατον* ROrib.E *πλεῖστον — γεννώμενον* om. Orib. 7 *οαρδινίᾳ* R: *σαρδωνίᾳ* Di *καλοῦσιν ἄγριον* RE (*ὃ — καλοῦσι* om. Orib.) 8 post *καὶ* (alt.) unum cod. P fol. periit, incipit rursus in c. 176 extr. *τῷ ἄνθει* ROrib.E (corr. E²): *τὸ ἄνθος τὸ εἶδος* QV 9 *ἐγχρυσίζον* Orib. *τῷ ἄνθει* Orib.: *ἄνθει* RE (*ει* in ras.): *ἄνθος* HDi *γαλακτίζοντα* F: *γαλάκτινον* COrib.: *γαλακτίνῳ* N 11 post *τὰ φύλλα* add. *καὶ τὰ ἄνθη* Di post *καυλοὶ* add. *πάντων ὁμοίαν* C *ἁπαλοὶ καταπλαττόμενον* (*καταπλασσόμενοι* Di) CDi 12 *ἁπαλοὶ* om. NE 14 *ὀλίγον χρόνον* Gal. *καταπλαττόμενον* (*σσ* C) R: *καταπλασσόμενα* E 15 *χεμέθλων* R: *χειμετλιώντων* E: *χεμετλιώντων* V: *χυμεθλιώντων* Di: *χεμέτλων* F: *χυμέθλων* H *χλιερόν* RE 16 *τοῖς μυκτῆρσι* om. RE (superscr. E²) 17 *θραύει* RE

176 *ἀνεμώνη, οἱ δὲ ἀργεμώνιον, οἱ δὲ ἠρέμιον καλοῦσι.* *δισσή, ἡ μὲν ἀγρία ἡ δὲ ἥμερος. καὶ τῆς ἡμέρου ἡ μέν τις φοινίκεα φέρει τὰ ἄνθη ἡ δὲ ὑπόλευκα, γαλακτίζοντα ἢ πορφυρᾶ. φύλλα δὲ κοριοειδῆ, λεπτοσχιδέστερα ⟨τὰ⟩ πρὸς τῇ γῇ, καυλία χνοώδη, λεπτά, ὑπὲρ ὧν τὰ ἄνθη ὥσπερ μήκωνος, καὶ μέσα κεφάλια μέλανα ἢ κυανίζοντα· ῥίζα κατὰ μέγεθος ἐλαίας ἢ μείζων, οἱονεὶ γόνασι διειλημμένη. ἡ δὲ ἀγρία κατὰ πάντα μείζων τῆς ἡμέρου καὶ τοῖς φύλλοις πλατυτέρα καὶ σκληροτέρα, καὶ τὴν κεφαλὴν ἐπιμηκεστέραν ἔχει, ἄνθος φοινικοῦν, ῥιζία λεπτὰ καὶ πλείω. ἡ δέ τις ἔχει φύλλα μέλανα, δριμυτέρα οὖσα.*

2 *δύναμιν δὲ ἔχουσι δριμεῖαν ἀμφότεραι, ὅθεν ὁ χυλὸς τῆς ῥίζης αὐτῶν ῥινὶ ἐγχυθεὶς πρὸς κεφαλῆς κάθαρσιν ἁρμόζει· καὶ μασηθεῖσα δὲ ἡ ῥίζα ἄγει φλέγμα, ἑψηθεῖσα δὲ ἐν γλυκεῖ καὶ*

---

176 RV: *ἀνεμώνη ἡ φοινική· οἱ δὲ ἠνέμιον, οἱ δὲ μηκώνιον ἢ μηκωνίδα, οἱ δὲ τραγόκερως, οἱ δὲ γῆς παρειάν, οἱ δὲ βραβύλη, Ὀσθάνης βηρύλλιος, ὁμοίως ὄρνιθος κεφάλιον, Πυθαγόρας ἀδρακτυλίς, προφῆται κνῆκος ἀγρία, Ῥωμαῖοι Ὄρκι τούνικαμ, Ἄφροι χουφφοίστ.*

ἀνεμώνη ἡ ἀγρία μέλαινα.

---

1 SIM. Theophr. h. pl. VI 8, 1; Crat. (Wellm. I 15) schol. Theocr. V 92; Pl. XXI 164 (e S. N.).

1 EXC. Orib. XI s. v. (*ἀνεμώνη — οὖσα*); Gal. XI 831 (unde Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

11 SIM. Pl. l. s. 165 D. eup. I 3 (96) — Pl. 166 eup. I 5 (97) — Pl. 166 eup. I 41. 42 (112. 113) — Pl. 165 — Pl. 165 eup. II 78 (290).

---

1 num. cap. *τε̅* QDi: *ρπε̅* E   post *ἀνεμώνη* syn. e R add. Di, mg. add. H[2]   *οἱ δὲ — καλοῦσι* om. Orib.   *ἡγεμόνιον* VFH (charta laesa): om. E, correxi cf. D. IV 41 (extr.)   *ἠρέμιον* VQ: *ἠνέμιον* RDi: *πρεμνίον* E: *eremion* Dl: *fremion* (= eremion) Pl. l. s.   2 *ἡ μὲν ἥμερος ἡ δὲ ἀγρία* Orib.   post *μὲν* (pr.) add. *τις* R   *τῆς μὲν* Orib.   3 *φοινίκια* F: *φοινικά* Orib.NHEDi: *φοινίκαια* C   *ἢ γαλακτίζοντα* QDi   4 *δὲ ἔχει* ROrib.E   *τὰ* addidi   5 *ἰνώδη* Orib. (*χνοώδη* superscr. O[2])   *ὑπὲρ ὧν*] *εὐερνῆ* E   6 *μέσα καὶ μείζονα* E   *ἢ κυανίζοντα* om. VDl   *ῥίζαν* (*μείζονα, διειλημμένον*) R   7 *ἡ δὲ — 10 οὖσα* om. R   *ἀγριωτέρα* Orib.   8 *σκληρά* E   9 *τὴν δὲ κεφαλὴν* (om. *καὶ*) Orib.: *τήν τε κεφ.* EDi   *ῥιζάρια* Orib.   12 *ῥινεγχύτης* C: *ῥεινεγχυθεὶς* N: *ῥινέγχυτος* E   *ἁρμόζει* om. RE, mg. add. E[2]   *καὶ* om. HDi   13 *φλέγμα ἄγει* HDi   *φλέγματα* R

14 C fol. 26r: N fol. 12   effig. herb. pict. add. C (fol. 25v m. rec.) *κουτζουνάδα*   initio post *ἀνεμώνη* add. *οἱ δὲ ἀγρίαν, οἱ δὲ μέλαιναν καλοῦσι· καὶ ἀνεμώνη ἡ φοινική* Di   *μικώνιον* C   15 *ἢ μηκωνίδα* om. CDi   *παρίνη* CDi: *παρείνη* N: correxi   16 *βαρβύλη* libri: correxi   *ὁμοίως* om. N   ΟΡΝΙΟC ΚΕΡΑΝΙΟC (sic) RDi: correxi, *κυνοκεφάλιον* ab aliis vocatur, cf. Hes. s. v.   17 *ἀδρακτυλλίς* R: fort. *ἀτρακτυλίς*   18 ad Orci tunicam cf. Serv. in Verg. Buc. V 17

καταπλασσομένη ὀφθαλμῶν φλεγμονὰς ἰᾶται καὶ τὰς ἐν ὀφθαλμοῖς οὐλὰς ἀποσμᾷ· ἀνακαθαίρει δε καὶ τὰ ῥυπαρὰ τῶν ἑλκῶν. τὰ δὲ φύλλα καὶ οἱ καυλοὶ συνεψηθέντα πτισάνῃ καὶ ἐσθιόμενα γάλα κατασπᾷ, ἐν προσθέτῳ δὲ ἔμμηνα ἄγει, καταπλασθέντα δὲ λέπρας ἀφίστησιν.

ἔνιοι δὲ μὴ δυνάμενοι διορίζειν ἀπὸ τῆς ἀγρίας ἀνεμώνης 3
τὴν λεγομένην ἀργεμώνην καὶ τὴν ῥοιάδα μήκωνα, περὶ ἧς ἐν ταῖς μήκωσιν ἱστορήσομεν (IV 63), διὰ τὸ τῶν ἀνθῶν ὁμόχρουν, φοινίκεον ὑπάρχον, πλανῶνται τὴν Εὐπατόριον ἀργεμώνην ὀνομάζοντες· πλὴν τῆς ἀργεμώνης ἧττον βαθὺ τὸ φοινικοῦν ἐστι καὶ τῆς ῥοιάδος· ὀψιαίτερον δὲ αὕτη καὶ ἡ ἀργεμώνη ἀνθοῦσι, καὶ ἡ μὲν ἀργεμώνη ὀπὸν ἀνίησι κροκίζοντα καὶ δριμὺν πρὸς τὴν γεῦσιν ἰσχυρῶς, ἡ δὲ ῥοιὰς λευκότερον καὶ δριμύν. ἀμφότεραι δὲ μεταξὺ κεφάλιον μήκωνι ἀγρίᾳ παραπλήσιον ἔχουσι, πλὴν τὸ μὲν τῆς ἀργεμώνης ἄνωθεν ὑπόπλατυ, τὸ δὲ τῆς ῥοιάδος ὑπόστενον. αἱ δὲ ἀνεμῶναι οὔτε ὀπὸν ἀνιᾶσιν οὔτε κωδύαν ἔχουσιν ἀλλ' οἱονεὶ ἀσπαράγου ἄκρον, ἐν ἀρούραις τε τὸ πλεῖον ἐκεῖναι φύονται.

177 ἀργεμώνη· ὅλον μέν ἐστιν ὅμοιον ἀγρίᾳ μήκωνι, τὸ δὲ φύλλον ἀνεμώνῃ ἔχει ὅμοιον, ἐσχισμένον, ἄνθος φοινικοῦν,

6 SIM. Pl. XXI 165.
6 EXC. Orib. XI s. v. (ἔνιοι — φύονται).
19 SIM. Pl. XXV 102.
19 EXC. Orib. XI s. v. (ἀργεμώνη — δριμύν); cf. Gal. XI 835 (= Paul. Aeg. VII 3 s. v.).

2 post οὐλὰς add. καὶ ἀμβλυωπίας RDi, post ἀποσμᾷ E ἀποσμᾶ R: ἀποσπᾶ V: ἀποσμήχει reliqui ἀποκαθαίρει E τε καὶ VQ 3 συνεψηθέντες CH σὺν πτισάνῃ R 6 ἔνιοι — φύονται om. RDl οἱ δὲ Orib. ἀργεμώνης Di 7 ἀργεμίδα Di 8 μηκώνιοιν Orib. ἱστορήσαμεν E διὰ γὰρ τὸ Orib. 9 φοινίκιον QDi: φοινικοῦν Orib.E (at ουν in ras.) πλανῶνται καὶ τὴν εὐπατορίαν ἀργεμώνην ὀνομάζουσι Orib.: πλ. δὲ καὶ τὴν εὐπατόριον ἀνεμώνην ὀνομάζουσιν E τὴν ἀγρεμώνιον (ἀργεμώνην H) εὐπατόριον QDi, cf. D. IV 44 11 τε αὗται τῶν ἀνεμωνῶν Orib.E ἀνθοῦσα V 13 λευκὸν Orib.E καὶ ἀμφότεραι δὲ E ἀμφότερα VF 14 κεφάλια (παραπλήσια) EOrib.HDi 15 ἀνεμώνης HDi ὑπόπλατυ Orib.E: ὑποπατεῖ V: . . . πατυ (ab hac voce inc. P fol. 2) P: ὑπόπαχυ QDi 16 ἄνωθεν ὑπόστενον E τὸ δὲ τῆς ἀνεμώνης οὔτε (ἀνίησιν, ἔχει) Orib. οὔτε (pr.)] οὐδὲ Q 18 πλεῖστον E

19 num. cap. $\overline{\tau\varsigma}$ ODi: $\overline{\rho\pi\varsigma}$ E tit. περὶ ἀγρεμώνης RDi post ἀργεμώνη syn. e R add. Di, mg. add. syn. alt. arg. H²: ἡ λεγομένη παπάβαρι add. V initium sic habet Di (e R) παρέοικεν ἀγρίᾳ μήκωνι, τὸ δὲ φύλλον ἀργεμώνης ἐσχισμένον, καυλὸν ἐν ἄνθει φοινικοῦν 20 ἀνεμώνης ἐσχισμένης ὅμοιον Orib. ἐσχισμένον om. E ἄνθος φοινικοῦν] καυλὸν ἐν (om. Orib.) ἄνθει φοινικοῦν Orib.E: *virga tenue et colore melinu habens* Dl

κεφαλὴν δὲ ἐοικυῖαν μήκωνι ῥοιάδι, ἐπιμηκεστέραν δὲ καὶ πλατεῖαν κατὰ τὰ ἄνωθεν μέρη, ῥίζαν στρογγύλην· ὀπὸν δὲ ἀνίησι κροκίζοντα, δριμύν.

καθαίρει δὲ ἄργεμα καὶ νεφέλια, καὶ φλεγμονὰς παρηγορεῖ τὰ φύλλα καταπλασσόμενα.

[178 RV: ἀργεμώνη ἑτέρα· οἱ δὲ ἀργεμώνην ἄρσενα, οἱ δὲ σαρκοκόλλαν, Ῥωμαῖοι ἀργεμώνιαμ· καὶ αὕτη παρέοικε μὲν ἀγρίᾳ μήκωνι τοῖς φύλλοις.

δύναμιν δὲ ἔχει αὕτη χλωρὰ τριβομένη λεία καὶ ἐπιτιθεμένη διακοπὰς θεραπεύειν καὶ ὀφθαλμῶν φλεγμονὰς παύειν· ἁρμόζει δὲ καὶ δυσεντερικοῖς σὺν ὕδατι πινομένη, κολλητική τε τραυμάτων καὶ φλεγμονῶν ἐστιν εὔθετος, ὡσαύτως ἐπιτιθεμένη σπασμάτων καὶ τιλμάτων ἐστὶ θεραπευτική· ἁρμόζει καὶ θηριοδήκτος σὺν οἴνῳ πινομένη.]

178 ἀναγαλλίς, οἱ δὲ κιχόριον καλοῦσι· διττόν ἐστιν

---

177 RV: ἀργεμώνη· οἱ δὲ οἰνώνη, οἱ δὲ ἀνθεμίς, οἱ δὲ ὁμόνοια, οἱ δὲ ἄνθος πεδινόν, Ῥωμαῖοι λιβούρνια, οἱ δὲ κογκορδιάλις, οἱ δὲ φερράρια, Γάλλοι κόρνα. ἡ ἀργεμώνη παρέοικε μὲν ἀγρίᾳ μήκωνι καὶ ἀνεμώνῃ, διακρίνεται δὲ τῷ τὴν κεφαλὴν ἔχειν ἄνωθεν ὑπόπλατυν, ἄνθη μὴ οὕτως εἶναι φοινικᾶ καὶ ῥίζαν ἔχειν στρογγύλην, ἐξ ἧς ἀνίεται κροκίζοντα τὸν ὀπὸν δριμύν. ποιεῖ πρὸς ἀποκάθαρσιν ἀργέμου καὶ νεφελίου, καὶ φλεγμονὰς παρηγορεῖ τὰ φύλλα καταπλασσόμενα.

---

6 SIM. Ps. Ap. 32 (= Ps. Orib. I 17).

15 SIM. Pl. XXV 144 sq. (e S. N. — Crat., cf. Wellm. I 18).

15 EXC. Orib. XI s. v. (*ἀναγαλλίς — ἄρρην*); Gal. XI 829 (= Aet. I s. v. Paul. Aeg. VII 3 s. v.); Ps. D. de h. f. 63 (cf. Ps. Orib. III 52 ∾ A. Mai VII 435); Ps. Orib. V 26; Hes. s. v. *ἀναγαλλίς* et *κόρχορος*.

16 SIM. Ps. Ap. 32 (= Ps. Orib. I 17, cf. Ps. Orib. V 14).

---

1 *δὲ* (pr.) om. H *καὶ* om. E 5 in fine e R add. Crateuae frg. (cf. Wellm. I 18) et descript. alterius argum. Di

6 cap. *περὶ ἀργεμώνης ἑτέρας* e R (C fol. 58r, N 10) interpol. Di *οἱ δὲ ἀρτεμώνην* (*ἀργεμώνη* Di) *οἱ δὲ ἀρσελάμ* RDi: correxi 7 *sarcocolla* Ps. Ap. 8 *ἀγρίας μήκωνος* C 10 *καὶ ὀφθ. φλεγμ. παύει καὶ διακοπὰς θεραπεύει* N 11 *δὲ* om. CDi

15 num. cap. *τζ̄* ODi: *ρπζ̄* E initio syn. e R add. Di, mg. H[2] *τῆς ἀναγαλλίδος διττὸν εἶδός ἐστιν αὐτῆς* (*αὐτ.* om. Di) RDi *οἱ δὲ — καλοῦσι* om. Orib. *κιχώριον* Q: *cicorium* Dl: *acoron* Pl.: *κορχόριον* E: *κόρχορον* R, cf. Hes. s. v. *κόρχορος*, fort. recte *διττὸν δέ* E

16 C fol. 29r: N 10 *unone* Ps. Ap. 16 *omunuia* Ps. Ap. *λοβορνία* CDi: *λιβορνια* N: *liburnia* Ps. Ap. *κονκορδίαλις* R: *cordialis* Ps. Ap. 18 *περγαλία* RDi: correxi coll. Dl *agrimone herba . . . ferraria minor dicitur* 20 *ὑπόπλατυ* C *φοινικοῦν* C 21 *ἐνίοτε στρογγύλην* C

εἶδος αὐτῆς, διαφέρον ἄνθει· ἡ μὲν γὰρ κυάνεον ἔχουσα τὸ ἄνθος θήλεια λέγεται ἡ δὲ τὸ φοινικοῦν ἄρρην. θαμνία δέ ἐστι κεχυμένα ἐπὶ γῆς, φυλλάρια ἔχοντα ἐπὶ τετραγώνων καυλῶν μικρά, ὑποστρόγγυλα, πρὸς τὰ τῆς ἑλξίνης, καρπὸν δὲ περιφερῆ.

εἰσὶ δ' ἀμφότεραι τραυματικαί, ἀφλέγμαντοι, σκολόπων

178 RV: ἀναγαλλὶς ἡ φοινικῆ· οἱ δὲ ἀερῖτις, οἱ δὲ αὐγῖτις, οἱ δὲ σαυρῖτις, προφῆται αἷμα ὀφθαλμοῦ, οἱ δὲ χελιδόνιον, Ῥωμαῖοι μάκια, οἱ δὲ ἀντούρα, οἱ δὲ τούρα, οἱ δὲ τουραδουπάγω, Θοῦσκοι μασύτιπος, Γάλλοι σαπάνα, Δάκοι κερκέρ, Ἄφροι ἀτιρσισοεί.

ἀναγαλλίς ἡ κυανῆ· οἱ δὲ κόρχορον, οἱ δὲ ἀλικάκκαβον, οἱ δὲ αἴλουρον, οἱ δὲ αἰλούρου ὀφθαλμόν, οἱ δὲ ζειλίαυρος, προφῆται νυκτερῖτις, οἱ δὲ πελαργῖτις, Ὀσθάνης χελιδόνιον, Αἰγύπτιοι μιχιεί, Ῥωμαῖοι μεκιατούρα, οἱ δὲ ἀντούρα, Θοῦσκοι τάντουμ, Ἄφροι ἀσιρρισοεί.

6 SIM. D. eup. I 162 (177) Pl. XXVI 144 — D. eup. I 167 (180) — Pl. XXVI 144 — D. eup. I 3 (96) Pl. XXV 144 — eup. I 72 (131) Pl. XXV 166 — Pl. XXV 144 D. eup. I 42 (113) — Pl. XXV 144 eup. II 115 (315) — eup. II 102 (303) — Pl. XXVI 35 eup. II 58 (270) — Pl. XXVI 119 eup. II 63 (276) — Pl. XXVI 90 eup. I 224 (209).

1 *αὐτοῖς* P *τὸ* om. E 2 *ἡ δὲ ἑτέρα* Q *τὸ* om. QOrib. 3 *ἐστὶ*] *ἔχει* Q *φύλλα* RDi *καυλίων* REDi 4 *δὲ* om. QDi 6 quae de virtute herbae prof. D. e Crateua fluxerunt, cf. Wellm. I l. s. *ἀμφότερα* R *τραυματικαί*] *πραυντικὰ* R: *πραυντικαὶ* Di *καὶ ἀφλ.* RE *σκολόπων τε* Crat. RE 7 C fol. 40r: N 15 *ἀναγαλλὶς ἡ ἀκακαλλὶς ἡ φοινικῆ* N *αἰγεῖτις* N: *αἰγῖτις* reliqui: corr. Marc. 8 *αἱμοφθαλμοῦ* C, cf. pap. mag. Lugd. ed Dieterich (Fleck. suppl. XVI 816) 9 *μάκια*] cf. Marc. Emp. I 35, 32 *maciae quam graeci anagallida appellant* *οἱ δὲ ἀντούρα — δουπάγω* om. Di *Δάκοι τούρα* (post *κερκέρ* colloc.) C, cf. Marc. E. VIII 143 *turam et anturam herbam . . . contundes* *τυρραδοπαγό* H: suspectum 10 *Θοῦσκοι*] *οἱ δὲ* C *μασυτίπως* HDi: *μασυτειπος* N *Γάλλοι*] *θοῦσκοι* C *σπάνα* C: *σαπάνα* reliqui *Δάκοι*] *γάλλοι* C (perturbavit ord.) *κερκεραφρών* (om. *ἀτιρσ.*) Di, cf. Tomaschek l. s. 25 11 *ἀτιρσιοοεί* N: *ἀτιερσισοεί* C, fort. *ἀστιρσισοεί*, cf. Löw l. s. 404 12 C fol. 41r: N 15 *ἁλικάκαβος* HDi, cf. D. IV 71. 72 *οἱ δὲ αἴλ. — ὀφθαλμὸν* om. HDi: *οἱ δὲ* vix recte. ordo syn. perturbatus est. sic fort. legendum *οἱ δὲ νυκτερῖτις, οἱ δὲ πελαργῖτις, προφῆται αἴλουρον κτλ.* 13 *αἰλιουροφθαλμόν* C: *αἰλουροφθαλμόν* N: correxi, cf. Pl. XXV 144 *ζηλίαβρος* H: *ζηλίαυρος* Di: *ζειλιαυρος* R: corruptum, latet *αἴλουρος* vel *αἰλούρου* 14 *οἱ δὲ πελ. — χελιδόνιον* om. HDi *πελαγειτις* N: *πελαγίτις* C: correxi post *χελιδόνιον* add. *καλεῖ* C 15 *μικιει* C: *μειχιει* N: *μηκιεῖ* HDi *μεκιατουρα* R: *μεκίατο* Di: *μεκία* H: fort. *μάκια, οἱ δὲ τούρα* *οἱ δὲ ἀντούρα — τάντουμ* om. HDi 16 *ἀσιρρισοι* R: *ἀσίρρισοι* Di: *ἀσύρισι* H, correxi

2 ἐπισπαστικαί, νομῶν ἐφεκτικαί. ὁ δὲ χυλὸς αὐτῶν ἀναγαργαριζόμενος ἀποφλεγματίζει κεφαλὴν καὶ ῥισὶν ἔγχυτός ἐστι καὶ ὀδόντος πόνον παύει, ἐὰν εἰς τὸν ἀντικείμενον μυξωτῆρα τῷ ἀλγοῦντι ἐγχέῃς· καθαίρει δὲ καὶ ἄργεμα μετὰ μέλιτος Ἀττικοῦ καὶ ἀμβλυωπίαις βοηθεῖ, ὠφελεῖ καὶ ἐχεοδήκτους μετ᾽ οἴνου πινόμενος καὶ νεφριτικοὺς καὶ ἡπατικοὺς καὶ ὑδρωπιῶντας. φασὶ δ᾽ ἔνιοι τὴν μὲν ἔχουσαν τὸ κυανοῦν ἄνθος προπτώσεις δακτυλίου στέλλειν, τὴν δὲ τὸ φοινικοῦν ἐρεθίζειν καταπλασθεῖσαν.

179 κισσὸς πολλὰς ἔχει διαφορὰς τὰς κατ᾽ εἶδος, τὰς δὲ γενικωτάτας τρεῖς· λέγεται γὰρ ὁ μέν τις λευκὸς ὁ δὲ μέλας ὁ δὲ ἕλιξ. καὶ ὁ μὲν λευκὸς λευκὸν φέρει καρπόν, ὁ δὲ μέλας μέλανα ἢ κροκίζοντα, ὃν δὴ ἔνιοι Διονύσιον καλοῦσιν, ὁ

179 RV: κισσός· οἱ δὲ κιθάραν, οἱ δὲ κίσσαρον, οἱ δὲ χρυσόκαρπος, οἱ δὲ ποιητική, οἱ δὲ κορυμβήθρα, οἱ δὲ Νύσιον, οἱ δὲ Διονύσιον, οἱ δὲ ἰθυντήριον, οἱ δὲ Περσίς, οἱ δὲ κῆμος, οἱ δὲ ἄσπληνος, Ῥωμαῖοι σίλβαι μάτερ, οἱ δὲ ἔδεραμ, Γάλλοι σουιβῖτις.

10 SIM. Theophr. h. pl. III 18, 6 sq. Crat. (schol. Theocr. XI 46); Pl. XVI 144 sq. (ex Hyg.?); Ps. Apul. 98.

10 EXC. Orib. XI s. v. (κισσός — εὔρυθμα); Gal. XII 29 (= Aet. l. s. Paul. Aeg. l. s.); Ps. Orib. I 99 ~ A. Mai VII 443 (e D. lat.), cf. Ps. Orib. I 79. V 102.

1 νομῶν — κεφαλὴν om. R καὶ νομῶν E ἀναγαργαριζόμενος — κεφ. καὶ om. ECrat. 2 ῥινενχύτης C: ῥειν εγχυτικά N: ῥινέγχυτος Crat.E: ἐγχεόμενος Di ἐστι om. RECrat., mg. add. ἀποφλεγματίζειν· ἔγχυτον φλεγμαγωγόν P 3 ὀδόντος P: ὀδόντων reliqui, cf. D. eup. I 72 (131) τοῦ ἀλγοῦντος Crat. 4 ἐνχέῃς RCrat.: ἐγχέεις E: ἐπιχέῃς O: ἐμβληθῇ Di δὲ om. REDi ἀττικοῦς P 6 πινόμενον μετὰ (μετ᾽ N) οἴνου R καὶ νεφρ. καὶ ἡπ. om. C: καὶ ἡπατικοὺς post ὑδρ. add. N: καὶ ἡπατικοὺς καὶ νεφριτικοὺς E καὶ ὑδρωπιῶντας om. Di ὑδρωπικούς RE: ὑδροπιόνας F 7 κυάνεον DiCrat.: κυάνιον C πρόπτωσιν NCrat. 8 τὸ om. O 9 in fine add. χρῶνται δὲ αὐτῇ καὶ εἰς τὰς Δημοκρίτου δυνάμεις Crat.

10 num. cap. $\overline{\tau\eta}$ ODi: $\overline{\rho\pi\epsilon}$ E κιττὸς E post κισσός syn. e R add. Di τὰς δὲ — τρεῖς om. R 11 γενικὰς E 12 καὶ om. RDi ὁ δὲ λευκὸς N: ὁ μὲν οὖν λευκὸς CDi τὸν (om. CE) καρπὸν λευκὸν REDi: λευκοὺς φέρει καρποὺς H 13 δὴ] δι P: del. E[2] ἔνιοι] καὶ οἱ (οἱ om. Di) ἰδιῶται ROrib.Di

14 C fol. 175r: N 55 κίθαρον Di, cf. [Plut.] de fluv. 3, 4 κίσσαρον] cf. D. I 97. Boisson. An. gr. II 398 15 χρυσόκαρπος] cf. Pl. XVI 147 κορυμβία Theophr. h. pl. III 18, 6 Νύσιον] κύσιον Di, cf. Pl. XVI 147 16 ἰθυθήριον CDi: εἰθυθήριον N: correxi coll. Hes. s. v. κῆμος] cf. D IV 131 17 ἄσπληνος] cf. D. III 134 σίλβα libri: correxi coll. Scrib. Larg. 129 ἐδαιράμ Di 18 σουιβίτης Di: *bullusseron* Ps. Ap. (*bolusselon* Ack.)

δὲ ἕλιξ ἄκαρπός τέ ἐστι καὶ λεπτὰ ἔχει τὰ κλήματα καὶ τὰ φύλλα λεπτά, γωνιοειδῆ, εὔρυθμα.

πᾶς δὲ κισσὸς δριμύς ἐστι, στυπτικός, τοῦ νευρώδους ἁπτικός. ποιεῖ δὲ τὰ μὲν ἄνθη αὐτοῦ τοῖς τρισὶ δακτύλοις ληφθέντα καὶ ποθέντα σὺν οἴνῳ πρὸς δυσεντερίας· δὶς δὲ δεῖ τῆς ἡμέρας πίνειν· καὶ πρὸς πυρίκαυτα δὲ ἁρμόζει σὺν κηρωτῇ λειανθέντα.
τὰ δὲ ἁπαλὰ τῶν φύλλων ἑψόμενα σὺν ὄξει ἢ ὠμὰ λειαινόμενα 2
σπλῆνα ἰᾶται· ῥινεγχυτοῦται δὲ ὁ χυλὸς τῶν φύλλων καὶ τῶν κορύμβων σὺν ἰρίνῳ ἢ μέλιτι ἢ νίτρῳ πρὸς τὰ χρόνια τῆς κεφαλῆς ἀλγήματα καὶ ἐπιβρέχεται σὺν ὄξει καὶ ῥοδίνῳ, ὠταλγίας τε καὶ πυορροοῦντα ὦτα σὺν ἐλαίῳ ἰᾶται. τοῦ δὲ μέλανος κισσοῦ ὁ χυλὸς καὶ οἱ κόρυμβοι ποθέντες ἀγονίαν ποιοῦσι, καὶ ταράσσουσι τὴν διάνοιαν πλεονασθέντες· λεανθέντα δὲ σφαιρία πέντε τῶν κορύμβων καὶ θερμανθέντα σὺν ῥοδίνῳ ἐν σιδίῳ καὶ ἐνσταχθέντα εἰς τὸ ἀντικείμενον οὖς ἐπὶ ὀδονταλγίας τὸ ἄλγημα πραΰνει, μελαίνουσι δὲ καὶ τρίχας οἱ κόρυμβοι. κατα- 3

---

3 SIM. Pl. XXIV 75 — Pl. l. s. 79 D. eup. II 48 (260) — Pl. l. s. 79. 80 eup. I 178 (188) — Pl. l. s. 76. 79 eup. II 62 (275), cf. Scrib. Larg. 129 — Scrib. Larg. 2. 7. Pl. l. s. 75. 77 eup. I 10 (98), cf. I 3 (96) — Pl. l. s. 77 D. eup. I 60 (123) — Pl. l. s. 75 eup. I 25 (106) — Pl. l. s. 77 eup. I 72 (130) Archig. (Gal. XII 861) — Pl. l. s. 79 eup. I 99 (143) — Pl. l. s. 78 — D. eup. I 121 (154) — Pl. l. s. 76, cf. Zop. (Orib. II 598) eup. II 78 (291) — Pl. l. s. 76 — Pl. l. s. 79 eup. II 103 (145) — Pl. l. s. 71 — Pl. l. s. 79 eup. II 121 (320).

---

1 *τε* om. R *λευκὰ* Q *τὰ* (pr.) om. E *καὶ τὰ φύλλα λεπτά* om. mg. add. P (pr, m.) *τὰ* (alt.) om. E 2 *φύλλα ἔχει* E (*ἔχει* del. E[2]) *λεπτά*] *μικρά* ROrib.Di : *λεπτὰ μικρά* E *καὶ γωνιώδη* RDi *καὶ ἐρυθρά* Di *εὔρυθμα*] *ἐρυθρά* libri: *grossa* Dl: corr. Scaliger, cf. Theophr. l. s. Pl. XVI 148 3 *ἅπας δὲ κιττὸς* E *ἐστι* om. RE *στυπτικὸς ἰσχυρῶς* E *τοῦ — ἁπτικός* om. R 4 *αὐτῶν* E 5 *ἐν οἴνῳ* RDi *δυσεντερίας* PH: *δυσεντερίαν* FE: *δυσεντερικοὺς* RDi *δεῖ* post *ἡμέρας* transpos. REDi 7 *λειανθέντα* PFE: *λεανθέντα* reliqui *δὲ τὰ ἁπαλὰ* E *ἐν ὄξει ἑψόμενα* NE: *σὺν ὄξει ἑψόμενα* CDi *ἢ ὠμὰ*] *καὶ ἄρτῳ* RDi *λειαινόμενα* P: *συνλειαινόμενα* Q: *συνεκλειαινόμενα* R: *συνεκλεαινόμενα* EDi: *folia eius cocta cum aceto et inposita splenem attenuat* Dl 8 *σπλῆνας* RE *ἰᾶται* RE: *ἰῶνται* reliqui *ῥινεγχυτεῖται* RE 9 post *ἰρίνῳ* add. *καὶ μύρῳ* NDi *ἢ νίτρῳ* om. R *καὶ πρὸς* NDi 10 *ἀλγήματα ἁρμόζει* RDi *ἐπιβρεχόμενος ὄξει* (*καὶ* om.) R 11 *τε*] *δὲ* RDi: *τε* reliqui *αἱμορραγοῦντα* R post *ἐλαίῳ* extremum fol. 30[v] vocabulum unum cod. E fol. periit 12 *καὶ* (pr.)] *ἢ* R *ἀγωνίαν* R: *ἀτονίαν* reliqui: *ἀγονίαν* coni. Sarac. coll. Pl. l. s. 78 *καὶ ταράττεσθαι ποιοῦσιν τὴν διάνοιαν* R 13 *λεῖα* RDi 14 *καὶ* (pr.) om. RDi 15 *ὀδονταλγίαις* H *πραΰνουσι* R 16 *καταπλαττόμενοι* (*σσ* Di)· *τὰ δὲ φύλλα* RDi: *ut cataplasma inposita capillos nigrescit* Dl: fort. *οἱ κόρυμβοι καταπλασσόμενοι· καταπλάσσεται δὲ*

πλάσσεται δὲ τὰ φύλλα πρὸς πᾶν ἕλκος ἑψηθέντα σὺν οἴνῳ, καὶ κατακαύματα ⟨καὶ⟩ κακοήθη καὶ ἐφηλίδας θεραπεύει καταπλασθέντα, ὡς προείρηται, ἑφθά. κινοῦσι δὲ καὶ καταμήνια ποθέντες ⟨ἢ⟩ ὑποθυμιαθέντες ⟨οἱ κόρυμβοι λεῖοι, καὶ ποθέντες⟩ δὲ μετὰ τὴν κάθαρσιν δραχμῆς πλῆθος ἀτόκιόν ἐστι. καὶ ὁ μόσχος δὲ τῶν φύλλων μέλιτι δευθεὶς καὶ προστεθεὶς τῇ μήτρᾳ ἔμμηνα καὶ ἔμβρυα ἄγει, ὁ δὲ χυλὸς ἐνσταζόμενος τὰς ἐν ῥώθωσι δυσωδίας καὶ σηπεδόνας ἐκκαθαίρει. τὸ δὲ δάκρυον αὐτοῦ ψιλοῖ τρίχας καὶ φθεῖρας κτείνει ἐπαλειφόμενον, ὁ δὲ τῶν ῥιζῶν χυλὸς σὺν ὄξει ποθεὶς φαλαγγιοδήκτοις βοηθεῖ.

180 χελιδόνιον μέγα· οἱ δὲ ὀθόνναν καλοῦσιν, οἱ δὲ κρίνον. καυλὸν ἔχει πηχυαῖον ἢ καὶ μείζονα, ἰσχνόν, ἔχοντα

---

180 RV: χελιδόνιον μέγα· οἱ δὲ Παιονία, οἱ δὲ κραταιά, οἱ δὲ βραχύβιος, οἱ δὲ γλαύκιος, οἱ δὲ Πανδίο⟨νο⟩ς ῥίζα, οἱ δὲ Φιλομήλειον, οἱ δὲ ὀθόννιον, Ῥωμαῖοι φάβρου⟨μ⟩, οἱ δὲ πίου⟨μ⟩ φάβρου⟨μ⟩, Γάλλοι θώναν, Αἰγύπτιοι μοθόθ, Δάκοι κρουστάνη.

---

11 SIM. Pl. XXV 89 (e S. N.).

11 EXC. Orib. XII s. v. (*χελιδόνιον — ἀναπλάσσεται*); Gal. XII 156 (= Aet. I s. v. Paul. Aeg. VII 3 s. v.); Ps. D. de h. f. 18; Ps. Ap. 73 (unde Ps. Orib. I 60 ∾ A. Mai l. s. VII 436, cf. Ps. Orib. III 59. V 56); Isid. XVII, 9, 36.

11 TEST. Orib. V 139: *ταύτην δὲ τὴν ὀθόννην τινὲς καλοῦσι χελιδόνιον μέγα, ὡς ὁ Διοσκουρίδης φησίν.*

---

1 post *οἴνῳ* add. *καὶ καταπλασσόμενα* RDi 2 *καὶ* addidi e R coll. D. eup. I 203 (199) *πονηρευόμενα ἕλκη καὶ σκληρίας κακοήθεις θεραπεύει . . . κισσὸς λεῖος καταπλασσόμενος* post *κακοήθη* fort. *ἕλκη* addendum *καὶ* (alt.) om. Di *τὰς ἐφήλεις* R *καταπασθέντα* P: om. CDi 3 *ὡς — ἑφθά* om. C *καὶ* om. R 4 *ποθέντες*] *ὑποτεθέντες* Di *ἢ* addidi *ὑποθυμιαθέντες* om. RDi: *summitate ipse bibite et subposite menstruis imperat* Dl *οἱ κόρυμβοι — ποθέντες* add. e R (vers. om. arch. codd. O) coll. D. eup. II 78 (291) 6 *τοῦ φύλλου* R *καὶ τῇ μήτρᾳ ἐντεθεὶς* N 7 *καὶ ἔμβρυα* om. R, post *ἄγει* colloc. Di *ἐγκλυζόμενος* R *τοῖς ῥώθωσι* RDi 8 *ἐκκαθαίρει καὶ ἰᾶται* Di 9 *καὶ κτείνει φθεῖρας* NDi: *κτείνει δὲ καὶ φθ.* C 10 *ποθεὶς σὺν ὄξει* R

11 num. cap. *τθ* ODi: cap. om. E *τὸ μέγα* Di post *μέγα* syn. e R add. Di, mg. H² *ὀθόνην* Orib. *οἱ δὲ κρίνον* om. Orib.Dl 12 *ἔχει*] *ἀνίησι* RDi *ἢ* om. ROrib. *ἰσχνόν*] *ἰσχυρόν* N: om. Di

13 C fol. 373ᵛ: N 168 *μέγα* om. C *παιωνεία* Di: *παιωνία* H 14 *οἱ δὲ βραχύβιος* om. C: *ἀούβιος* libri: correxi *γλάκιος* R: *glaucios* Ps. Ap. *πάνδιος* libri: correxi 15 *φιλομήδιον* libri: *melion* Ps. Ap. (L: om. L₁V): correxi *ὠθόνιον* C: *ὀθόνιον* reliqui: *aegypti othonea* Ps. Ap. *Ῥωμαῖοι*] *οἱ δὲ* C *φαβίον* libri: correxi *οἱ δὲ πίουμ φάβρουμ* om. NDi: *ἐπιουφαβιον* CH: correxi 16 *Γάλλοι*] *οἱ δὲ* C *θῶνα* Di *γάλλοι μοθόθ, αἰγύπτιοι μονας* C *μοθόθ*] *daci mopop* Ps. Ap. *Δάκοι*] cf. Tomaschek l. s. 25

παραφυάδας φύλλων μεστάς, ὁμοίων βατραχίῳ, τρυφερώτερα μέντοι τὰ τοῦ χελιδονίου καὶ ὑπόγλαυκα τὴν χρόαν, καὶ παρ' ἕκαστον φύλλον ἄνθος ὥσπερ τοῦ λευκοίου· χυλὸς δὲ κροκώδης, δριμύς, δηκτικὸς ποσῶς καὶ ὑπόπικρος καὶ δυσώδης· ῥίζα ἄνωθεν μέν ἐστι μία, κάτωθεν δὲ πλείονες. καρπὸς | δ' ὥσπερ τῆς κερατίτιδος μήκωνος λεπτός, μακρὸς ὡς κῶνος, ἐν ᾧ σπερμάτια μείζονα μήκωνος.

ταύτης ὁ χυλὸς μιγεὶς μέλιτι καὶ ἑψηθεὶς ἐν χαλκῷ ⟨ἀγ- 2
γείῳ⟩ ἐπ' ἄνθρακος ἁρμόζει πρὸς ὀξυωπίαν· χυλίζεται δὲ καὶ ἡ ῥίζα καὶ τὰ φύλλα καὶ ὁ καρπὸς ἀρχομένου θέρους καὶ ξηραίνεται ἐν σκιᾷ καὶ ἀναπλάσσεται. ἡ δὲ ῥίζα πινομένη σὺν ἀνήσσῳ καὶ οἴνῳ λευκῷ ἰκτερικοὺς θεραπεύει, καὶ ἕρπητας καταπλασσομένη σὺν οἴνῳ, καὶ ὀδονταλγίας δὲ παύει διαμασωμένη. δοκεῖ δὲ κατωνομάσθαι χελιδόνιον, ἐπειδήπερ ἅμα ταῖς χελιδόσι ⟨φαινομέναις⟩ φύεται, ληγούσαις δὲ συμπαρακμάζει. τινὲς δὲ προσιστόρησαν ὅτι, ἐάν τις τυφλωθῇ τῶν τῆς χελιδόνος νεοσσῶν, αἱ μητέρες προσφέρουσαι τὴν πόαν ἰῶνται τὴν πήρωσιν αὐτοῦ.

181 χελιδόνιον τὸ μικρόν· οἱ δὲ πυρὸν ἄγριον καλοῦσι. βοτάνιόν ἐστιν ἐκ μόσχων ἀπηρτημένον, ἄκαυλον, φύλλοις κισσο-

8 SIM. Pl. XXV 142 — D. eup. II 56 (269) — Pl. XXVI 141 — Pl. XXV 170 — Theophr. h. pl. VII 15, 1. Pl. XXV 90 schol. Nic. Th. 857. schol. Theocr. XIII 41 — Cels. VI 6, 39 Pl. IX 87. XXV 89, Ael. III 25 (ex Alex. Mynd.) Dion. Ix. I 21.

12 TEST. Gal. XII 156: ἐχρήσαντο δ' ἔνιοι τῇ ῥίζῃ καὶ πρὸς τοὺς ὑπ' ἐμφράξεως ἥπατος ἰκτεριῶντας, ἐν οἴνῳ λευκῷ διδόντες πίνειν σὺν ἀνίσῳ.

18 SIM. Pl. XXV 89.

18 EXC.: Orib. XII s. v. (χελιδόνιον — τέλμασιν); Gal. XII 156 (= Aet. I s. v. Paul. Aeg. VII 3 s. v.).

1 post μεστὰς add. φύλλα Di ὅμοια Di: ὁμοίας ROrib. βατραχείῳ Orib.: βατρακίῳ R 2 τὰ τοῦ χελιδονίου om. R 3 τὸ λευκόιον QDi: τοῦ λευκοῦ λίνου C: τοῦ om. Orib. δὲ om. ROrib. 4 καὶ (pr.) om. ROrib.HDi ἡ δὲ ῥίζα O 5 πλείονες κροκοειδεῖς τὴν χρόαν R: πλείονες κροκοειδεῖς Di δ' om. ROrib. 6 τῆς om. Orib. μήκωνος om. CP λεπτός — μήκωνος om. R ὡς κῶνος om. Orib.Dl 7 τῶν τῆς μήκωνος Orib. 8 μέλιτι μιγεὶς Orib. ἀγγείῳ addidi ex Orib. 9 ἄνθρακος PF: ἀνθράκων reliqui ὀξυδορκίαν Di χυλ. δὲ τὰ φύλλα καὶ ἡ ῥίζα καὶ ὁ καρπὸς Orib.: χυλ. δὲ τὰ φύλλα καὶ ἡ ῥίζα καὶ ὁ καυλὸς (χυλὸς C) RDi 10 καρπὸς] virga ipsa Dl 12 λευκῷ — οἴνῳ om. H (mg. add. H²) ἰκτέρους F ἕρπητας ἐξάγει N καὶ καταπλασσομένη Di (dittogr.) 13 καὶ om. Di δὲ] τε Di: om. H 14 καὶ ὠνομάσθαι PF: καὶ om. reliqui: correxi 15 φαινομέναις addidi ἱστόρησαν HDi 16 ὅτι om. ODi ἂν τυφλώσῃ τις τοὺς τῆς χελιδόνος νεοσσοὺς R

18 num. cap. τι ODi: cap. om. E πύριον RH²: πύρινον Di ἐκάλεσαν ROrib.Di 19 ἀπηρτισμένον Di: ἀνηρτημένον reliqui, corr. Sarac. ἐν φύλλοις (ditt.) Di

ειδέσι, περιφερεστέροις δὲ μᾶλλον καὶ μικροτέροις καὶ τρυφερωτέροις καὶ ὑπολιπαρωτέροις περιεχόμενον. ῥίζας δὲ ἔχει ἐκ τοῦ αὐτοῦ μικράς, πολλάς, ὥσπερ πυροὺς συσσεσωρευμένους· τρεῖς δὲ ἢ τέσσαρές εἰσιν αὐτῶν μακραὶ πεφυκυῖαι. φύεται δὲ παρ᾽ ὕδασι καὶ τέλμασιν.

ἔχει δὲ τὴν δύναμιν δριμεῖαν, παραπλησίαν ἀνεμώνῃ, ἑλκοῦσαν τὴν ἐπιφάνειαν, καὶ ψώρας καὶ ὄνυχας λεπροὺς ἀφιστᾷ. αἱ δὲ ῥίζαι χυλω|θεῖσαι χρήσιμοι εἰς ῥινὸς ἔγχυσιν μετὰ μέλιτος πρὸς κάθαρσιν κεφαλῆς.

182 ὀθόννα· οἱ μέν φασι τοῦ μεγάλου χελιδονίου χυλὸν εἶναι, οἱ δὲ γλαυκίου, οἱ δὲ τῆς κερατίτιδος μήκωνος τῶν ἀνθῶν χυλόν, ἔνιοι δὲ μεῖγμα ἀναγαλλίδος τῆς κυανέας καὶ ὑοσκυάμου καὶ μήκωνος χυλῶν, οἱ δὲ βοτάνης Τρωγλοδυτικῆς τινος, ἥτις ὀθόννα καλεῖται, εἶναι χυλόν, γεννᾶσθαι δ᾽ αὐτὴν καὶ ἐν τῇ κατ᾽ Αἴγυπτον Ἀραβίᾳ. ἔχει δὲ τὰ φύλλα εὐζώμῳ ἐμφερῆ, πολύτρητα ὥσπερ σητόκοπα, ψαφαρά, ὀλιγόχυλα· ἄνθος δὲ φέρει κρόκινον, πλατύφυλλον, ὅθεν ἔδοξαν ἀνεμώνης αὐτό
2 τινες εἶδος εἶναι. χυλίζεται δὲ καὶ εἰς τὰ ὀφθαλμικά, ὅπου δεῖ ἀποκαθαίρειν, δάκνουσα, καὶ πάντα τὰ ἐπισκοτοῦντα ταῖς κόραις ἀποσμήχει. φασὶ δέ τινα καὶ ὑγρασίαν ἀπορρεῖν τῆς βοτάνης, ἣν πλύναντες καὶ χωρίσαντες τῶν λίθων ἀναπλάσσουσι τροχίσκους πρὸς τὰ αὐτά. ἔνιοι δέ φασιν αὐτὴν λίθον εἶναι

---

181 RV: χελιδόνιον τὸ μικρόν· οἱ δὲ πυρὸν ἄγριον ἐκάλεσαν.

---

10 SIM. Pl. XXVII 109 (e S. N. — Crat.)
10 EXC. Paul. Aeg. VII 3 s. v.: ὀθόνναν οἱ μέν φασι πόας εἶναι χυλὸν ἐν τῇ κατ᾽ Αἴγυπτον Ἀραβίᾳ φυομένης, οἱ δὲ λίθον Αἰγύπτιον. ῥύπτει δὲ καὶ δάκνει, πάντα τὰ ἐπισκοτοῦντα ταῖς κόραις ἀποσμήχουσα.

---

1 δὲ — τρυφερωτέρος καὶ om. Orib. μᾶλλον καὶ μικροτέροις om. R τρυφεροῖς ODi 2 καὶ om. R ὑπολιπάροις ROrib.HDi 3 πυρὸς R: πυροὺς Di: πυροὺsους P συνσεσωρευμένας R: συσσεσωρευμένας H: συσεσωρευμένας F: σεσωρευμένους Orib.: σεσωρευμένας Di: σεσωρευμεν (sic) P: correxi 4 τρεῖς — μακραὶ om. R δέ εἰσιν QDi δὲ (alt.) om. Orib. 5 ἐν ὕδασι Q καὶ] ἢ R 6 ἀνεμώνῃ] λειμωνίω N: λιμώνω C ἔχουσα R 7 καὶ (pr.) om. RDi ψώρας δὲ R: ψώρας τε Di ἀφιστᾶι P: ἀφιστᾶ F: ἀφιστᾶσι H: ἀφίστησιν RDi 8 χυλισθεῖσα N χρήσιμοί εἰσιν RDi ῥινεγχυσίαν RDi

10 num. cap. τια ODi: cap. om. E οἱ μὲν — χυλόν (v. 14) delebat Spr. μεγάλου] μέλανος P, cf. D. II 180 11 ἀνθέων Di 12 κυανέης P 13 χυλόν QDi οἱ δὲ — χυλόν om. Dl 14 εἶναι om. Di 16 ὀλιγόφυλλα QDiDl 20 ἀποσμήχουσα HDi καὶ om. H 21 χωρήσαντες P

23 C fol. 374r: N 168 πύριον R: correxi, cf. Orib. V 139

Αἰγύπτιον ἐν τῇ Θηβαΐδι γεννώμενον, χαλκόχρουν, μικρὸν τῷ μεγέθει, δάκνοντα τὴν γεῦσιν μετὰ πυρώσεως καὶ στύψεως.

183 *μυὸς ὦτα· οἱ δὲ μυὸς ὠτίδα καλοῦσιν. ἀνίησι καυλοὺς ἀπὸ μιᾶς ῥίζης πλείονας ὑπερύθρους, κάτωθεν κοίλους, φύλλα δὲ στενὰ καὶ ἐπιμήκη, ῥάχιν ἐπηρμένην ἔχοντα, μελανίζοντα, ἀνὰ δύο πεφυκότα ἐκ διαστημάτων, εἰς ὀξὺ ἀπολήγοντα, ἐκφύεταί τε λεπτὰ καυλία ἐκ τῶν μασχαλῶν, ἐφ' ὧν ἀνθύλλια κυανίζοντα, μικρά, ὡς τὰ τῆς ἀναγαλλίδος· ῥίζα δὲ δακτύλου τὸ πάχος, ἔχουσα πολλὰς ἀποβλαστήσεις. καθ' ὅλον δ' ἐστὶν ὁμοία ἡ πόα τῷ σκολοπενδρίῳ, λειοτέρα δὲ καὶ ἐλάσσων. ταύτης ἡ ῥίζα καταπλασθεῖσα αἰγιλώπια ἰᾶται· ἔνιοι δὲ καὶ τὴν ἑλξίνην μυὸς ὠτίδα καλοῦσιν.*

184 *ἰσάτις, ᾗ οἱ βαφεῖς χρῶνται· φύλλον ἔχει ἀρνογλώσσῳ ἐμφερές, λιπαρώτερον δὲ καὶ μελάντερον, καυλὸν δὲ ὑπὲρ πῆχυν.*

---

184 RV: *ἰσάτις· οἱ δὲ Ἄρειον, οἱ δὲ ὑσγίνη, προφῆται ἀρούσιον, Ῥωμαῖοι ἀλούταμ.*

---

3 SIM. Pl. XXVII 105. 23sq. (e S. N. — Crat.), D. eup. I 54 (118).
3 EXC. Orib. XI s. v. (*μυὸς ὦτα — καλοῦσιν*); Gal. XII 80.
13 SIM. Pl. XX 59 (e S. N.), cf. Caes. de b. G. V 14 Pl. XXII 2 — Pl. XX 59 D. eup. I 147 (168) I 162 (177) I 170 (182) I 204 (199).
13 EXC. Orib. XI s. v. (*ἰσάτις — πῆχυν*); Gal. XI 890 (= Paul. Aeg. VII 3 s. v.).
16 SIM. Ps. Ap. 69 (unde Ps. Orib. I 57.)

---

1 *λευκόχρουν* H

3 num. cap. *τιβ* ODi: cap. initium om. E   initio alterum de myosota cap. (IV 86) add. Di   *οἱ δὲ — καλοῦσιν* om. Orib.   *καυλοὺς ἀνίησιν* Orib. 4 *ὑπερύθρους τὰ κάτωθεν καὶ κοίλους* Di: *τὰ κάτωθεν κοῖλοα* (sic) Orib.: *κάτωθεν δὲ κοίλους* V: *caulibus pluribus ab una radice concavis ab imo* Pl. XXVII 105 5 *ἐπιμήκη καὶ στενά* Di   *ἐπηρμένην* Orib. (coni. Sarac.): *ἐπηρτημένην* PHDi: *ἐπηρτιμένην* F: *dorso acuto* Pl.   6 *ὀξύτερον* Orib.Di   7 *μασχαλῶν*] abhinc habemus cod. E, cuius incip. fol. 31   8 *μικρὰ* om. Di   *ὥσπερ* Orib.E 9 *ἔχουσα δὲ* E   10 *ἡ πόα ὁμοία* Orib.E   *ταῖς σκολοπένδραις* Orib.   *λεπτοτέρα* Orib.EDi: *nisi minor minusque hirsuta esset* (sc. quam helxine) Pl. XXVII 23, cf. XXVII 105 *myosota . . . levis herba*   *ἐλάττων* Orib.E   *ταύτης — καταπλασθεῖσα* om. O   11 *αἰγίλωπα* E   *ἔνιοι*] *τινὲς* Di   12 *ἐκάλεσαν* E

13 num. cap. *τιγ* ODi: *ρϙγ* E   tit. *περὶ ἰσάτιδος* F: *περὶ ἰσάτιδος ἡμέρου* Di: om. H   initio post *ἰσάτις ἥμερος* syn. e R add. Di, superscr. H² 14 *μελαντότερον* R   15 *δίπηχυν* R

16 C fol. 161r: N 43   *αὔγειον* C: *αὔγιον* reliqui: correxi coll. Ioa. Lyd. de mens. I 19   *ἔγνη* NHDi: *ἄγνη* C: *oagigneme* (i. e. oagigne emeros) Ps. Ap.: correxi coll. schol. Nic. Th. 511. Suid. s. v. *ὕσγη*   17 *ἀρούσιον*] *aperion* Ps. Ap.: suspectum   *ῥουτάμ* libri: correxi coll. Ps. Ap. *Itali alutam vocant* (*alutiam* L₁V): *luteam* coni. Marc., cf. Salm. hom. h. iatr. 60. Herm. XXXIII 380

δύναται δὲ τὰ φύλλα καταπλασσόμενα πᾶν οἴδημα διαφορεῖν, καὶ φύματα καὶ ἔναιμα τραύματα κολλᾷ καὶ αἱμορραγίας στέλλει καὶ φαγεδαινικὰ ⟨ἕλκη⟩ καὶ ἕρπητας καὶ ἐρυσιπέλατα θεραπεύει.

185 ἰσάτις ἀγρία, παραπλήσιος οὖσα ᾗ οἱ βαφεῖς χρῶνται, φύλλα ἔχει μείζονα πρὸς τὰ τῆς θρίδακος, καυλούς τε πολλούς, λεπτούς, πολυσχιδεῖς, ὑπερύθρους, ἔχοντας ἐξ ἄκρου ὥσπερ θυλάκια γλωττοειδῆ πολλὰ ἀποκρεμάμενα, ἐν οἷς τὸ σπέρμα, ἄνθος δὲ μήλινον, λεπτόν.

δύναται δὲ τὰ αὐτὰ τῇ πρὸ αὐτῆς, ὠφελοῦσα καὶ σπληνικοὺς πινομένη καὶ καταπλασσομένη.

186 τηλεφώνιον, οἱ δὲ ἀείζωον ἄγριον, οἱ δὲ ἀνδράχνην

---

185 RV: ἴσατις ἀγρία, οἱ δὲ ὑσγίνη μικρά, Ῥωμαῖοι ἀλούταμ μινῶρεμ.

---

5 SIM. Pl. XX 59; D. eup. II 62 (275).

5 EXC. Orib. XI s. v. (*ἰσάτις — λεπτόν*); Gal. XI 890 (= Paul. Aeg. VII 3 s. v.).

12 SIM. Pl. XXVII 137 (e S. N. — Crat.), cf. Pl. XXV 162; Gal. XIX 146 (e D. gl. — S. N.), Hes. s. v. *τηλέφιλον*.

12 EXC. Orib. XII s. v. (*τηλεφώνιον — ἔαρος*); Gal. XII 140 (= Paul. Aeg. VII 3 s. v.).

---

2 *καὶ φύματα* om. RE *κολλᾷ* P: *κολλᾶν* reliqui *καὶ* (tert.) om. RDi *αἱμορραγίας τε* EDi 3 *στέλλειν* EHDi *φαγεδαίνας* RE *ἕλκη* addidi post *ἕρπητας* add. *τε καὶ σηπεδόνας* Di: *καὶ σηπεδόνας* E 4 *θεραπεύειν* EHDi: om. R

5 num. cap. *τιδ* ODi: *ρϙδ* E *ἡ δὲ ἀγρία ἰσάτις* E post *ἀγρία* syn. e R add. Di, deinde *ἡ δὲ ἀγρία ἰσάτις* iterat, syn. mg. add. H[2] *παραπλησία* NDi *τῇ πρὸ αὐτῆς* pro *ᾗ οἱ βαφεῖς χρ.* NEDiDl *οἱ* om. PF 6 *τὰ φύλλα* E *μείζονα ἔχει* NE *καυλοὺς δὲ λεπτοτέρους πολυσχιδεῖς* (*πολλούς* add E) NEDi: *virgas multas et divisas habens* Dl 8 *θυλάκια ὥσπερ* E *γλωσσοειδῆ* NDi 9 *δὲ* om. NDi 11 in fine add. Di *ἐπιστατέον τὰ περὶ ἰσάτεων· ὅτι αἱ ἐκδόσεις αὗται τὸ ἐσφαλμένον ἔχουσι· τό τε γὰρ μήλινον ἄνθος καὶ τοὺς λεπτοτέρους καὶ πολυσχιδεῖς κλάδους καὶ τὰ ἐξ ἄκρου γλωττοειδῆ θυλάκια, ἐν οἷς τὸ σπέρμα, ἡ ἥμερος φέρει· ἐμπεριέχεται δὲ τούτοις σπέρμα μέλαν, ἐοικὸς μελανθίῳ, καὶ τὸν καυλὸν δὲ ὑπὲρ δίπηχυν, ἀλλ' οὐχ ὑπὲρ πῆχυν μόνον φέρει. ἡ δὲ ἀγρία μελάντερα ταύτης τὰ φύλλα φέρει καὶ καυλὸν ἐλάττω καὶ παχύτερον, ἄνθος τε ἐμπόρφυρον ἢ κυανοῦν καὶ καρπὸν σταυροειδῆ, τραχύν, ἐν ᾧ* (*οἷς* Di) *τὸ σπέρμα φυλλαρίοις μικροῖς ἀνὰ πέντε ἴσοις οἱονεὶ διειλημμένον* subsequitur cap. *τιδ· περὶ ἀραβίδος· ἀραβὶς πόα περὶ πῆχυν τὸ ὕψος, ῥάβδους ἔχουσα λεπτάς, παρ' ἑκάτερα δὲ αὐτῶν φύλλα ὥσπερ λεπιδίου, ἁπαλώτερα δὲ καὶ λευκότερα, ἐπ' ἄκρου δὲ σκιάδιον ὥσπερ* (*καθάπερ* p) *ἀκτίς, ἔχον ἄνθη λευκά. ταύτης ἡ πόα συνέψεται πτισάνῃ, μάλιστα ἐν καππαδοκίᾳ. ὁ δὲ καρπὸς αὐτῆς ξηρὸς ἀντὶ πεπέρεως μίγνυται προσοψήμασιν* (i. e. D. II 157).

12 num. cap. *τιε* ODi: *ρϛε* E: *ροα* Dl *τηλεφόνιον* P: *τηλέφιον* (*τηλέφειον* Orib.) reliqui, cf. Theocr. III 29 cum schol. *ἄγριον* om. Orib.

14 N fol. 43: om. C *ἔγνη* libri: correxi *ρουταμμινωρεμ* N: *ῥουταμινωρέμ* Di: correxi

ἀγρίαν, οἱ δὲ βρύον. τοῦτο καὶ τοῖς φύλλοις καὶ τῷ καυλῷ ἔοικεν ἀνδράχνῃ, μασχάλας ἔχον δύο παρ' ἕκαστον ⟨γόνυ⟩ τῶν φύλλων ἐκφυομένας, ἀφ' ὧν κλωνία ἓξ ἢ ἑπτά, ἀπὸ τῆς ῥίζης πλήρη φύλλων παχέων καὶ σαρκωδῶν καὶ γλίσχρων, ἄνθη λευκά. φύεται δὲ ἐν ἀμπελῶσι καὶ τόποις ἐργασίμοις.

θεραπεύει δὲ καταπλασσόμενα τὰ φύλλα ἐπὶ ὥρας ἓξ λεύκην· δεῖ δὲ μετὰ ταῦτα ὠμῇ λύσει χρῆσθαι. αἴρει δὲ καὶ ἀλφὸν ἐπιχριόμενα σὺν ὄξει ἐν ἡλίῳ· δεῖ μέντοι μετὰ τὸ ἀποξηρανθῆναι αὐτὰ ἀποψᾶν.

---

186 RV: *τηλέφιον· οἱ δὲ τηλεφώνιον, οἱ δὲ ἀείζων ἄγριον, οἱ δὲ καὶ ταύτην ἀνδράχνην ἀγρίαν καλοῦσιν, Ῥωμαῖοι ἠλεκέβραμ, Αἰγύπτιοι ἀνώθ, Ἄφροι ἀτιρτοππουρίς.*

---

6 SIM. Pl. l. s. D. eup. I 118 (151) — Pl. l. s. eup. I 119 (153).

---

1 *τουτοις* (om. *το καὶ*) PF (aberravit libr.): *τούτου τοῖς* H: *similis est et caule et foliis* Pl. *καρπῷ* Q 2 *μασχάλας*] *fossa* Dl *ἔχει* E *δύο*] *ἔνδον* R *γόνυ* addidi e RDi 3 *φυόμενα* C: *ἐνφυόμενα* N: *ἐμφυομένας* Di *ἐφ' ὧν* R *ἀπὸ τῆς ῥίζης* om. R, cum antec. coni. Pl. (olim *ἀπὸ τῆς ῥίζης ἡνωμένα* coni.) 4 post *φύλλων* add. *κυανοειδῶν* RDi *παχέων καὶ πλατέων* E *παχέων καὶ σαρκωδῶν* Orib.: *καὶ σαρκωδῶν* om. P (at cf. Pl. l. s.), post *γλίσχρων* transpos. QREDi *καὶ* (pr.)] *τε καὶ* RDi *μήλινα ἢ λευκά* RDi 5 *δὲ* om. ROrib. *ἀμπέλοις* E 6 *τὰ φύλλα καταπλαττόμενα* R: *καταπλαττόμενα* E *ϛ̅ ἢ πέντε* E, accuratius D. eup. l. s. *ἐπὶ ἡμέρας λʹ, ἑκάστης ἡμέρας ἐπὶ ὥρας ϛʹ* (= Pl. l. s.) 7 *ἀλφοὺς* EDi 8 *ἐπιχρισθεῖσα* RE: *ἐπιχρισθέντα* Di 9 *ξηρανθῆναι αὐτὸ* RE *ἀποξᾶν* P subscr. ΠΕΔΑΝΙΟΥ ΔΙΟϹΚΟΥΡΙΔΟΥ ΑΝΑΖΑΡΒΕΩϹ ΠΕΡΙ ΥΛΗϹ ΛΟΓΟϹ Β̅ P: *πεδακίου διοσκουρίδου ἀναζαρβέως περὶ ὕλης λόγος δεύτερος* F: *τέλος τοῦ δευτέρου λόγου* H: *διοσκουρίδου περὶ ὕλης βιβλίον δεύτερον* E

10 C fol. 335ᵛ: N 156 effig. h. p. (336ʳ) adscr. C (m. rec.) *οἱ δὲ σίλφυτον καλοῦσιν* *τηλεφώνιον* scripsi: *ωτηλέφιον* R (*ω* superscr. alieno loco in text. irr.), om. Di *ἀείζωον* Di 11 *ἠλεκεβρα* C: *ἠλεκέβραν* Di: *inlecebram* Pl. XXV 162, cf. D. II 123 12 *ἀτιρτόππουρις* NDi: *ἀτιρτοπουρρις* C, cf. Löw l. s. 405

Druck von J. B. Hirschfeld in Leipzig.